Digitized by Google Распознавание текста ABK/FR

que perfecte, decorum ubique servant. Nullam enim compositionem prætermittere, sed periodis omnia complecti, Demostheni est cum Isocrate, ac Lysia commune. At periodorum varietas in magnitudine membra adimplens, diversitatem inter illos parit, cum Isocrates plerumque ambitum producat: Lysias vero contrabat, in utroque decorum servet Demosthenes.

A ἐρωτήσεις προβάλλεται καὶ ὑποστροφὰς καὶ τὸ ἀσύνδετον, οἷς μάλιστά Δημοσθένης χαίρει χρώμενος. Ἀλλὰ καὶ ἡ σύνθεσις ἐπιμελὴς καὶ τὴν ἐνάργειαν τῷ κόσμῳ οὐ διαφθείρουσα, αἵ τε περίοδοι τῷ ἀπηρτισμένῳ συναγόμεναι καὶ τὸ πρέπον πανταχοῦ διασώζουσι. Τὸ μὲν οὖν μηδενὸς φείδεσθαι συνθέσεως, ἀλλὰ πάντα διειλῆφθαι περιόδοις ἔστι μὲν Ἰσοκράτους καὶ Λυσίου πρὸς Δημοσθένην κοινόν· ἡ δὲ κατὰ τὰς περιόδους ἐν τοῖς μεγέθεσι ποικιλία συμπληροῦσα τὰ κῶλα λαμβανομένη τὴν πρὸς ἐκείνους διαφορὰν ἀπεργάζεται, τοῦ μὲν Ἰσοκράτους ὡς τὰ πολλὰ μηκύνοντος τὴν ἐργασίαν αὐτῶν, του δὲ [27] Λυσίου συντημνοντος· ἐξ ἑκατέρου δὲ τούτων τῷ Δημοσθένει τὸ πρέπον διασώζεται.

Oratio autem quæ *de Pace* est, composita quidem, sed non habita existimatur ab aliis; et maxime a Libanio sophista. Orator enim Æschinem accusans, nihilominus se etiam accusat, quod suasisset Atheniensibus Amphictyonem esse Philippum de creto renuntiandum, qua illum acerbe reprehendit, quod ejus rei auctor, suasorque exstitisset. Nam suasisse illum ut Amphictyon Philippus crearetur, clarum est.

Ὁ δὲ περὶ τῆς εἰρήνης λόγος καὶ ἄλλοις μὲν, μάλιστα δὲ Λιβανίῳ τῇ σοφιστῇ παρεσκευάσθαι μὲν, οὐ μὴν εἰρῆσθαι δοκεῖ. Κατηγορῶν γὰρ ὁ ῥήτωρ Αἰσχίνου οὐδὲν ἧττον [28] αὐτὸν καὶ ἐπὶ τούτῳ αἰτιᾶται, ὅτι συνεβούλευσεν [29] Ἀθηναίοις Ἀμφικτύονα εἶναι ψηφίσασθαι Φίλιππον. Ἐν ᾧ οὖν ἐκεῖνον πικρῶς διέβαλλε [30], πῶς ἂν αὐτὸς ἐθάρρησε γενέσθαι σύμβουλος; καὶ γὰρ ὁ περὶ τῆς εἰρήνης λόγος δῆλον ὅτι τὸν Φίλιππον Ἀμφικτύονα εἶναι συμβουλεύει.

Orationem vero contra Neæram, ut languidiorem ac remissiorem, Demosthenis nonnulli e familia ejiciunt, ut et amatoriam, et funebrem laudationem,

Καὶ τὸν κατὰ Νεαίρας δὲ λόγον ὑπτιότητός τινες αἰτιώμενοι τῶν Δημοσθενικῶν ἀποκρίνουσι λόγων, ὥσπερ καὶ τὸν περὶ ἔρωτος αὐτῷ γεγραμμένον καὶ τὸν ἐπιτάφιον.

Aiunt et Demosthenem quatuor et viginti annos natum orationem *de Immunitate* contra Leptinem conscripsisse, cujus procœmium agonisticon esse putat Longinus criticus (13): qui Claudio imperante floruit, causasque plurimas egit, Zenobia Osroenorum regina imperium tenente, mortuo jam Odenatho marito, quem prisci tradunt scriptores ab impietate gentium ad Judæorum mores traductum. Verum Longinus sic quidem de hoc procœmio indicavit, cæteri enim morale esse non recte pronuntiant. Pluribus autem hæc oratio in judicando contentionis materiam præbuit, (in his Aspasio rhetori, qui exordium satis accuratum esse negat), ut et oratio contra Midiam, nam et de hac non pauci certarunt, multisque 492*b* altercandi ansam præbuit. Alii enim formam illi affectionis plenam et gravitatis: nonnulli negotialem characterem attribuunt, et omnino verborum gravitas hic est, et compositionis modulatio, et rursum argumentis et enthymematis affectu plenis, patheticam quoque pronuntiationem accommodat, pragmaticis vicissim quæ ipsis conveniunt, adaptat. Servat et affectus leniores, non in hac modo oratione, sed et in aliis. Verum difficillimum est oratori, in contentioso dicendi genere leniores perpetuo retinere in adversarium affectiones, ei præsertim, cui vehementius atque acrius ingenium obvenit: quale Demostheni

Φασὶ δὲ τὸν Δημοσθένην [802 H.] δ' καὶ κ' γεγονότα ἔτη [31] τὸν περὶ τῶν ἀτελειῶν, ἤτοι τὸν πρὸς Λεπτίνην φιλοπονήσασθαι λόγον, οὗ τὸ προοίμιον Λογγῖνος μὲν ὁ κριτικὸς ἀγωνιστικὸν νομίζει· ἐπὶ Κλαυδίου δὲ οὗτος ἤκμαζε, καὶ τὰ πολλὰ συνηγωνίζετο Ζηνοβίᾳ τῇ τῶν Ὀσροηνῶν βασιλίδι, τὴν ἀρχὴν κατεχούσῃ Ὀδεναθου τοῦ ἀνδρὸς αὐτῆς τετελευτηκότος, ἣν καὶ μεταβαλεῖν εἰς τὰ Ἰουδαίων ἔθη ἀπὸ τῆς Ἑλληνικῆς δεισιδαιμονίας παλαιὸς ἀναγράφει λόγος. Ἀλλὰ γὰρ ὁ μὲν Λογγῖνος τοιαύτην περὶ τοῦ προκειμένου προοιμίου τὴν ψῆφον ἐξάγει. Ἕτεροι δὲ οὐκ ὀρθῶς ἔφασαν τὸ προοίμιον ἠθικὸν εἶναι. Καὶ πολλοῖς οὗτος ὁ λόγος παρέσχεν [32] ἀγῶνα κρίνεσθαι προτεθείς, ὥσπερ καὶ Ἀσπασίῳ τῷ ῥήτορι, ἅτε μηδ' ἁφιγμένῳ [33] τῆς τοῦ λόγου θεωρίας εἰς ἀκρίβειαν. Ὡσαύτως δὲ καὶ ὁ κατὰ Μειδίου· καὶ γὰρ καὶ οὗτος οὐκ ὀλίγοις γέγονεν ἐν σπουδῇ, καὶ τῆς πρὸς ἀλλήλους ἀμφισβητήσεως ἀφορμὰς παρέσχε. Καὶ οἱ μὲν τοῦ παθητικοῦ χαρακτῆρος εἶναί φασιν αὐτὸν, μετὰ δεινώσεως ἐπεξειργασμένον [34], οἱ δὲ τοῦ πραγματικοῦ· καὶ ἁπλῶς τῶν τε ῥημάτων αὐτοῦ τὸ σφοδρὸν [1472 R.] καὶ κατὰ τὴν σύνθεσιν ἐναρμόνιον. Καὶ ὡς τοῖς παθητικοῖς μὲν τῶν ἐπιχειρημάτων καὶ ἐνθυμημάτων παθητικὴν καὶ τὴν ἀπαγγελίαν περιάπτει, τοῖς πραγματικοῖς δὲ, ἅπερ τούτοις ἐναρμοττει. Ἔχεται [35] μὲν οὖν καὶ τοῦ ἤθους οὐκ ἐν τούτῳ μόνον τῷ λόγῳ, ἀλλὰ καὶ ἐν πολλοῖς ἄλλοις. Ἀλλά γε

VARIÆ LECTIONES.

[27] δὲ] δὲ ἔστιν A. [28] ἔλαττον τὸν αὐτὸν ς. [29] συνεβούλευεν A. [30] διέβαλε ς. [31] ἔτη om. pr. A, ante γεγονότα ponit B. [32] ἀγῶνα παρέσχεν B. [33] μὴ διαφιγμένῳ B: μηδ' ἐφιγμένῳ Toup. Longin. p. 221. [34] ἐπειργασμένον ς. [35] ἔχεται] ἄρχεται B et corr. A.

NOTÆ.

(13) Hujus Longini Dionysii meminit et Eunapius Sardianus, et exstat libellus Περὶ ὕψους, *De sublimi Dicendi genere*.

Digitized by Google Распознавание текста ABK/FR

χαλεπώτατόν ἐστι λόγων ἀγωνιστικῶν ἐργάτῃ διὰ τέλους φυλάξαι πρὸς τὸν ἀνταγωνιστὴν τὸ ἦθος, μάλιστα δὲ τοῖς ὅσοι φύσεως ἔτυχον πικροτέρας τε καὶ καθηκωτέρας, ἧς οὐχ ἥκιστα Δημοσθένης τε καὶ Ἀριστείδης μετέχει. Διόπερ πολλάκις ἐξάγονται 36, τῆς προθέσεως ἐλαττουμένης ὑπὸ τῆς φύσεως· οὐδὲ γὰρ οὐδ' ἔστιν ἱκανὴ τέχνη κατορθῶσαι τὸ βούλημα, μὴ συνεργὸν ἔχουσα καὶ τῆς φύσεως ἰδιότητα. Ἐτῶν μέντοι γεγονὼς ὁ ῥήτωρ ἡ' καὶ λ', ἔπεισε δημηγορήσας τὸν δῆμον βοήθειαν Ὀλυνθίοις ἀποστεῖλαι πρεσβευσαμένοις κατὰ Φιλίππου.

A atque Aristidi obtigit. Hinc fit, ut efferantur sæpenumero, natura longe argumentum superante. Neque enim ars voluntatem dirigere valet, nisi et subsidium ingenii accesserit. Annos natus octo et triginta Atheniensi populo persuasit, Olynthiis auxilium contra Philippum mitterent.

Οὗτος ὁ Δημοσθένης υἱὸς μὲν γέγονεν ἐκ Κλεοβούλης Δημοσθένους, τὸν δῆμον Παιανιεύς. Καταλειφθεὶς δὲ ὑπὸ τοῦ πατρὸς ἐτῶν ζ' σὺν ἀδελφῇ μεταγενεστέρᾳ δυσὶν ἔτεσι, τὸν μὲν χρόνον τῆς ὀρφανίας παρὰ τῇ μητρὶ διῆγεν, Ἰσοκράτει σχολάζων τῷ ῥήτορι, ὡς δὲ οἱ πλείους λέγουσιν, Ἰσαίῳ τῷ Χαλκιδεῖ ἐν Ἀθήναις σοφιστεύοντι. Ὁ δὲ Ἰσαῖος Ἰσοκράτους 37 γέγονε μαθητής, Θουκυδίδην ζηλῶν καὶ Πλάτωνα τὸν φιλόσοφον. Ἄλλοι δὲ ἄλλα περί τε παιδεύσεως Δημοσθένους καὶ τῶν αὐτοῦ διδασκάλων ἱστοροῦσιν. Εἰς ἡλικίαν δὲ καταστὰς, καὶ ἐλάττω τὴν οὐσίαν παρὰ τῶν ἐπιτρόπων λαβών, ἐγράψατο αὐτοὺς ἐπιτροπῆς γ' ὄντας Ἄφοβον, Θηρίππίδην καὶ Δημοφῶντα (οἱ δὲ ἀντὶ Δημοφῶντος Δημέαν εἰσάγουσι), τίμημα ι' ταλάντων ἑκάστῃ δίκῃ ἐπιγραψάμενος. Τῆς μέντοι καταδίκης οὐδὲν αὐτοὺς 38 εἰσεπράξατο, τοὺς μὲν ἀφεὶς ἀργυρίου, τοὺς δὲ καὶ χάριτος. Αἱρεθεὶς δὲ χορηγὸς, Μειδίαν τε νὸν Ἀναγυράσιον, πλήξαντα αὐτὸν ἐν τῷ θεάτρῳ χορηγοῦντα, [803 H.] γραψάμενος εἰς κρίσιν κατέστησε, τριςχιλίας 39 δὲ λαβὼν παρ' αὐτοῦ τῆς δίκης ἀπέλυσεν.

Demosthenes Demosthenis, et Cleobulæ filius tribu Pæaniensis, relictus a patre cum esset annos natus septem, et soror quinque, totum illud tempus quo patre orbatus fuit, apud matrem egit, cum se Isocrati ad audiendum daret, ut quidam aiunt: ut autem plurimi, Isæo Chalcidensi, qui et ipse Isocratis erat discipulus, studio æmulandi Thucydidis B et Platonis philosophi incensus: alii enim aliter de orationis institutione ac doctoribus narrant. Cum vero ad ætatem maturam pervenisset, ac pauciora, quam esset æquum, a tutoribus accepisset, qui tres erant, nimirum Aphobus, Theripedes et Demophon, qui aliis Demeas est, a singulis talenta decem multæ causa postulavit, ipsosque vicit. Ipsam vero condemnationem parvi fecit, aliisque quidem pecunia, aliis vero etiam obsequio liberatis. Choragus factus Midiam Anagyrasium, qui illum præbitoris officio fungentem percusserat, in jus vocavit, acceptisque tribus drachmarum millibus, ab accusatione destitit.

Λέγουσι δὲ αὐτὸν πολλὰ τῆς φύσεως ἐλαττώματα μελέτῃ διορθώσασθαι. Καὶ νέος μὲν ὢν εἰς σπήλαιον ἑαυτὸν ἐναπέκλεισε, κἀκεῖ διῆγε φιλοσοφῶν, τῆς κεφαλῆς ξυράμενος τὸ 40 ἥμισυ, ἵνα μὴ αὐτῷ ἐξῇ, τῆς ἀσχημοσύνης κωλυούσης, ποιεῖσθαι μηδὲ βουλομένῳ τὴν πρόοδον. Δεύτερον δὲ ἐπὶ στενῆς αὐτὸν φασι κλίνης κοιμᾶσθαι, ὡς ἔχειν διὰ ταχέων ἀνίστασθαι. Τῶν δὲ 41 στοιχείων τὸ ῥῶ τῇ γλώττῃ μὴ πεφυκότα λέγειν πόνῳ προσλαβεῖν τὸ δύνασθαι, Ἀλλὰ καὶ τὸν ὦμον ἐν τῷ μελετᾶν ἀπρεπῶς 42 κινοῦντα, ὀβελὸν ἐκ τῆς ὀροφῆς ἀπαρτήσαντα ἐν χρῷ τοῦ σώματος ἤ (ὡς ἔνιοι) ξιφίδιον, ὡς ἂν φόβῳ τοῦ παθεῖν τὴν ἠρεμίαν ἄγοι, ἀπαλλαγῆναι τοῦ συμπτώματος. Πρὸς δὲ τοὺς τοῦ δήμου θορύβους ταραττόμενος, ἵνα μὴ τοῦτο πάσχοι 43, ἐπὶ τὸ Φαληρικὸν κατιὼν πρὸς τοὺς τῶν κυμάτων ἤχους τὰς μελέτας ἐποιεῖτο, τῷ ἔθει τὴν φύσιν ἐπανορθούμενος. Ἀλλὰ καὶ κάτοπτρον ἑαυτῷ κατεσκευάσατο, ἴσον αὐτοῦ τῷ μεγέθει, εἰς ὃ τὰς σχέψεις ἀφορῶν ἐποιεῖτο, ἵνα εἴ τι εἴη παρημελημένον ἐν τῷ σχήματι λέγοντος, τοῦτο μανθάνων ἐπανάγοιτο 44 πρὸς τὸ εὔσχημον. Ἐνδεῶς δὲ τοῦ πνεύματος ἔχοντος αὐτῷ ὥστε μηδὲ δύνασθαι τὰς μακροτέρας τῶν περιόδων ἀπνευστὶ λέγειν, Νεοπτολέμῳ τῷ ὑποκριτῇ μυρίας ἔδωκεν, ἵνα αὐτῷ συνασκήσῃ τὸν τόνον τοῦ πνεύματος. Καὶ τῶν λεπτῶν δὲ τρη-

Nec desunt qui dicant eum multa naturæ vitia exercitatione vicisse, et adhuc juvenem in speluncam 493*a* descendere solitum, in eaque eloquentiam exercere, abrasa dimidia capitis parte, quo sibi exeundi facultatem eriperet. Deinde lecto cubare angusto, ut citius excitaretur, et ῥῶ litteram, cum natura pronuntiare non posset, labore didicisse. Et cum humerum exercendo indecore moveret, obelisco, vel, ut nonnullis videtur, gladiolo e laquearibus suspenso coercebat, ut timore ab ea deformitate cessaret seque indicenti gestu contineret. Ipse ad Phalericum se conferens juxta fluctuum impetus exercebatur, ut assuetudine naturam corrigeret. Quin et speculum justæ magnitudinis sibi comparavit, in quo se ipse contemplans gestus observabat, ut si quid in actione vitii esset, hoc D animadversum ad rectum dirigeret. Cumque angusto esset spiritu, ut longiores ambitus uno ductu efferre non posset, Neoptolemo histrioni decem millia drachmarum dedit, quo illum spiritus extensionem doceret: et cum angustis esset ad usum meatibus (quibus attrahentibus per palatum aerem veluti aura quadam pectus calefactum refrigeramus, atque inde halitus fumosus educimus, et in eo maxime claræ vocis sonus consistit) olivam

VARIÆ LECTIONES.

36 ἐξάγ. καὶ τῆς ς. 37 Ἰσοκράτου ς. 38 οὐδὲν εἰς αὐτοὺς ς. 39 τριςχιλιάδας ς. 40 τὸ om. A. 41 δὲ, τε B 42 ἀπρεπῶς ἐν τῷ μελετᾶν ς. 43 πάσχῃ B. 44 ἐπανάγοι ς.

Digitized by Google Распознавание текста ABK/FR

ori inserens, et per accliva decurrens latiores reddidit, ac naturæ aptiores: quo motu oliva ad nares illisa et absorpta, tenuiores illos angustioresque meatus nataræ functioni idoneos redderet.

κατεσκευασμένων, ἐπεὶ καὶ τοῦτο μάγα μέρος ἐστὶ φύσιν ἐπανήγαγεν, ἔλαιον μὲν ἐμβάλλων τῷ στόματι, ἀνατρέχων [48] δὲ πρὸς τὰ τῶν χωρίων ἀνάντη· δι' ὧν τὸ ἔλαιον τῇ βίᾳ τῆς κινήσεως πρὸς τοὺς μυκτῆρας ἀναῤῥοιβδούμενον [49] τὴν παρὰ φύσιν τῶν πόρων συνίζησιν εἰς τὴν κατὰ φύσιν ἀπεκατέστησε [50] χρείαν.

Cum vero sese ad rempublicam contulisset, et in duas partes cives divisi essent, ut alii pro Philippo starent, alii populi, bonorumque omnium utilitati studerent, eam partem delegit, quæ Philippo adversaretur, eamdem rationem administrandæ reipublicæ secutus, quam et Hyperiedes, et Nausicles, et Polyeuctus, et Diotimus. Ex quo etiam civitati socios fecit Thebanos, Eubœenses, Corcyræos, Corinthios, Bœotios, multos præterea alios. Cum vero aliquando concionando indecore in theatro explosus esset, 493*b* tristis domum abiit: cui cum forte Eunomus Thriasius jam senex, factus esset obvius, cognita mœroris causa, bono esse animo jussit, ac recreavit, imprimisque Andronicus histrio, cum ita diceret, orationes illius pulchras et splendidas esse. Cujus rei gratia permotus Demosthenes, seipsum Andronico tradidit, ibique actionis artem didicit. Hinc etiam interrogatus, quid primum in dicendo esset, respondit: Actionem; quid secundum et tertium, similiter Actionem respondit, ostendens magnam esse partem eloquentiæ ad populo persuadendum, actionem. Jurabat autem, ut Phalereus ait; *per terram, per fontes, per fluvios, per latices*, quo pacto cum jurasset, apud populum tumultum conscivit. Juravit, quoque pro Asclepion antepenultima acuta Asclepion. Cum vero otium ac studium audiendo Eubulidem Milesium, qui in Dialecticis secundus erat nemini, consumeret, omnia in quibus ipse deficere et claudicare videretur, emendavit.

Cum autem essent, qui habitas a Demosthene contra Philippum conciones ad eum ipsum deferrent, dixisse admirabundum narrant: *Equidem si orantem audivissem, non alium qui contra me bellum gereret, ducem delegissem*. Cum autem quidam illum interrogaret, utrius orationes essent fortiores, et ad persuadendum aptiores, Demosthenis, vel Isocratis, ipsius orationes militibus propter bellicam virtutem, Isocratis vero athletis similes esse dicebat, quo hæ quamdam talem delectationem afferrent, qualem in theatris percipere homines solent.

Cum post condemnationem (actionis *de Corona* contra Ctesiphontem) Æschines fugeret, illum equo Demosthenes est prosecutus, et aliis rebus consolatus, argenti talentum, alia omnia exspectanti inopinato donavit. Etenim insequentem intui-

μάτων [45], δι' ὧν ἀναπνέοντες τὸν ἀέρα [1473 R.] διὰ τῆς ὑπερῴας ἀναψύχομεν καὶ [46] ὥσπερ αὔραις τισὶ τὸν θώρακα διαθερμαίνομεν [47] καὶ τὸ λιγνυῶδες ἐκεῖθεν ἐκφέρομεν, στενωτέρων αὐτῷ παρὰ τὴν χρείαν τῆς λαμπροφωνίας, εἰς τὸ εὐρύτερόν τε καὶ κατὰ

Ἐπιδοὺς δὲ αὐτὸν [51] εἰς τὸ πολιτεύεσθαι, ἐπεὶ τοὺς μὲν ἑώρα τῶν πολιτῶν χιλιππίζοντας, τοὺς δὲ πρὸς τὴν τῆς πόλεως ἐλευθερίαν δημηγοροῦντας, τῆς ἀμείνονος [25] μοίρας γίνεται, καὶ συνεπολιτεύετο Ὑπερείδῃ [52], καὶ Ναυσικλεῖ, καὶ Πολυεύκτῳ, καὶ Διοτίμῳ. Διὸ Θηβαίους μὲν Ἀθηναῖοι συμμάχους κατέστησεν [54], ἀλλὰ καὶ Εὐβοεῖς, καὶ Κερκυραίους, καὶ Κορινθίους, καὶ Βοιωτίους [55], καὶ πολλοὺς ἄλλους. Ἐπεὶ δὲ ποτε δημηγορῶν ἐξέπεσε τοῦ θεάτρου καὶ ἀθυμίῶν οἴκαδε ἀπῄει, Εὔνομος μὲν αὐτῷ ὁ Θριάσιος ἤδη πρεσβύτης [56] ὢν κατὰ τὴν ὁδὸν συνεκύρησε, καὶ μαθὼν τῆς ἀθυμίας τὸ αἴτιον θαῤῥεῖν τε προὐτρέψατο καὶ ἀνεκτήσατο· καὶ τούτου πλέον Ἀνδρόνικος ὁ ὑποκριτής, τοὺς μὲν λόγους εὖ ἔχειν καὶ ὡς ἄριστα φάμενος, ἐνδεῖν δὲ αὐτοῖς τὰ τῆς ὑποκρίσεως. Ὁ δὲ παραδίδωσί τε ἑαυτὸν [57] τῷ Ἀνδρονίκῳ, καὶ τὴν τῆς ὑποκρίσεως τέχνην ἐκεῖθεν ἐξήσκησε. [804 H.] Διόπερ ἐρομένου ποτέ τινος αὐτὸν τί πρῶτον ἐν ῥητορικῇ; ἀνεῖπεν, Ὑπόκρισις· καὶ τί δεύτερον; Ὑπόκρισις. τί δὲ τρίτον; Ὑποκρισις· δηλῶν μέγα μέρος εἶναι τῆς ἐν τῷ δήμῳ πειθοῦς τὴν ὑπόκρισιν. Ὤμνυ δὲ [58], ὡς ὁ Φαληρεύς φησι, Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα· καὶ δὴ καὶ ποτε ὀμόσας τοὺς ὅρκους τούτους τῷ δήμῳ θορυβον [59] ἐνεποιησεν, ὥσπερ καὶ ἐπὶ τῷ ὀμνύναι τὸν Ἀσκληπιὸν, χρώμενος τῇ φωνῇ προπαροξυτόνως. Ὅμως οὖν σχολάσας τῷ Μνησίῳ Εὐβουλίδῃ [60], ὃς τῶν διαλεκτικῶν οὐδενὸς τὰ δεύτερα ἤνεγκεν ἐπηνωρθώσατο πάντα ὅσα παρεῖχεν αἰτίαν ἁμαρτήματος.

Φασὶ δὲ τὸν Μακεδόνα Φίλιππον, ἐπεὶ τὰς κατ' αὐτοῦ δημηγορίας τοῦ Δημοσθένους ἐδέξατο καὶ ἀνέγνω, μέγα θαυμάσαντα εἰπεῖν ὡς Καὶ αὐτὸς ἄν, εἴπερ ἤκουσα κατ' ἐμοῦ δημηγοροῦντος Δημοσθένους, ἐχειροτόνησα ἄν τὸν ἄνδρα πρὸς τὸν κατ' ἐμοῦ πόλεμον. Ἐρομένου δὲ αὐτόν τινος τῶν συνήθων τίνες ἂν εἶεν πιθανώτεροι καὶ δυνατώτεροι λόγοι, Δημοσθένους, ἢ Ἰσοκράτους, ἔφη ὡς οἱ μὲν Δημοσθένους τοῖς στρατιώταις ἔοικασι, πολεμικὴ [61] γὰρ αὐτῶν καὶ σφοδρὰ [62] ἡ δύναμις, οἱ δὲ Ἰσοκρατους τοῖς ἀθληταῖς· θεατρικὴν γὰρ αὐτοὺς παρέχειν τέρψιν.

Ἐπεὶ δὲ ἡ καταδίκη φυγὴν τῆς πατρίδος ἐπέβαλε τῷ Αἰσχίνῃ, ἔφιππος καταδιώξας αὐτὸν τά τε ἄλλα παρεμυθήσατο, καὶ τάλαντον ἀργυρίου δέδωκε τἀναντία προσδοκῶντι Αἰσχίνῃ. Καὶ γὰρ θεασάμενος αὐτὸν ὁ Αἰσχίνης ἐπελαύνοντα, καὶ συλλαβεῖν αὐτὸν

VARIÆ LECTIONES.

45 ῥημάτων ς. 46 καὶ add. C. 47 διαθερμαινόμενον ς. 48 ἀνατρέχων δὲ] ἀνατρέχον A. 49 ἀναῤῥοιβδούμενον A. 50 ἀποκατέστησε B. 51 δ' ἑαυτόν B. 52 ἀμείνονος mg: libri ἀμείνω. 53 ὑπερίδει B. 54 κατέστησαν A. 55 Βοιωτείους ς. 56 πρεσβύτερος A. 57 αὐτὸν ς. 58 ὤμνυε ς. 59 θόρυβον τῷ δήμῳ B. 60 εὐβουλίδε ς. 61 πομπικὴ A. 62 σφόδρα ς.

Digitized by Google Распознавание текста ABBYY FR

ἐπὶ κακῷ νομίσας, προσέπεσέ τε καὶ συγκαλυψάμενος ἐδεῖτο σωτηρίας· ὁ δὲ, καθάπερ ἔφημεν, οὐ ῥήτορι μᾶλλον, ἀλλ' ἀνδρὶ πρέπον φιλοσόφῳ ἔργον εἰς αὐτὸν ἐπεδείξατο. Φέρειν δὲ γενναίως Δημοσθένους [63] ὑποτιθεμένου αὐτῷ τὴν φυγὴν Καί πῶς ἂν δυναίμην, [1476 R.] Αἰσχίνης ἔφη, τοιαύτης ἀποστερούμενος πόλεως, ἐν ᾗ καὶ τοὺς δοκοῦντας ἐχθροὺς εἶναι τῶν ἀλλαχόθι φίλων χρηστότητι καὶ καλοκαγαθίᾳ εὑρεῖν ἔστι διαφέροντας ;

Σιτώνης μέντοι γε καταστὰς ὁ Δημοσθένης καὶ κλοπῆς αἰτιαθεὶς ἀπελύθη. Φιλίππου μέντοι τὴν Ἐλάτειαν καταλαμβάνοντος, τοῖς ἐν Χαιρωνείᾳ καὶ αὐτὸς συνεστρατεύσατο μαχεσαμένοις· ἐν ᾗ καὶ λίπῶν ἐφάνη τὴν τάξιν. Ἐπεὶ δὲ φεύγοντος αὐτοῦ τὸ φυτὸν ὁ βάτος ἐπελάβετο τῆς χλαμύδος. ἐπιστραφέντα λοιδορεῖται εἰπεῖν Ζώγρει. Ἡ δὲ ἀσπὶς αὐτοῦ ἐπίσημον ἔφερε· Τὴν Τύχην. Τοὺς πεπτωκότας δὲ ἐν τῇ μάχῃ ἐκόσμησεν ἐπιταφίῳ, τῆς μὲν συμβάσης τύχης ἴσως οὐδὲν ἐνδεέστερον, τῆς δ' ἄλλης αὐτοῦ περὶ λόγους δυνάμεως οὐκ ὀλίγῳ ἐνδεέστερον. Εἶτα τὰ τὰ τῆς πόλεως ἐπεσκεύασε τείχη· ἐπιμελητὴς δὲ τούτων καταστὰς ἀπὸ τῆς ἰδίας οὐσίας κατεβαλετο [64] τὸ ἀνάλωμα ἀργυρίου μνᾶς ἑκατόν. Καὶ θεωροῖς δὲ μυρίας ἐπέδωκεν. Ἀλλὰ καὶ τριήρους ἐπιβὰς, τοὺς συμμάχους ἀργυρολογῶν περιεπλευσεν. [8(15 H.] Ἐφ' οἷς καὶ χρυσῷ πολλάκις ἐστεφανώθη στεφάνῳ, τὰ πρῶτα μὲν ὑπὸ Δημοτελοῦς, καὶ Ἀριστονίκου καὶ Ὑπερείδου, τελευταῖον δὲ ὑπὸ Κτησιφῶντος. Γράφέντος δὲ τοῦ ὑστέρου ψηφίσματος παρανόμων ὑπὸ Διοδότου καὶ Αἰσχίνου, εἰς ἀπολογίαν κατάστὰς [65] ἐνίκησε. Χρόνῳ δὲ ὕστερον ἐπὶ τὴν Ἀσίαν Ἀλεξάνδρου διαβεβηκότος, καὶ φυγόντος, Ἁρπάλεια μετὰ χρημάτων Ἁρπάλου, τὰ μὲν πρῶτα δημηγορῶν [66] οὐκ εἴα τὸν ἄνδρα παραδέχεσθαι, ἐπεὶ δὲ εἰσέπλευσε, Δαρεικοὺς χιλίους (ὥς φασι) λαβὼν πρὸς τοὺς ὑπὲρ αὐτοῦ λέγοντας μετετάξατο, καὶ βουλομένων Ἀθηναίων Ἀντιπάτρῳ προδουναι [67] τὸν ἄνθρωπον ἀντεῖπεν [68], τά τε Ἁρπάλεια [69] χρήματα εἰς ἀκρόπολιν ἔγραψεν ἀποθέσθαι, μηδὲ τῷ δήμῳ τὸν ἀριθμὸν αὐτῶν ἀποσημήνάμενος [70]. Λέγοντος δὲ Ἁρπάλου ψ' συγκατακομίσαι τάλαντα, τὰ ἀνενεχθέντα εἰς τὴν ἀκρόπολιν η' καὶ τ' ἢ ὀλίγῳ πλείονα εὑρέθη. Φυγόντος δὲ ἐκ τοῦ δεσμωτηρίου Ἁρπάλου, οἱ μὲν εἰς Κρήτην φασὶν, οἱ δὲ εἰς Ταίναρον τῆς Λακωνικῆς, δωροδοκίας αἰτίαν παρέσχεν ὁ Δημοσθένης. Ἐπεὶ ταύτῃ δὲ καταστὰς εἰς κρίσιν ὑπὸ Ὑπερείδου. Πυθέου [71], Μενεσαιχμου, Ἱμεραίου καὶ Πρωκλέους, οἳ καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν κατεσκεύασαν αὐτοῦ καταγνῶναι, ἑάλω, καὶ ἁλοὺς ἔφυγε, μὴ δυνάμενος ἀποτῖσαι πενταπλάσια· ἠτιῶντο δὲ αὐτὸν δωροδοκίας τάλαντα λ'. Ἔστι δὲ καὶ ἄλλος λόγος ὃς οὐδὲ τὴν κρίσιν αὐτὸν [72] ὑπομεῖναι λέγει, ἀλλὰ φυγεῖν τῶν μελλόντων κρίνειν αὐτὸν παρασκευαζομένων. Χρόνῳ δέ ὕστερον ὀλίγῳ Πολύευκτον ἔπεμψαν Ἀθηναῖοι πρὸς

A tus Æschines, ratusque ad injuriam calamitatemque rapi, genibus accidit, et capite obvoluto salutem deprecabatur. Hic vero, ut jam diximus, officium non tam oratore, quam philosopho dignum præstitit. Hortante autem Demosthene, ut exsilium æquo animo ferret, subjecit ille: *Qui possem*, inquit, *cum eam relinquo urbem, in qua eos inveni* 494*a* *hostes, qui benignitate amicos alibi longe superent?*

Hic etiam Demosthenes annonæ præfectus furtique accusatus, absolutus est. Cum vero Elateam Philippus occuparet, ipse cum iis, qui pugnaverant in Chæronea, militavit, in quo prælio ordinem fuga deseruisse visus est. Cum autem fugientis chlamydem rubus retinuisset, tum Demosthenes conversus imprecabatur, ζώγρει serva : vivum, inquit, cape. Notatum hoc in clypeo habuit, et signatum : *Bona fortuna*, orationemque habuit in funere eorum, qui in bello cecidissent, quæ si fortunæ tunc statum, conditionemque spectes, forte non indigna Demosthene videatur, at si cum aliarum virtutibus orationum componas, non parum deterior. Postea vero cum ad urbis refectionem studio curaque intentus esset, murorum curator factus de sua pecunia ad eam rem impendit minas centum : ad spectacula autem decem minarum millia contulit, triremesque conscendit, et undique ad socios navigans pecunias coegit, quas ob res persæpe ipse aurea corona est donatus, primum quidem a Demotelo, Aristonico, et Hyperide : postremum vero a Ctesiphonte. Cumque decretum hoc tanquam contra leges factum, Diodotus atque Æschines accusassent ipse pro se defensione usus vicit. Postea vero cum Alexander in Asiam exercitum ductaret, Harpalusque Athenas cum facultatibus pecuniisque fugeret, hunc quidem primo recipi orator prohibuit : deinde postquam navigio est ingressus, acceptis mille Daricis acquievit. Cumque Athenienses hominem Antipatro dedere vellent, repugnavit scripsitque ut ea, quam secum attulerat Harpalus, pecunia in summa arce deponeretur, utque Harpalus ejus ipsius pecuniæ numerum ac summam diceret, neque populo pecuniæ summam indicavit. Cum autem dixisset Harpalus septingenta talenta a se allata, et in arce collocata, octo tantum et trecenta, aut paulo amplius reperta sunt. Postea cum Harpalus e carcere aufugisset, atque in Cretam, vel, ut alii volunt, in Tænarum agri Laconici oppidum venisset, accusatus Demosthenes acceptorum donorum est, vocatusque in judicium ab Hyperide, Pythæa, Menesæchmo, Himeræo, Procle : quorum opera effectum est, ut Areopagitarum sententia condemnatus exsulatum abiret, cum multæ in quintuplam solvendæ non esset futurus satis. Accusabant autem quod triginta talenta accepisset, vel, ut nonnulli dicunt, non 494 *b*

VARIÆ LECTIONES.

[63] Δημοσθένους vulgo post φυγὴν ponunt. [64] κατεβάλλετο ς. [65] καταστὰς] ἀποκαταστὰς A. [66] τὰ μὲν πρῶτα δημηγορῶν om. B. [67] προδοῦναι] imo παραδοῦναι. [68] ἀνεῖπεν ς. [69] Ἁρπάλια ς. [70] ἐπισημηνάμενος A. [71] Πυθέου B : Πυθαίου ς. [72] αὐτῶν B : αὐτῶν ς.

Digitized by Google Распознавание текста ABKFR

et orationes scripitantem. Is cum Platonis philosophi auditor una cum Isocrate fuisset, rempublicam Athenis gessit, quo tempore Alexander rerum Græciæ potitus est: eique de ducibus et triremibus, quas ab Atheniensibus petiit, contradixit. Idem non dimittendi exercitus, qui in Tænaro erat, auctor fuit. Honores Demostheni decrevit: accusatusque a Diodoto violatarum legum, mox absolvitur. Amicis usus est, Demosthene, Lysicle, et Lycurgo; quam tamen amicitiam perpetuo non servavit, sed posteaquam Lysicles, et Lycurgus e vita excessissent, judiciumque subiret Demosthenes, quod ab Harpalo pecunia corruptus videretur, designatus ab omnibus ipsum Demosthenem accusavit. Cæterum ab Aristogitone legum male latarum actio contra hunc est intenta, quod decretum fecisset, ut alienigenæ post pugnam ad Chæroneam, cives fierent, atque servis libertas daretur, et sacra, et liberi, et uxores in Pyræum deferrentur, quo ille judicio absolutus est. Cum autem accusaretur, quod in decreto a se facto multas leges neglexisset: *Nisi*, inquit, *Macedonum arma mihi tenebras offudissent, non ego decretum illud scripsissem, sed pugna ad Chæroneum commissa coegit.* Primum, nondum orator ab Atheniensibus electus, mercede accusavit. Persicæ visus es pecuniæ dum Ephiale participasse: deinde commissa illi cura triremium, quando Philippus Byzanthium obsidebat, et prompte Byzantinis suppetias cum portasset, 496*a* choragi officium suscepit eo anno omnibus aliis a publico munere abdicatis. Decreti quoque ab eo sunt honores Iolæ, qui Alexandro Magno venenum lethiferum miscuerat, fuitque socius ac particeps belli Lamiaci cum Demosthene, funebremque pro iis qui in eo bello decidissent orationem, magna cum omnium admiratione habuit. Cum vero Philippus in Eubœam navigare contenderet, Atheniensesque sibi ab eo metuerent, ex publicis largitionibus triremes confecit quadraginta, primusque pro se ac filio duas triremes dedit. Cumque Delii cum Atheniensibus contenderent, utros templo Apollinis Delphici præesse necesse esset, delectusque esset Æschines, qui ea de re diceret, decrevit Areopagitarum consilium, ut ad id muneris Hyperides vocaretur, estque ipsius Hyperidis Deliaca inscripta oratio. Cumque ab Antipatro legati venissent, ipsumque Antipatrum, ut optimum, laudarent, his se opponens, Hyperides: *Scimus*, inquit, *istum esse optimum, sed tamen nobis nihil optimo domino est opus.* At cum Phocionis largitionem accusasset, quam Midias Anagyrasius retulerat, causa cecidit. Post illam ad Cranonem cladem acceptam postulatus est ab Antipatro, cumque eum populus dedere vellet, Athenis fugit Æginam. Cumque Demostheni occurrisset, propter illam quæ ex cau. æ dictione con-

ὃς καὶ λόγους συνεγράψατο. Πλάτωνος δὲ τοῦ φιλοσόφου ἠκροάσατο, καὶ δὴ καὶ Ἰσοκράτους. Ἐπολιτεύσατο δὲ Ἀθήνησιν, ὅτε Ἀλέξανδρος ὁ Μακεδὼν τῶν Ἑλληνικῶν ἥπτετο πραγμάτων, καὶ δείκνυται ἀντειπὼν αὐτοῦ τῇ αἰτήσει, ἥτις τοὺς στρατηγοὺς τῶν Ἀθηναίων καὶ τὰς τριήρεις ἀπῄτει. Συνεβούλευσε δέ τοις Ἀθηναίοις καὶ τὸ ἐπὶ Ταίναρον ξενικὸν διαλῦσαι. Ἔγραψε δὲ καὶ Δημοσθένει τιμὰς, καὶ γραφέντος ὑπὸ τοῦ Διοδότου παρανόμων τοῦ ψηφίσματος ἀπέφυγε. Φίλος δέ τοις περὶ Δημοσθένην καὶ Λυσικλέα καὶ Λυκοῦργον γεγονὼς οὐ μέχρι τέλους τὴν φιλίαν συνετήρησεν, ἀλλ' ἐπεὶ Λυσικλέα μὲν καὶ Λυκοῦργον ὁ βίος ἀπέλιπε, Δημοσθένης δὲ εἰς κρίσιν ἤγετο ὡς παρὰ Ἁρπάλου δωροδοκήσας 85, ἐξ ἁπάντων αὐτὸς κατήγορος προεχειρίσθη τοῦ ῥήτορος. Κριθεὶς δὲ παρανόμων ὑπὸ τοῦ Ἀριστογείτονος, διότι μετὰ τὴν Χαιρώνειαν τοὺς μετοίκους πολίτας ἔγραψε ποιήσασθαι, ἐλευτέρους δὲ τοὺς δούλους, ἱερά δὲ καὶ παῖδας καὶ γυναῖκας εἰς τὸν Πειραιᾶ παραθέσθαι, κἀνταῦθα κρείττων τοῦ δοῦναι δίκην ἐγένετο. Αἰτιωμένων δὲ αὐτὸν οὐκ ὀλίγων ὡς πολλοὺς τῶν νόμων ἐν τῷ ψηφίσματι παριδόντα, Ἐπεσκότει γὰρ μοι τὰ Μακεδόνων, ἔλεγεν, ὅπλα· καὶ οὐκ ἐγὼ μᾶλλον τὸ ψήφισμα, ἀγλ' ἡ ἐν Χαιρωνείᾳ μάχη ἔγραψε. [1481 R.] Πρότερον δὲ μήπω δημήγορος [808 H.] αἱρεθεὶς Ἀθηναίοις μισθοῦ δίκας ἔλεγε. Δόξας δὲ τῶν Περσικῶν μετεσχηκέναι χρημάνων Ἐφιάλτῃ, εἶτα τριήραρχος αἱρεθεὶς, ὅτε Φίλιππος ἐπολιόρκει Βυζάντιον, καὶ βοηθήσας προθύμως Βυζαντίοις, ὑπέστη χορηγῆσαι κατὰ τὸν ἐνιαυτὸν τοῦτον, τῶν ἄλλων ἁπάσης λειτουργίας ἀφειμένων. Ἐψηφίσατο δ' οὗτος πολιτευόμενος καὶ τιμὰς Ἰόλᾳ, ὃς Ἀλεξάνδρῳ τὸ δηλητήριον ἐκεράσατο φάρμακον. Ἐκοινώνησε δέ καὶ τοῦ Λαμιακοῦ 88 πολέμου τῷ Δημοσθένει, καὶ ἐπὶ τοις ἐν τῇ μάχῃ πεσοῦσιν ἐπιτάφιον εἶπεν, πολλῶν ἐπὶ τούτῳ 87 θαῦμα καὶ ἔπαινον κερδωτάμενος, Φιλίππου δὲ πλεῖν ἐπ' Εὐβοίας παρεσκευασμένου, καὶ τῶν Ἀθηναίων εὐλαβῶς διακειμένων, τριήρεις ἤθροισεν οὗτος 88 μ' ἐξ ἐπιδόσεως, καὶ πρὸ τῶν ἄλλων αὐτὸς ὑπέρ τε αὐτοῦ καὶ τοῦ παιδὸς β' τριήρεις ἐπέδωκε. Συστάντος 89 δέ τοῦ πρὸς Δηλίους ἀμφισβητήματος, ποτέρους δεῖ προϊστασθαι τοῦ ἱεροῦ, ἡρέθη μὲν Αἰσχίνης συνειπεῖν, ἡ δὲ ἐξ Ἀρείου πάγου βουλὴ Ὑπερείδην προεστήσατο· καὶ ἔστιν ὁ λόγος τὴν ἐπιγραφὴν Δηλιακὸς ἐπιφερόμενος. Ἠκόντων δὲ καὶ παρὰ Ἀντιπάτρου πρέσβεων 90, καὶ δι' ἐπαίνου τὸν Ἀντίπατρον ποιουμένων καὶ πολλὴν ἐπιμαρτυρομένων χρηστότητα, Οἶδα μὲν 91, εἶπεν, ὡς χρηστὸς ὁ Ἀντίπατρος, ἀλλ' ἡμεῖς γε οὐ δεόμεθα χρηστοῦ δεσπότου. Γραψάμενος μέντοι γε τὴν Φωνίωνος δωρεὰν, ἣν εἶπε Μειδίας 92 Μειδίου Ἀναγυράσιος, κατὰ τοῦτον τὸν ἀγῶνα τὸ ἔλαττον ἤνεγκε. Συμβάντος δε τοῦ περὶ Κράνωνα πάθους ἐξαιτηθεὶς ὑπὸ Ἀντιπάτρου, ἐπεὶ ἐμελλεν αὐτὸν ὁ δῆμος ἐκδιδόναι,

VARIÆ LECTIONES.

85 δωροδοκηθεὶς B. 86 Λαμιακοῦ mg. : libri Λαβαϊκοῦ. 87 τούτῳ B, et corr. A : τοῦτο ς. 88 οὗτος ἤθροισεν B 89 συστάντος] στάντος B. 90 πρεσβευτῶν B. 91 οἶδα μὲν, οἴδαμεν B. 92 Μηδίας, Μηδίου A.

Digitized by Google Распознавание текста ABKJER

τῆς Ἀθηναίων πόλεως εἰς Αἴγιναν ἀποφεύγει. Καὶ συγγεγονὼς Δημοσθένει, καὶ ἀπολογησάμενος ὑπὲρ ὧν πρὸς αὐτὸν διηνέχθη, ἀπαλλαγεὶς ἐκεῖθεν ὑπ' Ἀρχίου τοῦ ἐπονομασθέντος φυγαδοθήρα ἐν αὐτῷ τῷ τοῦ Ποσειδῶνος ἱερῷ συνελήφθη, καίτοι [93] καὶ τοῦ ἀγάλματος ἐχόμενος. Ἐντεῦθεν πρὸς Ἀντίπατρον ἀχθεὶς ἐν Κορίνθῳ διατρίβοντα, καὶ βασανιζόμενος ἐφ' ᾧ τὰ ἀπόῤῥητα τῆς πόλεως ἐξειπεῖν, ἐπὶ τοσοῦτον [94] ἠνδρίσατο μηδὲν κατὰ τῆς πατρίδος ἐξειπεῖν [95], ὥστε καὶ τὴν γλῶσσαν διαφαγὼν, ἵνα μὴ ἄκων [96] τι παραφθέγξηται, μετήλλατε τὸν βίον. Εἰσὶ δὲ οἳ φασιν αὐτὸν εἰς Μακεδονίαν ἀχθέντα τὴν τε τῆς γλώττης ἐκτομὴν ὑποστῆναι καὶ μετὰ θάνατον ἄταφον ῥιφῆναι. πλὴν οἵ γε προσήκοντες αὐτῷ παρὰ τὸ δόγμα τῶν Μακεδόνων, καύσαντες τὰ ὀστᾶ εἰς Ἀθήνας μετεκόμισαν.

tra illum ortа fuerat contentionem, illinc discessurus, vi (licet simulacrum amplexaretur) comprehensus in templo Neptuni ab Archia est, qui Phygadotheras nomine dicebatur, hinc ad Antipatrum, qui tum Corinthi agebat ductus. Cumque torqueretur, ut proferret arcana civitatis, adeo se virum præbuit, ne quid contra patriam diceret, ut linguam corrodens, ne quid invito sibi excideret, mortem oppetierit. Referunt nonnulli hunc linguam sibi præcidisse, cum in Macedoniam duceretur, eumque a morte insepultum projectum, nisi quod amici illius, invitis Macedonibus, ossa ejus cremantes Athenas retulerint.

ΣΞΖ'.

Δεινάρχου λόγοι.

Ἀνεγνώσθησαν [97] Δεινάρχου λόγοι διάφοροι. Φέρονται δὲ αὐτοῦ δ' καὶ ξ', οὓς οἱ πλεῖστοι τῶν κριτικῶν γνησίους τιθέασιν· εἰσὶ δέ οἵ τινας ἐξ αὐτῶν εἰς Ἀριστογείτονα Ὑπερείδῃ συναγωνίσασθαι μεταφέρουσιν. Οἱ δὲ λόγοι αὐτοῦ τοῖς μὲν τοῦ Ὑπερείδου ἰδιώμασιν ἔοθ' ὅτε διαμορφοῦνται, μᾶλλον δὲ πρὸς Δημοσθένην ἀποκεκλικότες φαίνονται, ἐν [809 H.] οἷς τὸ παθητικὸν αὐτοῦ καὶ σφοδρὸν καὶ τὸν σχημάτων τὸν τύπον καὶ τὴν ποικιλίαν σπουδὴν ἔσχον [98] ἐκμιμήσασθαι. Οὗτος υἱὸς μὲν ἦν Σωκράτους, ἢ Σωστράτου, Ἀθηναῖος τὴν πατρίδα, ὡς δ' ἄλλοις ἐῤῥήθη, Κορίνθιος. Ἀφικόμενος δὲ εἰς Ἀθήνας ἔτι νέος ὢν [1484 R.] Θεοφράστου ἠκροάσατο. Ἀλέξανδρος δὲ τηνικαῦτα ἐπὶ τὴν Ἀσίαν διέβαινεν. Ὁμιλητὴς δὲ καθέστηκε Δημητρίου τοῦ Φαληρέως. Μετὰ δὲ τὴν Ἀντιπάτρου τελευτὴν, ἐτεὶ τῶν ῥητόρων οἱ μὲν ἔφυγον, οἱ δὲ ἀνῃρέθησαν, αὐτὸς ἐδείχθη πολιτευόμενος. Εἰς φιλίαν δὲ Κασάνδρῳ τῷ Μακεδόνων ἡγεμόνι συνάψας, καὶ χρήματα τῶν λόγων εἰσπραττόμενος οὓς τοῖς δεομένοις συνέταττεν, ἐπὶ πλεῖστον εὐδαιμονίας ἀφίκετο. Ἀντετάττετο δὲ πρὸς τοὺς ῥήτορας οὐκ εἰς τὸν δῆμον αὐτὸς παριὼν (οὐ γὰρ οἷός τε ἦν), τοῖς ἐναντιουμένοις [99] δὲ τοὺς λόγους παρεχόμενος. Διὸ καὶ Ἁρπάλου δραφυγόντος ἐξ Ἀθηνῶν πλείστους λόγους νοτς κατηγόροις ἐξέδωκε κατὰ τῶν δωροδοκῆσαι λαβόντων αἰτίαν. Χρόνῳ δέ ὕστερον ἐμπεσὼν εἰς αἰτίαν ὡς Κασάνδρῳ κοινολογεῖται κατὰ τῆς πόλεως, τὰ πλεῖστα τῆς περιουσίας εἰς ἀργύριον μεταβαλὼν ἔφυγεν εἰς Χαλκίδα. Ἐπὶ δὲ τῆς φυγῆς διαμείνας ἐγγὺς ἔτη δέκα πέντε, καὶ πολλὴν οὐσίαν περιβαλόμενος [1], πραξάντων αὐτῷ τὴν κάθοδον τῶν περὶ Θεόφραστον συγκατῆλθεν ἅμα τοῖς ἄλλοις φυγασι. Παρὰ δὲ Προξένῳ τῷ αὐτοῦ καταλύσας ἑταίρῳ, καὶ τὸ χρυσίον ἀπολωλεκὼς, ἤδη γηραιὸς ὢν καὶ τὰς ὁράσεις ἀσθενὴς λαγχάνει τῷ Προξένῳ δίκην, καὶ τότε πρῶτον ὤφθη λέγων ἔν δικαστηρίῳ. φέρεται δέ αὐτοῦ καὶ ὁ κατὰ Προξένου λόγος.

CCLXVII.

Dinarchi orationes.

Lectæ sunt variæ orationes Dinarchi, quæ sunt numero sexaginta quatuor, quas omnes plurimi Critici 496*b* germanas esse dicunt. Sunt qui nonnullas Aristogitoni, qui tempore Hyperidis floruit, attribuunt. Orationes autem ejus interdum Hyperidis stylum redolent: magis vero ad Demosthenem inclinare videntur, quibus incitationem ipsius et vehementiam, et schematum formas et varietatem imitari conatur. Socratis, aut Sostrati erat filius, indigena ut nonnullis videtur, ut quibusdam, Corinthius. Cum vero admodum adolescens Athenas venisset, quo tempore in Asiam duxit exercitum Alexander, Theophrastum audivit, versatusque cum Demetrio Phalereo est. Maxime vero se reipublicæ tradidit post Antipatri mortem, ex oratoribus aliis quidem morte e medio sublatis: aliis vero fuga ereptis. Hic cum Cassandro Macedonum duci amicitia esset conjunctus, maximam vim argenti coacervavit, venditis orationibus conscripsit. Porro se quibusque clarissimis oratoribus opposuit, non quod publice causas ageret, (neque enim poterat) sed cum orationes judicio adversus illos disceptantibus scriberet. Cumque Athenas Harpalus fugisset, plures scriptæ sunt ab eo contra eos, qui accusati pecuniarum ab hostibus acceptarum essent. Post vero illud tempus, accusatus quod ad Cassandrum colloquendi gratia venisset, ex facultatibus conflata ingenti pecunia fugit in Chalcidem. In exsilio vero cum mansisset annis quindecim, multis opibus comparatis, rediit opera ac studio Theophrasti, qui illi, cæterisque, qui una exsulabant, reditum in patriam aperuit. Cum autem diverteret apud Proxenum ejus socium, jamque senex, et oculorum acie debilis argentum amisisset, diem Proxeno dixit, ac tum primum in judicio dixit, eaque exstat oratio.

VARIÆ LECTIONES.

93 καίτοι add. A. 94 τοσοῦτο A. 95 εἰπεῖν A. 96 ἄκον Ϛ. 97 ἀνεγνώσθη A. 98 ἔσχον] ἔχων A. ἐναντίοις B. 1 περιβαλόμενος B : περιβαλλόμενος Ϛ.

Digitized by Google Распознавание текста ABK/FR

Novem oratorum orationes, quas legimus, his continentur.

Τῶν μὲν οὖν [2] θ′ ῥητόρων οἱ λόγοι, ὧν ἐποιησάμεθα τὴν ἀνάγνωσιν, ἐν τούτοις περιγράφεται ἡ μνήμη.

CCLXVIII.

Lycurgi orationes.

Non fuit otium legendi orationes Lycurgi, qui non pauciores, quam cæteri oratores, orationes scripsit. Scriptas vero ex ejus historia solum quindecim didicimus. 497*a* Patrem habuit Lycophronem, Lycurgi filium, quem triginta tyranni interfecerunt, tribu Eteobutades fuit. Primum quidem, ut historia testatur, philosophiæ studio se dedit, in quo magistro est usus Platone philosopho. Deinde factus Isocratis familiaris, versabatur in republica præclare, tum dicendo tum faciendo: et jam illius fidei pecuniarum administratio erat commissa. Quæstor vero creatus, et per tria lustra quæsturam gessit quatuordecim millium talentorum (14). Ad bellicos apparatus delectus, rempublicam fractam multis rebus meliorem et firmiorem reddendo instauravit, triremesque populo trecentas instruxit, multaque opera imperfecta relicta ad finem perduxit: navalia item et rerum necessariarum armamentarium: ipse quoque fundamentorum jaciendorum in stadio Panathenaico auctor fuit. Penes hunc fuit civitatis custodia, et sceleratos comprehendendi potestas: quos omnes ita ejecit, ut sophistarum nonnulli dicerent, Lycurgum non atramento, sed sanguine calamum contra improbos intingentem conscribere. Tantum sui desiderium, amoremque Atheniensibus reliquit, ut cum esset ab Alexandro cum cæteris oratoribus postulatus, populus nequaquam hunc dedendum existimarit. Legationes multas obiit: cum Demosthene vero ad Peloponnesios (15). Magna fuit Athenis gloria, semperque æquitatis laude valuit, ut in judiciis Lycurgi sermonem protulisse, patrocinio adderet auctoritatem. Tulit vero leges, quarum quinta est, ne mulier Eleusiuem vehiculo iter faceret, ne tenuiores ditioribus essent inferiores. Ἐποιήσατο δὲ καὶ νόμων εἰσφορὰς διαφόρων· ὧν ἐστὶ πέμπτος, ὃς οὐκ ἐᾷ τὰς γυναῖκας Ἐλευσῖνάδε ἐπὶ ζεύγους ὀχουμένας ἀφικνεῖσθαι, ὡς ἂν αἱ δημοτικαὶ μὴ ὦσιν ὑπὸ τῶν πλουσίων ἐλαττούμεναι.

ΣΞΗ′.

Λυκούργου λόγοι.

Λυκούργου δὲ οὐδενὸς τῶν ἄλλων, ὅσα γε τελεῖν εἰς ῥήτορας καὶ δημαγωγοὺς τὸ ἔλαττον φερομένου οὕπω παρέσχεν ἡμῖν ὁ χρόνος λόγους ἀναγνῶναι, φέρεσθαι δὲ αὐτοῦ ἐξ ἱστορίας ιε′ μεμαθήκαμεν. Οὗτος δὲ υἱὸς μὲν ἦν Λυκόφρονος τοῦ Λυκούργου, ὃν ἡ τῶν λ′ τυραννὶς ἀνεῖλε, τὸν δῆμον Ἐτεοβουτάδης· ἠκροάσατο δὲ τὰ μὲν πρῶτα (ὡς ἡ ἱστορία λέγει) Πλάτωνος τοῦ φιλοσόφου, ἔπειτα δὲ καὶ τοῦ ῥήτορος Ἰσοκράτους. Ἐπολιτεύσατο δὲ καὶ λέγων καὶ πράττων ἐπιφανῶς, καὶ τὰ τῆς πόλεως χρήματα διοικεῖν καταπιστευθεὶς ἐπὶ γ′ πενταετηρίδας κατὰ τὸ ἄριστον ταῦτα καὶ φιλοπονώτατον, ταλάντων μυρίων ὄντα καὶ τετρακισχιλίων διψηκήσατο, Χειροτονηθεὶς δὲ [3] ἐπὶ τὴν τοῦ πολέμου παρασκευήν, ἄλλα τε πολλὰ τῆς πόλεως καὐερρύηκότα ἐπανέλαβε, καὶ τριήρεις τῷ δήμῳ υ′ παρεσκεύασε. Πολλὰ δὲ καὶ τῶν ἔργων ἡμιτελῆ παρειληφὼς εἰς τέλος προήνεγκε [4], νεώς τε οἴκους ἐδείματο, καὶ τὴν σκευοθήκην ἐπεσκευάσατο, καὶ τῷ παναθηναϊκῷ σταδίῳ τὴν κρηπῖδα ὑπεβάλετο. Ἐπιστεύθη δὲ [5] καὶ τοῦ ἄστεος [810 H.] τὴν ἐπιμέλειαν, καὶ μὴν καὶ τῶν κακούργων τὴν ἀνευρεσίν τε καὶ σύλληψιν· καὶ οὕτως ἐκάθηρε [6] τὴν πόλιν τῶν κακούργων [7], ἐξελάσας ἁφαντας, ὡς καὶ παρ' ἐνίοις τῶν σοφιστῶν [8] λέγεσθαι ὅτι μὴ μέλανι Λυκοῦργος ἀλλὰ τῷ θανάτῳ χρίων τὸν κάλαμον τὰ κατὰ τῶν πονηρῶν ψηφίσματα ἔγραψε. Τοσοῦτον δέ πόθον αὐτοῦ καὶ αἰδῶ τοῖς Ἀθηναίοις ἐνεποίησε πολιτευόμενος, ὡς αἰτήσαντος αὐτὸν Ἀλεξάνδρου τοῦ βασιλέως, ὥσπερ καὶ τοὺς ἄλλους, ὁ δῆμος οὐ προήκατο. Ἐπρέσβευσε δὲ καὶ πρὸς διαφόρους πόλεις καὶ μετὰ Δημοσθένους εἰς Πελοπόννησον. Καὶ διετέλεσε [9] τὸν τοῦ βίου χρόνον εὐδοκιμῶν καὶ δίκαιος εὖναι παρ' Ἀθηναίοις νομιζόμενος· [1485 R.] διὸ καὶ τὸ λόγον τινα προενεγκεῖν ἐν τοῖς δικαστηρίοις ὑπέρ ὁτουοῦν μεγάλη τῷ συναγορευθέντι βοήθεια ἐγίνετο [10].

Cum autem vectigalium exactor quidam manus in Xenocratum philosophum injecisset, cumque in custodiam abduceret, huic datus obviam Lycurgus baculum in caput impegit, ipsumque Xenocratem liberavit, illum autem turpis atque infamis facinoris auctorem, in carcerem compingi jussit. Hanc ob causam cum esset collaudatus Lycurgus, paucisque elapsis diebus Lycurgi filii Xenocrati

Ξενοκράτει δέ ποτε τῷ [11] φιλοσόφῳ τὰς χεῖρας ἐπιβαλόντος τελώνου, καὶ πρὸς τὸ μετοίκιον αὐτὸν ἄγοντος, συναντήσας τὸν μὲν φιλόσοφον ἀπέλυσε, τὴν δὲ κεφαλὴν τοῦ τελώνου ῥάβδῳ παίσας, ἅτε δὴ [12] κατὰ τοῦ πρέποντος ἀποθρασυνομένου, δεσμωτήριον οἰκεῖν παραδέδωκε, καὶ πολλῶν ἐπαίνων ἐπὶ ταύτῃ τῇ πράξει τετύχηκε. Διὸ καὶ μεθ' ἡμέρας τινὰς τοῖς παισὶ τοῦ Λυκούργου Ξενοκράτης συντυχὼν ταχύ

VARIÆ LECTIONES.

[2] οὖν om. B. [3] δὲ om. A. [4] παρήνεκε A. [5] δὲ om. B. [6] κάθηρε pr. A. [7] τῶν κακούργων τὴν πόλιν ς. [8] σοφῶν ς. [9] ἐτέλεσε A. [10] ἐγένετο ς. [11] τῷ add. A. [12] δή] fortasse μή.

NOTÆ.

(14) Hodie sunt octo myriades et quadraginta millia scutatorum Budæo, ut singula talenta sexcentis coronatis æstimentur.

(15) Polyeuctum hic tertium addit legatum in Peloponnesum Plutarchus.

Digitized by Google Распознавание текста ABK/ER

που [13], ἔφη, τῷ πατρὶ ὑμῶν, ὦ παῖδες, ἀποδέδωκα τὴν χάριν· ἐπαινεῖται γὰρ ὑπὸ τῶν πλειόνων, ὅτι μοι γέγονε βοηθὸς προπηλακιζομένῳ. Ἐν δὲ ἱμάτιον περιεβάλλετο θέρους τε καὶ χειμῶνος, καίτοι τῶν [14] τῆς πόλεως εὐπόρων οὐδενὸς ἐλαττούμενος. Ἀλλὰ καὶ ἀνυπόδετος τὰ πολλὰ διῆγεν, εἰ μὴ τὸ πρέπον αὐτὸν ἐδιάζετο πρὸς τὴν τῶν [15] ὑποδημάτων κατελθεῖν χρείαν. Οὐκ εὖ δὲ πεφυκὼς πρὸς τὰ αὐτοσχέδια νύκτος καὶ ἡμέρας ἐμελέτα, τὸ ἐνδέον τῇ φύσει ἀναπληρῶν τοῖς πόνοις. Καὶ τὸ κλινίδιον δὲ αὐτῷ, ἐφ' ᾧ ἐκάθευδε, κρόκῃ μόνῃ καὶ προσκεφαλαίῳ ἐστρώννυτο, ὡς ἂν ῥᾳδίως ἀνιστάμενος τοῦ ὕπνου μελετῷη. Καὶ παῤῥησιαστὴς δὲ διὰ τὴν εὐγένειαν ὑπῆρχε· διὸ καὶ Ἀθηναίων ποτὲ δημηγοροῦντος αὐτοῦ μὴ ἀνεχομένων εἰς ἐπήκοον [16] ἀνέκραγε πάντων· Ὦ Κερκυραία μάστιξ, ὡς πολλῶν ταλάντων εἶ ἀξία. Μέλλων δὲ τελευτᾷν εἰς τὸ μετρῷον καὶ τὸ βουλευτήριον προστάξας ἐκομίσθη, εὐθύνας δοῦναι τῶν πολιτευμάτων βουλόμενος. Οὐδενὸς δὲ κατηγορήσαντος πλὴν Μενεσαίχμου, τῶν διαβολῶν ὑπέρτερος φανεὶς εἰς τὴν οἰκίαν ἀπεκομίσθη καὶ ἐτελεύτησεν. Οὐκ ἐν τούτῳ δὲ μόνον τῷ ἀγῶνι τὴν νικῶσαν ἔσχεν, ἀλλὰ καὶ πολλάκις κατηγορηθεὶς καὶ τὰς αἰτίας εὖ μάλα διαλυσάμενος ἐκράτησε τῶν ἀνταγωνιστῶν· πολλάκις δὲ καὶ στεφάνων ἠξιώθη παρὰ τοῦ δήμου. Κατέλιπε δὲ καὶ παῖδας ἐκ Καλλιστοῦς Ἄβρωνα, Λυκοῦργον, Λυκόφρονα· οὓς καὶ τελευτήσαντος Λυκούργου οἱ ἀγνώμονες Ἀθηναῖοι [811 H.] τοῖς [17] Ἕνδεκα [18] παρέδωκαν, Μενεσαίχμου [19] μὲν κατηγορήσαντος, γραψαμένου δὲ Θρασυκλέους. Ὕστερον μέντοι τούτους ἠθώωσαν, Δημοσθένους ἐπιστείλαντος ἀπὸ τῆς φυγῆς τοῖς Ἀθηναίοις ὡς πολλὴν αὐτῶν κατεσκέδασαν διαβολήν, τηλικούτου παῖδας ἀνδρὸς δεσμωτήριον οἰκεῖν παρεδεδωκότες ἀνθ' ὧν ὁ πατὴρ ἐπολιτεύσατο, ὃν καὶ ζῶντα δι' αἰδοῦς τε [20] ἦγον καὶ ἐθαύμαζον.

A obvii fuissent : *Cito*, inquit, *o filii, patri vestro gratiam reddidi. A multis enim laudatur, quod me contumelia et injuria affectum vindicarit.*

497b Tametsi vero abundaret divitiis, ut nemo in urbe magis, vestem tamen unicam gestabat et æstate, et hyeme: quin et non calceatus plerumque incedebat, nisi cum honestas calceis uti cogebat. Dies noctesque rerum meditatione defixus erat, quod eum natura ad dicendum ex tempore non satis aptum genuisset, ut quod naturæ deerat, labore pensaret: et quo facilius excitaretur, et cogitatione uti posset, lectulum habebat suppositum, in quo pellis tantum erat villosa, et cervical. Erat in eo summa in loquendo libertas propter generositatem. Cum Atheniensibus aliquando ipsum con-
B cionantem non ferrent ad eos exclamavit: *O flagrum Corcyræum, quam mutilis tatentis es dignum?* Cum vero instare mors videretur, se in matris deum delubrum, ad senatum deferri jussit, cupiens rerum a se in republica gestarum rationem reddere: ubi cum illum ut omni calumnia superiorem accusare præter Menesæchmum auderet nemo, domum est relatus et mortuus. Neque in hac modo contentione victor, sed et sæpenumero accusatus criminibus facile refutatis, adversarios superavit. Sæpe etiam coronas a populo accepit. Filios autem ex Calliste Abronem, Lycurgum, et Lycophronem reliquit, quos, mortuo Lycurgo, ingrati Athienses Undecemviris tradiderunt, accusante Menesæchmo, Thrasycle accusatione scribente. Sed cum
C Demosthenes in exsilio agens, per litteras Atheniensibus significaret, male illos audire ob tanti viri filios vinculis traditos, quod pater rempublicam administrarit, quem etiam vivum reverenter admirati essent, et coluissent, insontes declararunt.

ΣΞΘ'.

Ἀνεγνώσθησαν [21] διαφόρων ἱερῶν ἀνδρῶν λόγοικα, διαφόρους ὑποθέσεις μενεγκόμενοι, ὧν ἡ παροῦσα ἐκλογὴ τῆς τῶν ῥημάτων καλλονῆς καὶ ὡραιότητος ἔρωτα λαβοῦσα, πρὸς ἐκείνας ὡς ἐπίπαν καὶ τὸν πλεῖστον σκοπὸν τῆς ἐκδόσεως ἀναφερόμενον ἔχει, εἰ καὶ ἔτερά τινα ταύταις συνεισάγεται [22].

Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων ἐκ τοῦ εἰς τὸν ἅγιον Θωμᾶν ἐγκωμίου.

Ἀνεγνώσθησαν [23] Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων ἐκ τοῦ εἰς τὸν ἅγιον Ἀνδρέαν [24] ἐγκωμίου. [1488 R.] Σάλπιγξ ἡμᾶς ἱερατικὴ πρὸς πανήγυριν ἤθροισεν Ἀνδρέας ὁ τοῦ χοροῦ τῶν ἀποστόλων πρωτότοκος, ὁ πρωτοπαγὴς τῆς Ἐκκλησίας στύλος, ὁ πρὸ Πέτρου Πέτρος [25], ὁ τοῦ θεμελίου θεμέλιος, ἡ [26] τῆς ἀρχῆς ἀρχὴ [27], ὁ πρὶν κληθῆναι καλῶν, ὁ πρὶν

CCLXIX.

Legi diversorum sanctorum virorum libros viginti et unum, diversorum omnino argumentorum: unde hæc epitome, pulchritudinem venustatemque verborum comprehendens, eo hisce omnibus exceptis respicit, quanquam alia nonnulla cum his conjungantur.

Ex Hesychii presbyteri Hierosolymitani Encomio in beatum Thomam, [*Dominica in Albis forte pronuntiato.* Joan. 20.]

D **498a** Legimus nonnulla Hesychii presbyteri Hierosolymitani ex encomio sancti Thomæ; Sacra illa tuba Andreas, primus apostolorum fœtus, prima Ecclesiæ columna, ante Petrum petra, fundamenti fundamentum, initii primitiæ, vocans antequam vocaretur, adducens antequam adduceretur, nos ad conventum hunc solemniter agendum incitavit.

VARIÆ LECTIONES

[13] γε A : τε ς. [14] τῶν, καὶ τῶν B. [15] τῶν om. A. [16] ἐπήκοον B : ὑπήκοον ς. [17] τοῖς om. A. [18] ἑνδεκα, ἐν δεσμωτηρίῳ B. [19] Μεναίχμου B. [20] τε A : γε ς. [21] Ἀνεγνώσθησαν. [22] συνεισάγεται om. A. [23] ἀνεγνώσθη ἡ Ἡσυχίου B. [24] Ἀνδρέα B : Θωμᾶν ς. [25] ὁ πρὸ Πέτρου πέτρα, ὁ πρὸ τοῦ θ. θ. Suicer. Thes. 2 p. 712. [26] ἡ A : ὁ ς. [27] ἀρχὴ A : ἀπαρχὴ ς.

Digitized by Google Распознавание текста ABK/FR

Evangelium cui nondum credebatur prædicavit, et fratri prius quam disceret, vitam revelavit : Tantas illi divitias illa interrogatio attulit : *Ubi habitas* ? Quanquam magnum aliquid responsio habuit, ut Andreas menti alte infigens viderit, *Veni*, inquit *et vide*. Quomodo factus es propheta unde adeo divinus ? Quid Petri auribus obstrepis? quid consequi illum conaris, quem nequis comprehendere? Qui ubique est, quomodo inveniri potest ? Etenim scivit Andreas quid diceret: Invenimus quem perdidit Adam, cui Eva damnum attulit, quem peccati nebula ab oculis nostris abscondit, quem inobedientia a nobis alienavit, quem quæsivit David : *In die tribulationis meæ Deum exquisivi*[f] et Sophonias clamat: *Quærite Deum omnes mansueti terræ*[g]. Percussit nos Deus, quando Adamum ad mortem molestamque vitam condemnavit : *Sanavit nos, percussit, et curavit nos*[h]. Quando crucifixus pro populo, languore et resurrectione omnes sanavit. Nudus in cruce *Christus* pependit, insons, veste non indigens. Innocens fuit, et multam manifesto dependit: In eo fœdum nihil fuit : ipse enim nostram fœditatem in ornatum convertit. Invenerunt unguenta ferentes mulieres, quod per Evam amiserant. Invenit lucrum quæ pœnæ causam dederat : *Veniet nobis, ut matutinus et serotinus terræ*[i]. Aspice igitur Dominum, post resurrectionem mane mulieribus, vesperi Apostolis apparentem. Mane quidem mulieribus, Avete, vesperi in civitate Sion pacem discipulis denuntiavit. Illis quidem ut mœrorem detergeret : his vero ut solveret inimicitias, quas serpens invexit : *Tu vocaberis Cephas*[j] : ante confessionem merces, antequam in vinea laboraris, denarium accepisti. Antequam aram tetigeris : 498*b* sacrificium Deus suscepit : antequam prædicares, coronam accepisti. Mendicos et indoctos Christus elegit. Ipsa sapientia patronos non quærit, sed ministros. Nemo dat quidquam illi, ab ipsa autem omnes omnia accipimus.

προσαχθῆναι προσάγων. Εὐαγγέλιον κηρύττει ὃ μήπω πεπίστευται· πρὶν μαθεῖν τῷ ἀδελφῷ ἀποκαλύπτει τὴν ζωήν· τοσοῦτον αὐτῷ πλοῦτον ἡ τοῦ Ποῦ μένεις [28] ἐρωτησις [29] ἐχαρίσατο. Καίτοι τί μέγα εἶχεν ἡ ἀπόκρισις οἷον Ἀνδρέας ἐμβαθύνων τὸν νοῦν ἐθεώρησεν· Ἔρχου γάρ φησι, καὶ ἴδε. Πῶς γέγονας [30] προφήτης ; πυθεν θεοφόρος ἀθροόν ; τί θορυβεῖς τοῦ Πέτρου τὰς ἀκοάς ; τί φθάσαι σπεύδεις, ὃν οὐ δύνῃ φθάσαι ; ὁ πανταχοῦ παρὼν πῶς εὑρεθῆναι δύναται ; ἀλλὰ γὰρ οἶδεν ὁ Ἀνδρέας ὃ λέγει. Εὑρήκαμεν ὃν ἀπώλεσεν ὁ Ἀδάμ, ὃν ἐζημιώθη ἡ Εὔα, ὃν ἡ νεφέλη τῆς ἁμαρτίας ἀπὸ τῶν ὀφθαλμῶν τῶν ἡμετέρων ἔκρυψεν, ὃν ἐχώρισεν ἡμῶν ἡ παρακοή, ὃν ἐζήτει Δαβίδ· Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα. Καὶ, Ζητήσατε τὸν Κύριον, Σοφονίας βοᾷ, πάντες ταπεινοὶ γῆς. Πέπαικεν ἡμᾶς ὁ Θεὸς, ἡνίκα τοῦ Ἀδὰμ κατεδίκασε θάνατον καὶ βίον ἐπίπονον· Ἴάσατο δὲ καὶ πατάξας ἐμότωσεν, ὅτε σταυρωθεὶς ὑπὲρ τοῦ γένους τῷ μώλωπι αὐτοῦ κατὰ τὸν Ἡσαΐαν καὶ τῇ ἀναστάσει [31] πάντας ἴάσατο. Γυμνὸς ἐπὶ τοῦ σταυροῦ ὁ Χριστὸς ἀνήγετο· ἁμαρτίαν γὰρ οὐκ ἔφων ἱματίων [32] οὐκ ἔχρῃζεν. Ἄμωμος ἦν καὶ λανθάνειν οὐκ ὤφειλεν. Οὐθὲν [33] ἦν ἄσχημον αὐτῷ· αὐτὸς γὰρ ἡμῶν τὰ ἀσχήμονα εὐσχήμονα δείκνυσιν. Εὗρον αἱ μυροφόροι, ὅπερ διὰ τῆς Εὔας ἀπώλεσαν· εὗρε τὸ κέρδος ἡ παρασχοῦσα τῆς ζημίας τὴν ὑπόθεσιν. Ἦξει ἡμῖν ὡς ὑετὸς πρώϊμος καὶ ὄψιμος τῇ γῇ. Ὄρα τοίνυν τὸν Κύριον μετὰ τὴν ἀνάστασιν πρώϊμον ταῖς γυναιξὶν, ὄψιμον τοῖς ἀποστόλοις φαινόμενον. Πρωῒ μὲν γὰρ ταῖς γυναιξὶ, Χαίρετε, ὀψὲ δὲ ἐν τῇ Σιὼν εἰρήνην τοῖς μαθηταῖς προσεφώνησε, ταῖς μὲν, ἵνα λύσῃ τὴν ἀπόφασιν τῆς λύπης, τοῖς δὲ, ἵνα [812 H.] καταλύσῃ τὴν ἔχθραν, ἣν ὁ ὄφις ἐκακούργησε Σὺ κληθήσῃ Κηφᾶς. Πρὸ τῆς ὁμολογίας ὁ μισθός· πρὶν ἐργάσῃ τὸν ἀμπελῶνα, τὸ δηνάριον ἔλαβες· πρὶν ἀνάψεις [34] τὸν βωμὸν, τὴν θυσίαν προσδέδεξαι· πρὶν κηρύξεις, ἐστεφανώθης. Πτωχοὺς καὶ ἀγραμμάτους ὁ Χριστὸς ἐξελέξατο. Ἡ σοφία γὰρ οὐ χρῄζει συνηγόρων, ἀλλ' ὑπηρετῶν· οὐδεὶς γὰρ οὐδὲν αὐτῇ παρέχει, παρ' αὐτῆς δὲ πάντες καὶ πάντα λαμβάνομεν.

CCLXX.

Ex Joanni Chrysostomi oratione in divum Paulum

Lecta ex Joannis Chrysostomi oratione in divum Paulum.

Venit Antiochiam Paulus, et tantam fidelium copiam plantavit, ut primum Christianorum nomen Antiochiæ efflorueri. Divinus ille noster orator, ex inscriptione aræ occasionem capiens dicendi, suamque e dæmonis litteris veritatem confirmans, doctrinam producit. Posuistis hanc aram

Σο'.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ εἰς τὸν ἅγιον Παῦλον.

Ἀνεγνώσθη τοῦ Χρυσοστόμου ἐκ τοῦ εἰς τὸν ἅγιον Παῦλον.

Ἦλθεν εἰς τὴν Ἀντιόχου πόλιν ὁ Παῦλος, καὶ τοσοῦτον πλῆθος πιστῶν ἐγεώργησεν ὡς προσηγορίαν τὴν [35] τῶν Χριστιανῶν τότε πρῶτον ἐν αὐτῇ ἀνθῆσαι. Ταύτην τοίνυν ἐκ τῆς ἐπιγραφῆς τοῦ βωμοῦ τὴν ἀφορμὴν λαβὼν ὁ πνευματικὸς ἡμῶν ῥήτωρ τὴν οἰκείαν παρεισάγει διδασκαλίαν, ἐκ τῶν τοῦ [36] διαβό-

[f] Joan. I, 39. [f] Psal. LXXVI, 2. [g] Soph. II, 3. [h] Isa. LIII, 6. [i] Gen. VI, 3. [j] Joan. I, 42.

VARIÆ LECTIONES.

[28] ποῦ μένεις Joan. I, 39. [29] ἐρώνησις A : ἀπόκρισις ζ. [30] πῶς γὰρ γέγ. ζ. [31] ἀναστασῃ ζ. [32] ἱματίων B : ἱμάτιον [33] οὐδὲν A. [34] ἀνάψεις B : ἂν ἄψεις A : ἂν ἅψῃς ζ. [35] προσηγ. πρὸς τὴν ζ. [36] τοῦ add. A.

Digitized by Google Распознавание текста ABK/FR

λου γραμμάτων πιστούμενος τὴν ἀλήθειαν. Βωμὸν ἀνεστήσατε διὰ τῆς ἐπιγραφῆς ὡς ἔστι Θεὸς ἕτερος ἀγνοούμενος· τοῦτον ἥκω κηρύττων ἐγώ. Ὁ παραδόξων πραγμάτων! τὸν βωμὸν τοῦ διαβόλου συνήγορον πεποίηκε τοῦ Χριστοῦ· τὸ τῆς πλάνης ἐπίγραμμα ὑπὲρ τῆς ἀληθείας ἐφθέγγετο· [1489 R.] Ἡ στήλη τῆς ἀπάτης ἐστηλίτευσε τὴν ἀπάτην. Ἐπειδὴ τὰ τῶν προφητῶν Ἀθηναίοις ἦν δυσπαράδεκτα, ὁ βωμὸς καὶ τὰ γράμματα, τῶν δαιμόνων τῇ σοφίᾳ Παύλου ἐκήρυσσε τὴν εὐσέβειαν. Εἰστήκει θρηνῶν ὁ διάβολος ὁρῶν αὐτοῦ τὰ σοφίσματα ὑπὲρ Χριστοῦ ῥητορεύοντα. Ἐπένθει βλέπων τὸν αὐτοῦ 37 ἀριστέα Παύλον κατ' αὐτοῦ στρατηγοῦντα, καὶ τοῖς ἰδίοις ὅπλοις αὐτὸν καταβάλλοντα.

A sic inscribendo: Ignoto Deo, quem ego veniens annuntio vobis. O rem novam! Ara diaboli, Christi causæ patrocinata est. Inscriptio erroris veritati testimonium præbuit, fraudis fraudem detegendo publicavit. Cum prophetarum oracula Athenienses non caperent, ara et inscriptio dæmonum Pauli sapientia verum Dei cultum annuntiavit. Doluit sane dæmon, videns argutias suas in Christi laudem conversas. Ingemuit aspiciens Paulum ducem quondam suum contra se certantem, propriisque armis prosternentem.

ΣΟΑ'.

Τοῦ Ἀστερίου, ἐπισκόπου Ἀμασείας προτρεπτικὸς εἰς τὴν μετάνοιαν.

Ἀνεγνώσθη τοῦ [38] μακαρίου Ἀστερίου, ἐπισκόπου Ἀμασείας, ἐκ τοῦ προτρεπτικοῦ εἰς τὴν [39] μετάνοιαν.

λῶς · λαοὺς δὲ τοὺς μὴ θελήσαντας εἰς ἐπίγνωσιν ἐλ- non crediderunt [i] : 510*b* populus autem nolens in
θεῖν, ὧν καὶ οἱ ἔλεγμοί · ἀφ' ὧν ἐκδίκησιν οὐκ εἰσ- eorum agnitionem venire, de quibus arguuntur, ἐκ-

[a] Levit. VIII, 22. [b] Matth. XV, 12. [c] Genes XV, 1. [d] Psal. XVIII, 12. [e] Gen. XIV, 23. [f] Matth. XIX, 28. [g] I Cor. VIII, 2. [h] Luc XVIII, 7. [i] II Petr. II, 16.

VARIÆ LECTIONES.

66 προσέλθοι B. 67 τὸ add. B. et rc. A. 68 ἀρετῇ ς. 69 ψυχάς om. A. 70 ὁ μισθὸς — περιηχούσης om. B. 71 ἐν τῇ παλαιᾷ, ἡ παλαιὰ A. 72 τὸ πολύς A, ὁ μισθός σου τὸ πολὺς ς. 73 μόνον ς. 74 οὐκ οἴδατε om. A.

Digitized by Google Распознавание текста ABK/FR

δίκησιν non subibit. Exactio enim hostium est : redirgutio vero peccata reprehendentis Domini est.

Anima justi cum hinc excesserit, angelorum manibus portatur, qui illam in regiam urbem referunt, quæ est cœlestis Jerusalem.

In decollationem sancti Joannis Baptistæ.

Hæc oratio sancti Chrysostomi nomine inscribitur, non tamen mihi ejus videtur. Argumentis enim modoque scribendi multum a reliquis ejus orationibus distinguitur, nisi quod quædam ex iis huc rejiciantur. Est autem dictio satis vilis, et ab ejus stylo aliena.

O rem novam! Joannes animam Herodis ligatam vinculo peccati, redarguendo solvere voluit : ille vero solventem ligavit.

Ejusdem oratio inscribitur in idem argumentum, et est omnino priori similis.

Mandatum fuit Judæis, uxorem fratris sine prole defuncti ducere, prohibitis nuptiis cum gentibus, quæ solitæ erant ad idola currere [k] : tale igitur matrimonium concedebatur, ut tolerabilius quam idololatria. Tripudiavit filia Herodiadis ; dignus festo honor, delectatio celebritate. *Juravit illiquidquid petiisset* [l] : et illud turpitudinem auget, juramentum indefinitum, et hoc propter saltationem. Regalem auctoritatem puellæ pedibus stultus subjecit : permisit regiam dignitatem conculcari, sub qua se juramento constrinxit, qui cupiditate cæca captus erat : invitus postea puellæ nutui obsecundavit, quin potius Evæ iterum vir esca capitur. Audacia petitionis sane magna, petere justi caput in disco, et dolore gaudium commutare, mensam sepulcrum facere. Decebatne, o miser, dare in mercedem tripudianti cædem nefariam, et mortem in ebrietatis delectationem afferre ? Juramentum te obstringit : sed cædes prohibet. Promissionem reposcit : sed æqualem tripudio. Non est cum vita mundus comparandus. Novum est Herodis judicium mensa, ebrietas, et tripudium judicarunt. O justitiam iniqua audentem ! Sancte se jurare fingit, et occidere non erubescit. Utinam recte pejerasset, et non inique sancte jurasset. O convivium justi admiscens mortem ! O convivium legis observantissimi aspersum sanguine !

511 *aEjusdem in idem.*

Videtur hæc oratio cognata esse Chrysostomi orationibus, non tamen est, nec convenientem cum

πράττει (ἡ γὰρ εἴσπραξις τῶν ἐχθρῶν), ἀλλ' ἐλέγχει ὡς Δεσπότης, τὰ ἁμαρτήματα ἀνακρίνων.

[832 H.] Ὅταν ἐξέλθῃ ψυχὴ δικαίου ἐντεῦθεν, παραπέμπεται διὰ χειρῶν ἀγγέλων, καὶ παριστῶσιν αὐτὴν ἐν τῇ βασιλίδι πόλει, ἥτις ἐστὶν ἡ ἄνω Ἱερουσαλήμ.

Εἰς τὴν ἀποτομὴν Ἰωάννου τοῦ Βαπτιστοῦ.

Ἐπιγράφεται μὲν 75 τοῦ Χρυσοστόμου, οὐκ ἐμοὶ δοκεῖ δέ· τοῖς τε γὰρ ἐνθυμήμασι, καὶ τῇ 76 πείρᾳ τῆς γραφῆς πολὺ τὸ ἐνδεὲς τῶν ἄλλων αὐτοῦ λόγων ἀποφέρεται. Πλήν τινα καὶ ἐξ αὐτοῦ παρεξεβλήθη. Ἔστι δὲ αὐτοῦ καὶ ἡ λέξις χυδαία καὶ τῆς ἐκείνου παραλάττουσα.

Ὦ πράγματος ἀλλοκότου ! Ἰωάννης τὴν δεδεμένην αὐτοῦ ψυχὴν τῇ σειρᾷ τῆς ἁμαρτίας διὰ τοῦ ἐλέγχου λύειν ἐβούλετο, κἀκεῖνος τὸν λύοντα ἐδέσμει.

[1524 R.] Τοῦ αὐτοῦ ἐπιγράφεται λόγος εἰς τὴν αὐτὴν ὑπόθεσιν, καὶ ἔστι κατὰ πάντα ὁμοίως ἔχων τῷ πρὸ αὐτοῦ.

Ἰουδαίοις ἐπιτέτραπται γυναῖκα μετὰ θάνατον καὶ ἄπαιδα τοῦ ἀδελφοῦ ἄγεσθαι, τὴν πρὸς τὰ ἔθνη κωλύων ἐπιγαμίαν, ἔθος ἔχουσαν τοῖς εἰδώλοις προστρέχειν· ὡς κουφότερον οὖν τῆς εἰδωλολατρείας ὁ τοιοῦτος γάμος τοῖς Ἰουδαίοις συγκεχώρητο. Ὠρχήσατο ἡ θυγάτηρ τῆς 77 Ἡρωδιάδος. Ἀξία τῆς ἑορτῆς ἡ τιμή, ἡ τέρψις τῆς πανηγύρεως. Μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ ὅ τι ἂν αἰτήσηται· καὶ τοῦτο προσθήκη τῶν αἰσχρῶν βαρυτέρα, ὅρκος ἀδιόριστος, καὶ οὗτος δι' ὄρχησιν. Τὴν βασιλικὴν αὐθεντίαν 78 τοῖς ποσὶ τῆς κόρης ὁ μάταιος ὑπέταξεν· ἔδωκε τὴν τῆς βασιλείας 79 ἀξίαν πατηθῆναι· ὑφ' ἧς [γέ 80] ὅρκῳ γέγονε δέσμιος ὁ τῆς ἐπιθυμίας αἰχμάλωτος. Ἄκων λοιπὸν τῷ τῆς κόρης δεδούλωται νεύματι, μᾶλλον δὲ τῷ τῆς Εὔας πάλιν ὁ ἄνθρωπος ὑποπίπτει δελεάσματι. Δεινὸν τὸ τῆς αἰτήσεως τόλμημα, κεφαλὴν δικαίου λαβεῖν ἐπὶ πίνακι, καὶ τέρψει ἀνταλλάξασθαι πένθος 81 καὶ τάφον κατασῆσαι τὴν τράπεζαν. Ἔκθεσμον, ἄθλιε, δοῦναι φόνον μισθὸν ἔδει τῇ ὀρχήσει, καὶ θάνατον μέθῃ τέρψιν χαρίσασθαι ; ὅρκος σε κατέχει· ἀλλ' ὁ φόνος κωλύει. Ὑπόσχεσιν ἀπαιτεῖ· ἀλλ' ἴσην ὀρχήσει, οὐχ ἧς 82 ἀνάξιος οὐδ' ὁ κόσμος. Ξένον τοῦ Ἡρώδου τὸ δικαστήριον· τράπεζα καὶ μέθη καὶ ὅρχησις ἐδίκαζεν 83. Ὦ δικαιοσύνης τολμώσης παράνομα ! εὐορκεῖν ὑποκρίνεται, καὶ φονεύειν οὐκ αἰσχύνεται. Εἶθε καλῶς ἐπιώρκησας καὶ μὴ παρανόμως εὐώρκησας. Ὦ συμπόσιον δικαίου κιρνῶν 84 θάνατον. Ὦ συμπόσιον νομοφύλακος οἰνοχοούμενον αἵματι.

Τοῦ αὐτοῦ εἰς τὴν αὐτὴν ὑπόθεσιν.

Ἔοικε δ' οὗτος ὁ λόγος συγγενὴς εἶναι τῶν τοῦ Χρυσοστόμου λόγων, οὐκ [833 H.] ἔστι δὲ, οὐδὲ

[j] Math. XIV ; Marc. VI ; Luc. III, 20. [k] Deut. XXV, 3. [l] Marc. VI, 24.

VARIÆ LECTIONES.

75 μὲν] δέ A. 76 τῇ add. A. 77 τῆς ante Ἡρ om. A. 78 αὐθεντείαν A. 79 βασιλίδος ς. 80 γε om. A. 81 πάθος ς. 82 οὐχ ἧς A : ψυχῆς ς. 83 ἐδίδαξεν pr. A. 84 κιρνῶν] κρίνον A.

Digitized by Google Распознавание текста ABK/FR

συνεχῇ 85 τὸν νοῦν ἐκείνοις ἐνδεικνύμενος, ὥσπερ οἱ δύο ἐκεῖνοι τὴν πρὸς ἀλλήλους σχέσιν καὶ ἀλληλουχίαν διασώζουσιν, ἀλλ' ἀπ' ἀρχῆς ἰδίας προέρχεται.

Ἰωάννῃ ἀνευφημήσω, καὶ τὴν ἐκείνου σοφίαν πᾶσιν ὑμῖν γνώριμον καταστήσω. Ἰωάννην τὸν μερισάμενον μετὰ τοῦ Πατρὸς τὸ τοῦ Μονογενοῦς κήρυγμα. Καὶ γὰρ ὁ μὲν, Οὗτός ἐστιν, ἄνωθεν ἐμαρτύρει 86, ὁ Υἱός μου ὁ ἀγαπητός, ὁ δὲ κατωθεν, Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Καὶ ὁ μὲν Πατὴρ διὰ τῆς περιστερᾶς τὸν ἀγαπητὸν ὑπεδείκνυεν, ὁ δὲ τῇ χειρὶ τὸν τῆς οἰκουμένης λυτρωτὴν ἐνεφάνιζεν. Ἐχρῆν φωνῆς γεννηθείσης τὸν Λόγον λυθῆναι τοῦ Πατρός. Ἐπειδὴ γὰρ οὐκ ἐπίστευσεν ὁ Ζαχαρίας ὅτι λύεται τῆς Ἐλισάβετ ἡ στείρωσις, ἐδέθη τὸ ὄργανον τῆς γλώσσης, ἵνα μὴ προέλθῃ λόγος ἐξ ἀπίστου στόματος· ἐπεὶ δ' ἐλύετο ἡ στεῖρα καὶ προῆλθεν ἡ φωνὴ, ἐλύθη καὶ ἡ τοῦ Ζαχαρίου γλῶσσα, καὶ προήρχετο ὁ λόγος. Ὢ φωνῆς ἀεννάου 87 καὶ μετὰ θάνατον τὴν οἰκουμένην περιηχούσης.

ΣΟΕ'.

Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων εἰς Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου, καὶ Δαυὶδ θεοπάτορα.

Ἀνεγνώσθη Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων, εἰς Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου καὶ Δαβὶδ τὸν θεοπάτορα.

[1525 R.] Εἰ μὴ ἐταπείνωσεν ἑαυτὸν γενόμενος, ὁ Σωτὴρ ἡμῶν, ὑπήκοος μέχρι θανάτου, οὐκ ἂν οἰκεῖται συγγενὴς ἐχρημάτιζον, οὐκ ἂν ὁ πηλὸς πατὴρ τοῦ κεραμέως ἐλέγετο. Ἐν τῇ Σιὼν τὴν Γηθλεὲμ ὡς παροῦσαν ἀσπάζομαι, ἐν τῇ θυγατρὶ τὴν μητέρα βλέπω. Ἐν σοὶ δᾳδοῦχος ἀστὴρ εἰς ἀνήφθη, ἐν ταύτῃ δὲ πολλοί. Ἐκεῖνος τοὺς μάγους ὡδήγησεν, αὕτη Πέρσους καὶ Μήδους καὶ Ἐλαμίτας καὶ τοὺς ἐξ ἐθνῶν πάντων τῷ φωτὶ τῆς ἀστραπῆς ἐδᾳδούχησε. Σὺ γάλα ἕλκεις ἐκ μαστῶν παρθενικῶν, αὕτη πνεῦμα ἐκ κόλπων κατάγει πατρικῶν. Σὺ τὸν ἄρτον ἐζύμωσας, ἀλλ' ἡ Σιὼν δεῖπνον ἀνέδειξε· σὺ τὸν μόσχον ἐπὶ τῆς φάτνης ἔθρεψας, ἀλλ' ἡ Σιὼν εἰς τὸν βωμὸν ἀνήγαγε· σὺ τὸν Ἰησοῦν ἐν τοῖς σπαργάνοις ἔνρυφας, αὕτη δὲ τῷ Θωμᾷ τὴν πλευρὰν 88 βουληθέντι ψηλαφῆσαι ἐγύμνωσε· σὺ παρθένον ἔχεις τίκτουσαν κεκλεισμένων τῶν ὀργάνων τῆς φύσεως, αὕτη παστάδα κεκλεισμένων τῶν θυρῶν ἔνδον τὸν νυμφίον δεχομένην καὶ ἔχουσαν. Πῶς ἐγκωμιάσω τὸν τοῦ 89 Χριστοῦ δοῦλον καὶ ἀδελφὸν, τὸν τῆς νέας Ἱερουσαλὴμ ἀρχιστράτηγον, τὸν τῶν ἱερέων ἡγεμόνα, τῶν ἀποστόλων τὸν ἔξαρχον, τὸν ἐν κεφαλαῖς κορυφὴν, τὸν ἐν λύχνοις ὑπερλάμποντα, τὸν ἐν ἄστροις ὑπερφαίνοντα; Πέτρος δηυηγορεῖ, ἀλλ' Ἰάκωβος νομοθετεῖ, καὶ ὀλίγαι λέξεις τὸ τοῦ ζητήματος συνέστειλαν μέγεθος. Ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν, καὶ ἔξῆς. Ἐγὼ κρίνω, οὗ τὴν κρίσιν ἀθετεῖν οὐ θέμις οὐδὲ 90 φαυλίζειν τὸ ψήφισμα· ἐν ἐμοὶ γὰρ ὁ πάντων

illis sensum præfert: quemadmodum et illæ duæ ab se invicem diversæ non sunt, sed proprio exordio incipit.

Joannem prædicabo, et illius sapientiam vobis omnibus notam faciam. Joannem, qui divisit cum Patre prædicationem Unigeniti. Etenim ille: *Hic est Filius meus dilectus* [m], desuper e cœlo testatus est, hic vero infra in terra: *Ecce Agnus Dei, qui tollit peccata mundi* [n]: et Pater per columbam dilectum suum ostendit, ille digito ostendit mundi Redemptorem. Oportuit voce genita verbum Patris solvi [o]. Dum enim Zacharias non crederet, Elisabethæ sterilitatem iri solutum, mutus factus est, ne incredulum os loqueretur: postquam soluta est sterilitas, et vox prodiit, soluta est etiam Zachariæ lingua, et locutus est. O vocem æternam, et post mortem etiam orbem terrarum replentem!

CCLXXV.

Hesychius Hierosolymitanus presbyter. — In Jacobum fratrem Domini, et Davidem Christi patrem.

Legi Hesychium presbyterum Hierosolymorum, in Jacobum fratrem Domini, et in Davidem Christi dictum patrem.

Nisi Salvator *humiliasset semetipsum, factus pro nobis obediens usque ad mortem* [p], non domestici cognati dicerentur, non lutum pater figuli diceretur. In Sion Bethleem ut præsens te saluto, in filia matrem video. In te tædifera stella una eluxit, in hac multæ. Illa magos duxit; hæc Parthos, et Medos, et Elamitas, et omnes gentes luminis fulgore illustravit. Tu lac trahis ex uberibus virgineis, hæc Spiritum ex sinu trahit paterno. Tu panem fermentasti, sed Sion cœnam ostendit. Tu vitulum in præsepio nutrivisti, sed Sion ad aram duxit. Tu Jesum fasciis involvisti, hæc latus Thomæ 511 *b* attrectare volenti nudavit. Tu virginem habes parientem, clausis naturæ organis: hæc thalamum clausis ostiis intus sponsum et accipientem et habentem. Quomodo prædicabo servum Christi, et fratrem, novæ Jerusalem summum ducem, sacerdotum principem, apostolorum caput, in capitibus verticem, in lampadibus supersplendentem, et inter astra maxime illustrem. Petrus prædicat, Jacobus decernit, et paucæ voces magnitudinem quæstionis comprehenderunt. *Ego judico non inquietari eos qui ex gentibus convertuntur ad Deum* [q], etc. Ego judico eum, cujus judicium abrogare non licet, neque depravare decreta. In me enim omnium judex vivorum et mortuorum loquitur meo organo, sed artifex supra est. Ego linguam præbeo, sed vocis opifex vocem suppeditat. Attende non calamo, sed scribenti: auditui obedientia succedat.

[m] Matth. III, 17. [n] Joan. I, 29. [o] Luc. I, 20. [p] Philipp. II, 7, 8. [q] Act. XV, 4.

VARIÆ LECTIONES.

85 συνέχει A. 86 ἐμαρτύρει ἄνωθεν ς. 87 ἀενάου ς. 88 τὴν πλευρὰν τῷ Θωμᾷ ς. 89 τοῦ om. A. 90 οὔτε ς.

Digitized by Google Распознавание текста ABKAFR

κριτὴς καὶ νεκρῶν καὶ ζώντων φθέγγεται. Ἐμὸν τὸ ὄργανον, ἀλλ' ὁ τεχνίτης ὑπὲρ ἐμέ. Ἐγὼ τὴν γλῶτταν [834 H.] παρέχω, ἀλλ' ὁ δημιουργὸς Λόγος τον λόγον χορηγεῖ. Μὴ τῷ καλάμῳ, τῷ δὲ γραφοντι πρόσεχε. Τὴν ἀκοὴν ὑπακοὴ [91] διαδεχέσθω.

Modesti archiepiscopi Hierosolymitani. — In unguenta ferentes mulieres.

Septimum numerum, et de virtute et de peccato in Scriptura acceptum invenimus [r]. Merito igitur elegit Mariam Magdalenam Salvator, e qua septem dæmonia ejecit, ut principem peccati per illam ab hominibus expelleret. Historiæ tradunt Magdalenam hanc virginem fuisse, et martyrium hujus memorator: ubi dicitur, propter summam illius virginitatem, et puritatem, illam tanquam vitrum purum tortoribus visam esse. Post obdormitionem sanctissimæ dominæ nostræ Deiparæ profecta est Ephesum ad dilectum discipulum: ubi cursum apostolicum per martyrium unguentifera Maria perfecit, nolens ad extremum usque spiritum a beato Joanne evangelista, et virgine separari. Quemadmodum, inquit, princeps apostolorum ab immobili fide quam hubuit in petram Christum, Petrus appellatus est, sic et illa princeps discipularum ob puritatem et amorem, quo Christum complexa est, ab ipso nominata est, cui idem fuit nomen, quod Dei matri. Quemadmodum Dominum discipulorum chorus secutus est, sic 512a Dominam et Matrem Domini chorus discipularum. Mirati enim aliquando discipuli erant, quod cum femina loqueretur [s] : hinc patet Dominum cum mulieribus consortium non habuisse. Sed matre Domini evangelicum cursum una cum Filio et Creatore complente, et ipsæ illam secutæ, communi Domino et discipulis de facultatibus suis in rebus necessariis ministrabant.

Μοδέστου [92] ἀρχιεπισκόπου Ἱεροσολύμων εἰς τὰς μυροφόρους.

Τὸν ἕβδομον [93] ἀριθμὸν καὶ ἐπὶ τῆς ἀρετῆς καὶ ἐπὶ τῆς κακίας εὑρίσκομεν τὴν Γραφὴν παραλαμβάνουσαν. Εἰκότως οὖν τὴν Μαρίαν ἐκλέγεται τὴν Μαγδαληνὴν ὁ Σωτηρ, ἀφ' ἧς ἐκβεβλήκει δαιμόνια ἑπτά, ἵνα τὸν ἄρχοντα τῆς κακίας δι' αὐτῆς ἀπελάσῃ τῆς ἀνθρωπίνης φύσεως. Ὅτι, φησὶν, αἱ ἱστορίαι τὴν Μαγδαληνὴν ταύτην διὰ βίου παρθένον διδάσκουσι. Καὶ μαρτύριον δὲ αὐτῆς φέρεται, ἐν ᾧ λέγεται διὰ τὴν ἄκραν αὐτῆς παρθενίαν καὶ καθαρότητα ὡς ὕαλον [94] αὐτὴν καθαρὸν ταῖς βασανισταῖς φαίνεσθαι. Ὅτι, φησὶ, μετὰ τὴν κοίμησιν τῆς Δεσποίνης ἡμῶν Θεοτόκου πορευθεῖσα εἰς Ἔφεσον πρὸς τὸν ἠγαπημένον μαθητὴν, ἐκεῖσε τὸν δρόμον τὸν ἀποστολικὸν διὰ τοῦ μαρτυρίου ἡ μυροφόρος Μαρία ἐτελείωσε, μὴ θελήσασα μέχρι τῆς τελευτῆς χωρισθῆναι τοῦ παρθένου καὶ Εὐαγγελιστοῦ Ἰωάννου. Ὥσπερ, φησὶν, ἡ ἀπαρχὴ τῶν ἀποστόλων Πέτρος ὠνομάσθη διὰ τὴν ἀσάλευτον πίστιν, ἣν εἶχεν ἐπὶ Χριστὸν τὴν πέτραν, οὕτω καὶ αὕτη [95] ἀρχηγὸς τῶν μαθητριῶν γενομένη διὰ τὴν καθαρότητα [96] αὐτῆς καὶ τὸν πόθον ὃν εἶχεν εἰς αὐτὸν Μαρία ὁμωνύμως τῇ μητρὶ παρὰ τοῦ Σωτῆρος προσηγόρευται. Ὥσπερ τῷ Δεσπότῃ τῶν μαθητῶν ἠκολούθει ὁ χορὸς, οὕτω τῇ Δεσποίνῃ καὶ Μητρὶ τοῦ Κυρίου τῶν μαθητευομένων γυναικῶν ὁ χορός. Ἐθαύμαζον γὰρ, φησί, ποτὲ οἱ μαθηταὶ ὅτι μετὰ γυναικὸς ἐλάλει, δῆλον ὡς οὐκ οὔσης τοιαύτης συνηθείας τῷ Κυρίῳ, ἀλλὰ τὸν εὐαγγελικὸν δρόμον τῆς Μητρὸς τοῦ Δεσπότου συνεξανυούσης τῷ Υἱῷ καὶ Δημιουργῷ. [1528 R.] Καὶ αὗται συνακολουθοῦσαι αὐτῇ τῷ κοινῷ Δεσπότῃ ἐκ τῶν ὑπαρχόντων ἐν τοῖς ἀναγκαίοις καὶ τοῖς μαθηταῖς διηκόνουν.

Legi ejusdem orationem quæ inscribitur : ***Encomium in obdormitionem Deiparæ Virginis.*** Longa quidem est oratio, sed nihil necessarium, nec præcedenti quid familiare cognatumque afferens.

Ἀνεγνώσθη τοῦ αὐτοῦ ἐπιγραφὴν ἔχων Ἐγκώμιον εἰς τὴν κοίμησιν τῆς παναγίας Θεοτόκου. Πολύστιχος μὲν ὁ λόγος, οὐδὲν δ' ἀναγκαῖον οὐδὲ τοῦ προγεγραμμένου λόγου οἰκεῖον [97] καὶ συγγενὲς ἐπιδεδειγμένος.

Modesti Hierosolymitani archiepiscopi. — In Occursum.

Anna cum viro septem annos. Sabbatum colens, precibus et jejuniis adhærens, octoginta quatuor annos cum exegisset [t], carnem e quatuor elementis compositam vincens, et mentem mundans ad sancti Spiritus receptionem, et generalibus [vulgo cardinalibus dictis] se ipsam virtutibus exornans, octogesimum annum postquam excessit, in templo invenit futuri temporis Salvatorem, ulnis gestatum. Merito lex ut causam peccantis voluptatis, filias Evæ jussit afferre pro purificatione par turturum, vel

Μοδέστου ἀρχιεπισκόπου Ἱεροσολύμων ἐκ τοῦ [98] εἰς τὴν Ὑπαπαντήν.

Καὶ ἡ τὸν ἑβδομήκοντα χρόνον σαββατίσασα μετὰ ἀνδρὸς Ἄννα, προσευχαῖς καὶ νηστείαις προσκαρτεροῦσα, ὀγδοήκοντα καὶ τεσσάρων ἐτῶν ὑπάρχουσα, τὴν ἐκ τῶν τεσσάρων στοιχείων νικήσασα σάρκα, καὶ τὸν νοῦν καθάρασα πρὸς ὑποδοχὴν Πνεύματος ἁγίου, καὶ ταῖς γενικαῖς ἑαυτὴν ἀρεταῖς κατακοσμήσασα, τὸν τῆς ὀγδοηκοντάδος παρέδραμε [99] καιρὸν, καὶ εὗρεν ἐν τῷ ναῷ τὸν Σωτῆρα τοῦ μέλλοντος πλῶνος ἐν ἀγκάλαις βαστάζόμενον, [835 H.] Εἰκότως ὡς αἰτίας τῆς ἐναμαρτήτου [1] ἡδονῆς τὰς θυγατέρας τῆς Εὔας

[r] Luc. VIII, 2. [s] Joan. IV, 27. [t] Luc. II, 16.

VARIÆ LECTIONES.

[91] ὑπακοήν A. [92] Μοδέστου — σαρκί om. B. [93] ἕβδομον, imo ἑπτά. [94] ὕελον C. [95] αὐτή ς. [96] καθαριότητα A. [97] οἰκετόν τε καὶ ς. [98] ἐκ τοῦ om. C. [99] παρέδρα μὲν A. [1] ἐναμάρτου C.

Digitized by Google Распознавание текста ABK/FR

προσφέρειν ὁ νόμος προσέταξεν ὑπὲρ τοῦ καθαρισμοῦ αὐτῶν τὴν θυσίαν τῶν δύο τρυγόνων ἢ [2] δύο νεοσσοὺς [3] περιστερῶν, δηλοῦντος τοῦ νόμου ὅτι δεῖ τὸν προσερχόμενον Θεῷ καθαρεύειν καὶ ψυχῇ καὶ σώματι καὶ ἀκακίας ἔχεσθαι. Ὁ Χριστός πληρωτής ἐστιν, οὐκ ὀφειλέτης νόμου· εἰς πτῶσιν δὲ καὶ ἀνάστασιν κεῖται, πτῶσιν μὲν τῆς ἁμαρτίας, ἀνέγερσιν δὲ τῆς δικαιοσύνης, καὶ εἰς σημεῖον ἀντιλεγόμενον τοῖς κυριοκτονοις Ἰουδαίοις τοῖς λέγουσιν, Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύομέν [4] σοι. Καὶ, σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν [5] ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί, ὅτι μήτηρ εἶ κατὰ ἀλήθειαν πάσχουσα τὰ μητρὸς ὑπὲρ τοῦ [6] τέκνου καὶ Θεοῦ τοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκί.

A duos pullos columbarum ad sacrificandum. Lege scilicet significante [t], eum qui ad Deum accedat, debere et animum et corpus ab omni peccato liberum habere. Christus legem implet [u], non debitor est legis, *in ruinam et resurrectionem multorum positus est* [v]. In ruinam peccati, in resurrectionem justitiæ, et in signum, cui Judæi, qui Christum occiderunt, contradixerunt : *Si tu es filius Dei, descende de cruce, et credemus tibi* [x]. Et : *Tuam ipsius animam pertransibit gladius, ut revelentur ex multis cordibus cogitationes* [y]. Quia mater es, quæ vere patiebatur dolorem matris pro Filio, et Deo, pro nobis carne passo.

ΣΟΖ′.

Τοῦ μακαρίου Νείλου εἰς τὸ Πάσχα λόγος πρῶτος.

Ἀνεγνώσθη τοῦ μακαρίου Νείλου ἐκ τοῦ εἰς τὸ Πάσχα λόγου πρώτου· οὗ ἡ ἀρχὴ, Ἀναστάσεως λόγοις τὴν τῆς ἀναστάσεως ἡμέραν τιμήσωμεν.

Ψυχή τίς ἐστι δευτέρα τοῖς ἀνθρώποις ἡ ἀνάστασις, πρὸς τὰς τῆς ἀρετῆς διεγείρουσα πράξεις. Κἂν ταύτην τῶν ἀνθρώπων ἀνέλῃς, νεκρὸν πρὸς πράξεις ἀρετῆς ἀπειργάσω τὸ σῶμα. Ὡς οὖν ὑπὲρ βλάβης κοινῆς πρὸς τὸν ὑπὲρ τῆς ἀναστάσεως ὁπλισώμεθα πόλεμον, ὅλην λαβόντες ἡμῖν συνοπλιζομένην τὴν κτίσιν. Ἐπιστρατεύει γὰρ οὐρανὸς μεθ' ἡμῶν τοῖς ἀπίστοις· ὃν γὰρ ἐξ ἀναστάσεως Δεσπότην ἐδέξατο, τῆς τῆς ἀναστάσεως βλέπει συναθετούμενον δόξης. Κοινωνήσει προθύμως ἡμῖν [7] τοῦ πολέμου καὶ γῆ [8], συκοφαντουμένην γὰρ τὴν ἀνάστασιν οἶδεν, ἀφ' ὧν πολλάκις νεκροὺς ὑπ' αὐτῆς ἁρπασθέντας [9]. Διὰ τοῦτο καὶ Παῦλος τὸν τῆς ἀναστάσεως τῇ κτίσει περιτίθησιν ἔρωτα· Ἡ γὰρ ἀπαρακδοκία τῆς κτίσεως, φησὶ, τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται. Καθάπερ γὰρ πόλις βασιλικῆς ἐπιδημίας δεξαμένη προδρόμους πρὸς τὴν ἐκείνης ὅλη παρουσίαν ἐπτέρωται, οὕτω καὶ τῆς ἀναστάσεως ὥσπερ τινὸς βασιλίδος τῇ κτίσει προκηρυχθείσης ὅλη πρὸς τὴν ἐκείνης παρουσίαν συντίτακται. Καὶ μὴ θαυμάσῃς τὸν τῆς ἀναστάσεως ἐγκείμενον τῇ κτίσει διδασκόμενος πόθον· [1529 R] τροφὸς γάρ τις τῶν ἀνθρώπων ὑπάρχουσα σπεύδει τὴν ἐπαγγελθεῖσαν ἰδεῖν βασιλείαν. Καὶ τὸ βραδὺ τῶν μελλόντων οὐκ ἐκλύει τῇ τροφῷ τὰς ἐλπίδας· ἔχει γὰρ ἀεὶ συνόντα αὐτῇ τὰ τῆς ἀναστάσεως σπέρματα, ὧν τοὺς κόκκους ἀναδείκνυσι ζῶντας, τῆς τῶν νεκρῶν σωμάτων ἐγέρσεως ἐν μικροῖς ἡμῖν βεβαιοῦντας τὰς ἐλπίδας. Θάπτονται μὲν γὰρ ἐν αὐτῇ, ὡς ὁρῶμεν, τῶν φερμάτων [10] οἱ κόκκοι, τῶν αὐλάκων ἀντὶ τάφων γινομένων τοῖς σπα-

CCLXXVI.

Sancti Nili, oratio prima in Pascha.

Legi primam orationem sancti Nili in Pascha, cujus hoc initium : *Resurrectionis verbis resurrectionis diem honorabimus.*

512 *b* Animæ est quædam, altera hominum resurrectio, ad virtutem excitans, et si illam ab hominibus sustuleris, mortuum ad actiones virtutum corpus reddideris. Igitur quasi pro communi calamitate ad bellum pro resurrectione accingamur, omnem creaturam nobis armatam adjungentes. Pugnat enim nobiscum cœlum contra incredulos. Quem enim e resurrectione Dominum suscepit, videt resurrectionis gloria privari. Terra quoque ad bellum nobiscum parata. Vidit enim resurrectionem blasphemari, per quam sæpius ipsi mortui sunt prærepti. Ideo et Paulus creaturæ amorem tribuit resurrectionis : *Nam exspectatio*, inquit, *creaturæ, revelationem filiorum Dei exspectat* [z]. Quemadmodum enim civitas regii adventus recipiens præcursores, ad ejus præsentiam tota se præparat, sic resurrectione tanquam regina aliqua, creaturæ præ-nuntiata, tota ad illius præsentiam se comparavit. Et ne mireris creaturas ipsam resurrectionem desiderare. Est enim hominibus instar nutricis, quæ festinat promissum regnum videre, et futurorum tarditas non dissolvit spem nutricis. Habet enim in se semper semina resurrectionis, quorum grana ostendit viventes, mortuorum resurrectionis in parvis spem nobis confirmantia. Sepeliuntur in illa, ut videmus seminum grana, cum sulci sint satis pro sepulcris. Ipsa vero, seminibus acceptis, imitatur monumenta, et putrefacit granum, ut ipsum sepulcrum corpus, et accipiens vivum, mortuum reddit, et medium grani plane putrefaciens corculum, etiam ipsis for-

[t] Levit. XII, 7. [u] Matth. V, 17. [v] Luc. II, 34. [x] Matth. XVII, 40. [y] Luc. II, 35. [z] Rom. VIII, 19.

VARIÆ LECTIONES.

[2] ἢ] καὶ AC. [3] νεοσσῶν C. [4] πιστεύομέν AC : πιστεύσομέν ζ. [5] ἂν om. A. [6] τοῦ om. C. [7] ἡμῖν ζ. [8] γῇ A : ἡ γῆ ζ. [9] ἁφῃρέθη ὑπ' αὐτῆς ζ. [10] τῶν σπερμάτων ὡς ὁρῶμεν B.

Digitized by Google Распознавание текста ABK/FR

micis inutile ad comedendum facit. Corruptionem autem tanquam conceptionem quamdam possidens, mortuam seminum feturam putrefactione gestat, et fit mater vitæ, granis corruptio, et mors partus pater designatur. Nova illa doloris terræ parturientis lex est, nisi fiat mortuus fetus, non fingitur: si vixerit, non formatur. Hinc igitur et formicæ dissecta grana in terram defodiunt, sectione germen e corruptione impedientes. Oportuit enim et 513a formicarum naturam testificari, terram post corruptionem producere semina : et vide pariendi tali modo miram naturam. Accipiens solum granum, corrumpit, corruptum vero multipliciter pullulare facit, granum in varias partes formans. Calamum spicis dat pro ossibus, et tenuem pro pelle exterius adaptat tuniculam, radicem inferius vinculis B quibusdam tanquam nervis, et venis cingit, pro unguibus granis addit aristas spicarum, quæ contra volucres certent. Quomodo hæc omnia ex uno grano corrupto oriuntur? Hoc vero est multo mirabilius resurrectione. Nam tunc quidem mortuos quos natura accepit, reddit : nunc vero multa pro uno mortuo ad regenerationem grana profert. O dementiam gentium incurabilem : Vident terram tradentem agricolæ, quæ non accepit ; Creatori vero redditurum, quos illi prius mortuos credidit, sperare nolunt. Ideo et Paulus seminum exemplo utitur [a]. Quanquam clarius habeat exemplum de infantibus e vulva matris prodeuntibus. Formatur enim tanquam in sepulcro, in utero nondum exsistens infans, naturæ fasciis involutus, et similis est C mortuo, fasciis sepulcralibus circumstricto. Nam mortuorum quidem vultus arctius conclusus est, os in utero mutum, manus et pedes in ventre tanquam in tumulo extenduntur. Matrix egregium fetibus sepulcrum est, et sepulcrum quidem fetoribus non carens. Tali fetus formatus in sepulchro, formantis nutum vocatus sequitur. Quid igitur tali B. Paulus exemplo uti cum potuisset, tacet formationem ad vitam in sepulcro vulvæ? seminum vero similitudine resurrectionem confirmat. Scivit vivum in utero semen formare fetum, quæsivit vero mortuorum quorumdam reviviscentium aspectabilem similitudinem et ideo ad semina respexit. Grana enim post mortem et corruptionem ex putrefactione reviviscunt ; et aperte mortuorum resurrectionem declarant. D Injuriam (18) facis animæ prætextu patrocinii, et in pugna adversus corpus contra ipsam animam armaris. Factorum enim remunerationes cum anima non communicans, et carni debitam pœnam animæ, tanquam sola pecasset, irrogas. Si enim

ρεῖσιν· ἡ δὲ λαβοῦσα τὰ σπέρματα μιμεῖται τὰ μνήματα, καὶ σήπει τὸν κόκκον ὡς ὁ [11] τάφος τὸ σῶμα, καὶ δεξαμένη ζῶντα καταφθείρει νεκρότητι, μέσην [836 H.] τε [12] σαφῶς τὴν τοῦ κόκκου διασήψασα καρδίαν ἄχρηστον καὶ μύρμηξιν εἰς τροφὴν ἀπεργάζεται. Ὥσπερ δέ τινα σύλληψιν τὴν φθορὰν κτησαμένη, κυοφορεῖ νεκρωθέντα τῇ σήψει τῶν σπερμάτων τὰ ἔμβρυα· καὶ γίνεται μήτηρ ζωῆς τοῖς κόκκοις ἡ νέκρωσις, καὶ θάνατος τόκου πατὴρ ἀναδείκνυται. Καινὸς οὗτος τῇ γῇ τῶν ὠδίνων ὁ νόμος· ἂν μὴ γένηται νεκρὸν τὸ βρέφος, οὐ πλάττεται· ἂν ζῇ, οὐ μορφοῦται. Ταύτῃ ἄρα καὶ μύρμηκες τετμημένους τοὺς κόκκους εἰς γῆν ἀποτίθενται, τῇ τομῇ τὴν ἀπὸ τῆς νεκρώσεως βλάστησιν κωλύοντες· ἔδει γὰρ καὶ μυρμήκων φύσιν μαρτυρῆσαι τῇ γῇ μετὰ φθορὰν γεννώσῃ τὰ σπέρματα. Καὶ σκόπει μοι τῆς ὠδῖνος τὸ θαῦμα· λαβοῦσα μόνον τὸν κόκκον φθορᾷ παραδίδωσι, φθαρέντα δὲ πολλοστὸν ἀναθάλλει πρὸς ποικίλα τὸν κόκκον σχηματίζουσα μέλη. Τὴν καλάμην τοῖς στάχυσιν ἀντ' ὀστέων ἐντίθησι, καὶ λεπτὸν ἔξωθεν οἷον ἀντὶ δέρματος καθυφαίνει χιτῶνα· δεσμοῖς κάτω τὴν ῥίζαν ὡς νεύροις τισὶ καὶ φλεψὶ περισφίγγει, ἀντ' ὀνύχων τοῖς κόκκοις ἐμπηγνῦσά τὰς μαχομένας τοῖς πτηνοῖς τῶν ἀσταχύων ἀκίδας. Πῶς ἅπασι τούτοις ἐξ ἑνὸς κόκκου φθαρέντος ἡ γέννησις [13]; τοῦτο τῆς ἀναστάσεως θαυμαστότερον. Τότε μὲν γὰρ οὓς ἔλαβεν ἡ κτίσις νεκροὺς ἀναδίδωσι, νῦν δὲ πολλοὺς ἀνθ' ἑνὸς νεκρωθέντος εἰς ἀναγέννησιν κόκκους προβάλλεται. Ὦ τῆς Ἑλλήνων ἀνιάτου φρενοβλαβείας! βλέποῦσι τὴν γῆν γεωργῷ διδοῦσαν ἃ μὴ παρέλαβε· τῷ κτίστῃ δὲ ταύτην ἀποδώσειν οὓς αὐτῇ παρακατέθετο οὐκ ἐλπίζουσι. Διὰ τοῦτο καὶ Παῦλος τῷ τῶν σπερμάτων παραδείγματι χρῆται, καίτοι γε λαμπρότερον ἔχων παράδειγμα τὴν ἐκ μήτρας τῶν ἀνθρώπων πρόοδον. Πλάττεται μὲν γὰρ ὡς ἐν τάφῳ τῇ μήτρᾳ οὐχ ὑπάρχον τὸ βρέφος, τοῖς παρὰ τῆς φύσεως δὲ ἐνειλημένον [14] σπαργάνοις πρωΐστοικε νεκρῷ δεδεμένῳ κειρίαις. Κέκλεισται μὲν γὰρ τὸ βλέμμα νεκρῶν ἀκριβέστερον, ἄπρακτον ἐν τῇ νηδύϊ τὸ στόμα, χεῖρες καὶ πόδες ὡς ἐν [15] σορῷ τῇ γαστρὶ συνεκτέτανται. Τάφος ἀκριβὴς τοῖς ἐμβρύοις ἡ μήτρα, ταφος οὐδὲ τῆς τῶν μνημάτων δυσωδίας ἐλεύθερος. Τηλικούτῳ δὴ [16] τὸ βρέφος ἐμμορφούμενον μνήματι, τῷ τοῦ μορφοῦντος ἕπεται καλούμενον νεύματι. Τί δὴ τοσοῦτον ὁ μακάριος Παῦλος κεκτημένος παράδειγμα σιγᾷ μὲν τὴν ἐν τῷ τάφῳ τῆς μήτρας εἰς ζωὴν πλαστουργίαν, σπερμάτων δὲ τύποις βεβαιοῖ τὴν ἀνάστασιν; ᾔδει ζῶσαν τῇ νηδύϊ τὴν τὰ βρέφη σποράν διαπλάττουσαν, ἐζήτει δὲ νεκρῶν τινων ὁρατῶς ἀναζώντων εἰκόνα, καὶ διὰ τοῦτο ἀπέβλεψε πρὸς τὰ σπέρματα. Οἱ γὰρ κόκκοι μετὰ τὴν ἐκ σήψεως νέκρωσιν καὶ φθορὰν ἀναζῶσι, καὶ

[a] I Cor. xv, 15, 36.

VARIÆ LECTIONES.

[11] ὁ om. A. [12] τε] δέ B. [13] γένεσις B. [14] ἐνειλημμένδν A. [15] ἐν add. A. [16] δή A : δέ ς.

NOTÆ.

(18) Animi et corporis comparatio. Legenda est Aurea Gregorii Palamæ episc. Thessal. tom. IX, Biblioth. SS. Patrum.

Digitized by Google Распознавание текста ABK/FR

γίνονται τῆς τῶν νεκρῶν ἀναβιώσεως ἐναργέστατον σύμβολον. [1532 R.] Ἀδικεῖς τὴν ψυχὴν συνηγορίας προσχήματι, καὶ τῇ πρὸς τὸ σῶμα μάχῃ κατ' ἐκείνης ὁπλίζῃ. Τὰς γὰρ τῶν πραττομένων ἀμοιβὰς μὴ μερίζων τῇ ψυχῇ καὶ τὴν τῆς σαρκὸς ὡς μόνῃ πλημμελούσῃ τιμωρίαν συνεισάγεις [17]. Εἰ γὰρ ψυχῆς μόνης αἱ [1837 H.] τῶν πόνων καὶ ἀνδραγαθημάτων ἀμοιβαὶ, δῆλον ὅτι καὶ ὧν ἥμαρτεν ὁ ἄνθρωπος αἱ τιμωρίαι. Ἀλλ' ὅρα μὴ σώματι καὶ ψυχῇ καθίζῃς [18] κατ' ἀλλήλων κριτήριον. Σῶμα μὲν γὰρ εἰκότως καταδοήσεται ψυχῆς, τῶν κατορθωμάτων αὐτοῦ τὰς τιμὰς ἁρπαζούσης, ψυχὴ δ' αὖ σώματος, τὰς ὀφειλομένας πληγὰς ἐκείνῳ μόνῃ εἰς πραττομένῃ [19]. Μᾶλλον δ' ἑκάτερον αὐτῶν παροξύνεις κατὰ τοῦ κριτοῦ, τὸ μὲν, οἷς δέον ἔψειν ἀμοιβὰς ὧν ἐστέρηται, τὴν δὲ, ὧν οὐχ ὑπαίτιος, δέον μηδ' εὐθύνεσθαι οἷς εἰσπράττεται. Σώματί με συνῆψας, ὦ Δέσποτα, τὴν ἀσώματον, καὶ μόνῃ τὰς ἐπὶ τῆς γῆς οὐκ ἐπίστευσας πράξεις, καὶ παρὰ μόνης ἀπαιτεῖς τὰς εὐθύνας. Καὶ δίδωμι δίκας ὧν αἱ πράξεις τοῦ σώματος, μέθης, πορνείας, γαστριμαργίας. Ποῦ γὰρ ταῦτα ψυχῆς, ὥσπερ φθόνος τυχὸν ἢ δόξης ἀσέβεια ; ὥσπερ γὰρ οὐ σώματος ταῦτα, οὕτως οὐδ' ἐκεῖνα ψυχῆς, εἰ καὶ χωρὶς θατέρου θάτερον ἀργὸν πρὸς ἑκάτερα. Τὸ σῶμα δ' ἂν ἄλλα τε φαίη δίκαια, καὶ ὡς ἐγὼ τὴν ὑπὲρ σοῦ τελευτὴν, ἀλλ' οὐχ ἡ ψυχὴ δέχεται. Οὐδὲ γὰρ πέφυκεν. Ἐμὸν τὸ ποιεῖν διὰ τοὺς σοὺς νόμους νηστείαις, ἀγρυπνίαις· διὰ τῶν ἐμῶν μελῶν ἡ παρθενία. Πῶς οὖν οὐκ ἄδικον, ἐμῶν τῶν ἄθλων ὄντων, τὴν ψυχὴν χωρὶς ἐμοῦ λαμβάνειν τὰ ἔπαθλα ; τίς λύσις αὐτῶν τῆς δίκης ; Κοινὸς ὁ μισθὸς, κοιναὶ αἱ ποιναὶ, ὅτι κοιναὶ αὐτῶν αἱ πράξεις, κἂν ἐπ' ἐνίων τὸ ἕτερον τοῦ συγκρίματος πλεονεκτῇ [20] τοῦ ἑτέρου. καὶ τὴν συζευχθεῖσαν ἀπ' ἀρχῆς εἰς κοινοὺς πόνους ζυγὰδα δεῖ [21] ὁμολογεῖν καὶ εἰδέναι κοινῶν καὶ τῶν στεφάνων ἀπολαύειν ἐφ' οἷς νενικηκε, καὶ εἰς κοινὰς ἀπάγεσθαι τιμωρίας ὧν ἐπλημμέλησεν.

anima sola remunerationem 513*b* bonorum operum, laborumque habeat, patet etiam eorum quibus homo peccavit, pœnam solam esse daturam. Sed vide ne corpus et animam adversus sese invicem in judicium voces. Merito enim corpus cum anima expostularet, si honores recte factorum sibi adimeret: animaque vicissim cum corpore, si debitas illi pœnas se solum videret sustinere oportere. Quin potius utrumque contra judicem incitas: corpus quidem, quia retributione, quam meretur, privatur ; animam vero, quod eorum quorum non est conscia, pœnæ ab ea exigantur. Copulasti me, o Domine, corpori incorpoream, et soli mihi res terrenas non commisisti, et a me sola pœnam exigis, et do pœnas eorum, quibus corpus peccavit, ebrietatis, fornicationis, gulæ. Ubi enim sunt hæc animæ propria, ut invidia forte, vel hæresis? Quemadmodum enim hæc non sunt corporis, sic neque illa animæ, etsi alterum sine altero ad utraque ineptum. Corpus vero cum alia pro se dicat justa, tum, ego pro te mortem oppetii, non anima. Non enim meum est laborare ob leges tuas jejuniis, et vigiliis. Per membra mea virginitas. Quomodo igitur non iniquum, cum mea sint certamina, animam sine me coronam accipere. Quæ est sententia eorum judicii? *Communis merces, et communis pœna, quia etiam utrisque communia opera fuerunt* Quanquam in aliquibus contentione unum superat alterum : et sibi invicem conjuncta fuisse ab initio ad communes labores obeundos, confitendum, et sciendum, et fore, ut communes coronas, parta victoria accipiant, et in quibus peccarunt, communes pœnas luant.

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸ Πάσχα λόγου δευτέρου [22].

Ejusdem altera oratio in Pascha.

Ἀνάστασις τῆς τοῦ Κυρίου προνοίας τὸ κεφάλαιον· τοῦ κεφαλαίου δὲ ψυχὴ μνημονεύουσα, καὶ τῇ περὶ τὸν εὐεργέτην εὐχαριστίᾳ συζῶσα, ταῖς τοῦ ἐχθροῦ δυσάλωτος γίνεται παγαῖς. Ἀνάβηθι πρὸς τὴν τῶν ἀνθρώπων ἀρχαιολογίαν [23], καὶ τὴν τῆς ἀναστάσεως σκιαγραφίαν εὑρήσεις. Ἡ μὲν γὰρ τῶν ἀλόγων φύσις ἔμψυχος δεδημιούργηται, τῷ σώματι τῆς ψυχῆς συγκατασκευασθείσης· ἄψυχος δὲ ὁ Ἀδαμ πηλοῦ διαπλασθέντος μεμόρφωται, εἶτα ἡ ψυχὴ τῷ ἐμφυσήματι μεμόρφωται [24], μᾶλλον δὲ ἀληθῶς εἰπεῖν, ἐπεισάγεται, καὶ τὴν ἐκ νεκρῶν εὐθέως ὁ πλάστης προοιμιάζεται ἔγερσιν. Καὶ [25] οὐδ' ἐκ στερεᾶς τὸν πρωτόπλαστον συντίθησιν ὕλης, ἀλλὰ τῆς γῆς τὸ χνοῶδες χαλκεύει πρὸς μόρφωσιν, πείθων ἐκ προοιμίων τὸν ἄπιστον ὅτι, κἂν χοῦς ᾖ νεκρῶς καὶ ἀκίνητος, ῥᾴδιον ἡ

Resurrectio est caput providentiæ Domini : capitis vero anima memor, et gratias agens benefactori, inimici laqueis capi non potest. Ascende ad antiquorum historias, et videbis resurrectionis adumbrationem. Brutorum enim natura animata creata est, anima cum corpore simul condita. Adam autem sine anima e luto fictili formatus est, deinde anima inspiratione formata est [b], quin, ut verius loquar, superinducta est. Et mortuorum resurrectionis Creator primordium statim fecit. Non enim e solida protoplastum fecit materia, sed 514*a* terræ pulverem in formam adduxit, tollens ab initio hominum infidelitatem, quia etsi pulvis sit mortuus et immobilis, facile anima reorgere facit, et nul-

[b] Gen. II, 7.

VARIÆ LECTIONES.

17 εἰσάγεις ς. 18 καθίζεις A. 19 πραττομένη A. 20 πλεονεκτεῖ ς. 21 δεῖν A. 22 δευτέρου λόγου ς. 23 ἀρχαιογονίαν A. 24 μεμόρφωται μᾶλλον δὲ ἀληθῶς εἰπεῖν om. A. 25 καὶ add. A.

Digitized by Google Распознавание текста ABK/FR

lum ferens vestigium vivificationis, nec accipiens, participem reddit vitalis conjunctionis. Non enim corruptibile corpus fecit, sed tempore quodam solutioni tradit, vitiositatem vasis ex peccato purgans ac sanans, et putrefactum peccati mortalitate inveniens, mortis fornace dissolvit, et ubi solvit, vas putrefactum de novo formal, nec admireris, quasi altiorem captu mortuorum reformationem. Tanta enim ars est fictoris in fingendo, ut etiam aquæ naturam in simulacra in ventre formet, hoc mihi magis mirandum videtur, quam ipsa resurrectio. Ibi enim e pulvere mortuus formatur, et figulus vas e terra format, nostris artibus similia repræsentans: hic vero nuda quædam gutta factorum est lutum, et e gutta fit animal ratione præditum. O artem ex aqua simulacra formans. Et non hoc solum mirum est, aquam sculpi in animarum simulacrum, sed intus formari fluctuans semen. Sanguis enim undique bulliens, semen huc atque illuc nutans et ægre stabile facit, et illis decumanis agitatum fluctibus, animata tamen statua perficitur. O pictorem in fluctuanti linteo secure pingentem. Sanguis enim tanquam linteum subjacet formato fetui. Hoc Salomon etiam cum stupore admirans, *In ventre*, inquit, *matris figuratus sum caro, decem mensium tempore coagulatus sum in sanguine* [c]. Femina enim tanquam pictoris officina proposita est, colorum vero materiam vir addit. Est vero quis pictor in utero, ex uno colore e multis compositam pingens imaginem? Sed quomodo e feculento semine oculis addidit eleganter pupillam, quomodo e substantia fluxa ossa condidit? quomodo ex soluto semine nervos compegit? quomodo sanguinis canales venas desculpsit? quomodo cerebri in capite custodiam ossibus aptavit? quomodo fetus in obscura depictus officina, aptum membrorum situm accepit? Sed tanquam radio uterum 814*b* illustrante, cuique parti proprium membrorum locum pictor distribuit: *Amictus enim lumine sicut vestimento* [d], est occultus fetuum pictor. Quem David celebrat dicendo: *Non abscondisti os meum a te, quod fecisti in occulto* [e]. Hanc e gutta cogitans fictilem artem, respectu figmenti e terra non ambigo. Quoties enim video artificem ex aqua condentem statuam, melius illum statuas e terra credo facere. Quemadmodum enim si quis in aqua pingit litteras, et lineas ducit, idem melius in cera eas efformabit, sic fluxo semine pingens et sculpens membra, facilius in terram membrorum figuras pinget, et formabit, et qui ante ullum virtutis meritum sic corporis in utero curam gessit, post opus virtutis quomodo terram dissolutam sine honore relinquet? Interime corpus, et creaturam occideris: non erit navis sine manibus,

ψυχὴ πρὸς ἀνάστασιν ἄγει καὶ τὸ μηδ' ὅλως ἴχνη μήτε λαβὸν μήτε φέρον ζωώσεως κοινωνὸν ποιεῖται ζωηφόρου συμβιώσεως. Οὐ γὰρ φθορᾶς τὸ σῶμα διέπλασε παρανάλωμα, ἀλλὰ χρόνῳ τινὶ λύσει παραδίδωσι, τὴν ἐκ τῆς [838 H] ἁμαρτίας τοῦ σκεύους καθαίρων τε καὶ ἐξιώμενος κάκωσιν· καὶ τῇ παρὰ τῆς ἁμαρτίας εὑρὼν σεσαθρωμένον θνητότητι, τῷ τοῦ θανάτου διὰ λύει χωνευτηρίῳ, [1533 R.] καὶ λύσας πρὸς νεόπλαστον σκεῦος τὸ ταθρωθὲν ἀναπλάττει. Καὶ μὴ θαυμάσῃς ὡς λογισμῶν ἀνωτέραν τὴν τῶν νεκρῶν ἀναχάλκευσιν· τοσαύτη γὰρ πρὸς ἀγαλματοποιΐαν ἡ τέχνη τοῦ πλάστου, ὡς καὶ φύσιν ὕδατος εἰς ἀνδριάντας ἐν γαστρὶ διαπλάττειν. Τοῦτό μοι παραδοξότερον τοῦ περὶ τὴν ἀνάστασιν θαύματος. Ἐκεῖ μὲν γὰρ ἐκ χοὺς νεκρὸς πηλουργεῖται, καὶ τὸ σκεῦος ὁ κεραμεὺς ἐκ τῆς γῆς ἀναπλάττει, συμφωνά πως τοῖς παρ' ἡμῖν ἐνδεικνύμενος τέχναις· ἐνταῦθα δὲ γυμνή τις σταγὼν τῶν πλαττομένων γίνεται πηλὸς, καὶ λογικὸν ἐκ σταγόνος συντίθεται ζῴδιον. Ὦ τέχνης ἐξ ὕδατος γλυφούσης ἀγαλματα! καὶ οὐ τοῦτο μόνον παρέχεται τὸ παράδοξον, ὅτι γλύφει τὸ ὕδωρ εἰς ἔμψυχον ξόανον, ἀλλ' ὅτι καὶ κυματουμένην τὴν γονὴν ἔνδον τεκτονεύει. Αἱματων γὰρ πάντοθεν περιβράσσοντες [26] χείμαρροι περιῤῥέπεῖς ποιοῦσι τὸ σπαρὲν καὶ δυσστήρικτον· καὶ τῇ τοσαύτῃ ναυαγούμενον τρικυμίᾳ καὶ ζάλῃ πρὸς ἔμψυχος ὅμως ἀπαρτίζεται ἀνδριάντα. Ὦ γραφέως ἐπὶ σαλευομένης σινδόνος ἀσφαλῶς ζωγραφοῦντος! τὸ γαρ αἷμα οἷον σινδών τις ὑπόκειται τῇ μορφουμένῃ γονῇ. Τοῦτο καὶ Σολομὼν ἐκπληττόμενος ἔλεγεν, Ἐν ποικίλῃ μητρὸς ἐγλύφην σαρξ, δεκαμηνιαίῳ παγεὶς ἐν αἵματι. Πρόκειται μὲν ὥσπερ ζωγραφετόν τι τὸ θῆλυ, τῶν χρωμάτων δὲ τὴν ὕλην τὸ ἄῤῥεν ἐπιβάλλει. Καθῆται [27] δέ τις ἐν τῇ μήτρᾳ ζωφράφος, ἐξ ἑνὸς χρώματος πολυσύνθετον καταποικίλλων εἰκόνα. Πῶς ἐξ ἰλυώδους γονῆς ὀφθαλμοὺς ἐνηγλάϊσε, κόρην; πῆς ἐκ ῥοώδους οὐσίας ὀστῶν συνεπήξατο φύσιν; πῶς ἐκ λελυμένης σποράς νεύρων ἐστερέωσε τόνον; πῶς αἱμάτων σωλῆνας διέγλυψε τὰς φλέβας; πῶς τὰς τῶν ὀστέων ἐγκεφάλῳ [28] περιήρμοσε θήκας; πῶς ἐν ἀφεγγεῖ τὸ βρέφος γραφόμενον ζωγραφείῳ ἀσυγχύτους τὰς τῶν μελῶν ἀπείληφε τοποθεσίας; ἀλλ' ὥσπερ ἀκτινός τινος τὴν νηδὺν ἐναυγαζούσης, τὴν οἰκείαν ἑκάστῳ τῶν μελῶν ὁ γραφεὺς ἀποδίδωσι χώραν· Ὁ γὰρ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον κρυφαίος γίνεται τῶν ἐμβρύων ζωγράφος. Ὃν καὶ Δαβὶδ δημοσιεύων ἔδοξε· Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ. Ταύτην τὴν ἐκ σταγόνος λογιζόμενος πλαστικὴν πρὸς τὴν ἐκ γῆς ἀγαλματοποιΐαν οὐ διαφέρομαι. Ὅταν γὰρ ἴδω τεχνίτην ἐξ ὕδατος πηγνύμενον ξόανα [29], ὀξύτερον αὐτὸν τοὺς ἐκ γῆς ἀναπλάττειν ἀνδριάντας πιστεύω. Ὥσπερ γὰρ εἴ τις ἐφ' ὕδατος γράφει γράμματα καὶ γραμμὰς ἐγκολάπτει, οὗτος τὰς εἰς κηρὸν εὐχερέστερον ἐγχαράττει, οὕτως ὁ τῇ ῥοώδει γονῇ

[c] Sap. VII, 1. [d] Psal. CIII, 2. [e] Psal. CXXXIX, 14.

VARIÆ LECTIONES.

[26] περιβράσαντες A. [27] κάθηται A : ἤνθηται ς. [28] ὀστέων ἐν ἐγκ. A. [29] ξόανον.

Digitized by Google Распознавание текста ABKAFR

καταγράφων καὶ διαγλύφων τὰ μέλη ῥᾷον εἰς χεῖρας τοὺς τῶν μελῶν ἐγκατεγράψει τε καὶ διαμορφώσει χαρακτῆρας. Καὶ ὁ πρὸ τῆς ἀρετῆς οὕτω τοῦ σώματος φροντίσας ἐν [839 H] νηδύϊ, μετὰ τὴν ἐργασίαν τῆς ἀρετῆς πῶς ἂν εἰς γῆν διαῤῥυὲν ἄτιμον καταλείψῃ 30 ; ἄνελε 31 τὸ σῶμα, καὶ τὴν κτίσιν ἐνέκρωσας. Οὐκ ἔστι πλοῖον χειρῶν οὐκ οὐσῶν 32, οὐ πλωτὸν πέλαγος σώματος οἰχομένου· τὰ μυρία γένη τῶν ζώων μάτην, οὔτε τροφῆς ἐξ αὐτῶν οὔτε θεραπείας ἄλλης τῷ σώματι χορηγουμένης. Τέχναι δὲ ποῦ, σώματος οὐκ ὄντος ; ὧραι δὲ καὶ καιρῶν εὔτακτοι μεταβολαὶ οὐρανίας κινήσεως ἄῤῥητος σοφία τίνα ἂν παράσχοι χρείαν, τῆς σωματικῆς φύσεως οὐ παρούσης ; καὶ πόσα ἄν τις ἕτερα θεωρήσοι ; πόθεν οὖν εὕρω τὸ σῶμα τῶν μελλόντων δωρεῶν ἀνάξιον, ᾧ τοσαύτην ὁρῶ διὰ πάντων δεδωρημένην τιμήν ; [1536 R.] ἀλλ' ἄρα ὑμεῖς ἰχθυόβρωτον ὑποπτεύετε σῶμα τὸν Θεὸν ζητοῦντα μὴ εὑρήσειν ; καὶ πῶς ὁ μυρίους ἐν ψυχῇ λογισμοὺς στρεφομένους τῷ τῆς γνώσεως ἔχων ἀμιγεῖς καὶ ἀσυγχύτους ταμιείῳ τὴν τῶν σωμάτων μιγεῖσαν οὐκ ἀναλήψεται διακρίνας φύσιν ; ἀσθενέστερον τὸν Θεῖον τῆς παρ' ἡμῖν ἀνακλάττετε τέχνης. Καὶ γὰρ ἡμεῖς ἐκ γεώδους ψάμμου καὶ ὕελον καὶ ψυσὸν (εἰ τύχοι) καὶ χαλκὸν καὶ ἄργυρον πυρὶ δόντες, τὰ λιθίδια διακρίνομέν τε καὶ ἀποθλίβομεν, μηδὲν αὐτῶν καθορώμενον ἐν τῇ τοῦ λίθου φύσει· καὶ οἶνον ὕδατι κραθέντα πάλιν διακρίνοντες εἰς τὴν ἰδίαν φύσιν ἀποκαθιστῶμεν ἑκάτερον. Ἀλλὰ γὰρ ἡ τοῦ Θεοῦ δύναμις καὶ σοφία ἀνεφικτοῖς μέτροις τῆς ἀνθρωπίνης καὶ τέχνης καὶ συνέσεως ὑπερέχουσα, καὶ τὴν τῶν ὅλων οὐσίαν ἐν 33 ἑαυτῇ συλλαβοῦσα καὶ περιέχουσα, καὶ τὸν πολύτροπον τῶν σωμάτων σύγκρισιν 34 καὶ μίξιν ἐν τοῖς τῆς φύσεως εὐκρινῆ συντηρεῖ ταμιείοις. Οὐ γὰρ ἔξω τῆς ἐν τῇ κτίσει φύσεως ἡ τοῦ σώματος φύσις, κἂν διὰ μυρίων ῥεῖ λυομένη θανάτων. Διὸ πρὸς τὴν οἰκείαν εὐκόλως ἐπαναγέται μορφήν, καὶ κοινωνεῖ τῶν τιμῶν, ὧν αὐτῇ 35 μετασχεῖν ἔδει συνδιενεγκούσῃ καὶ τοὺς ἄθλους.

A neque navigabile erit mare, corpore mortuo. Mille animalium genera frustra erunt, neque nutrimentum ex illis esset, neque aliud alimenti ministerium. Artes vero ubi erunt, corpore non exsistente? Horæ vero et temporum ordinatæ mutationes, et ineffabilis cœlestis motus sapientia, quam utilitatem præberent, si corpora non essent? Et quot alia quis considerarit? Unde igitur inveniam corpus futuris donis indignum, cui tantum ab omnibus concessum honorem video! Utrum existimatis Deum corpus quod pisces comederunt invenire non posse? et quomodo qui infinitas cogitationes animi agitatas, immistas et inconfusas, habet cognitas, naturam corporum mistam non poterit discernere? Facilis nimirum divinitatem inferiorem nostris artibus. B Nos enim e terræ arena vitrum, aurum (exempli gratia), æs, argentum, igni dantes, scrupulos separamus, et deterimus, tametsi nihil horum in lapidis natura apparuerit, et vinum aquæ immistum iterum in propriam naturam discernentes, utrumque restituimus. Sed Dei potestas et sapientia infinitis modis humanam artem et intellectum excedens, et universorum naturam in se comprehendens et continens, et variam corporis compositionem, et mistionem in naturæ promptuario puram conservat. Non enim extra naturam τὸ σῶμα in creatura, corporis natura est, etsi per mille mortes fluat soluta. Ideo in propriam facile formam revertitur, et de honore participat, cujus illam participem fieri oportuit, cum etiam una certaverit.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὴν Ἀνάληψιν α' λόγου.

Τὸ προοίμιον.

Εἰς οὐρανὸν μὲν καὶ γῆν ἡ τῆς κτίσεως διαμεμέρισται φύσις, οὐκ ἐᾷ δέ με τὴν διαίρεσιν βλέπειν ἡ συνάψασα σήμερον τὴν κτίσιν χάρις. Τίς γὰρ ἂν εἴποι λοιπὸν οὐρανὸν καὶ γῆν διῃρῆσθαι, καὶ κάτω τῆς φύσεως τῆς ἐμῆς καὶ ἄνω τῆς ἐμῆς βασιλευούσης ; ἀλλὰ κάτω μὲν ἔτι τῇ φθορᾷ τυραννούμεθα· ὅταν δὲ εἰς οὐρανὸν ἀναβλέψωμεν, τὴν φθορὰν ἡ φύσις ἀποτίθεται. Βλέπει γὰρ ἄνω τὴν τῶν κάτω νεκρῶν ἀναστάσιμον ῥίζαν. Ὦ κέρδους ζημίας προελθόντος ! κατενεχθέντες ἤρθημεν εἰς ὕψος· ὠσθέντες εἰς οὐρανὸν ἀνηνέχθημεν· ἔσω τοῦ παραδείσου πληγέντες ἔξω τὴν θεραπείαν εὑρήκαμεν. Ποῦ σοι, καταπόντιστά, τὸ κακούργημα ; ὃν ἔπηξας τῷ κυβερνήτῃ σταυρόν, γέγονε τῇ ναυαγούσῃ φύσει πηδάλιον, καὶ πρὸς οὐρανίους οἰακίζει λιμένας κυμαινομένους 36 ἡμᾶς καὶ ἀποκαθίστησιν. Ὥσπερ [840 H.] αἱ τῶν μαθητῶν ἐκ τῆς γῆς πρὸς οὐρανὸν

Ejusdem homilia prima de Christi ascensione.

Proœmium.

C In cœlum et terram creaturæ natura divisa est: non permittit me divisionem videre gratia, quæ hodie creaturam connectit. Quisnam deinceps dixerit, cœlum et terram divisa esse, cum supra et infra natura mea regnet? Sed infra quidem corruptione adhuc premimur. Quando vero in cœlum oculos convertimus, corruptionem natura deponit. Videt enim supra eorum qui infra mortui resurrectionis radicem (Christum): o lucrum e damno proveniens! Deorsum missi tollimur in altum, expulsi in cœlum reducimur. Intra paradisum vulnerati, extra illum remedium invenimus. Ubi tibi pirata, maleficium est? Crux quam gubernatori D fixisti, vertitur naturæ naufragæ in clavum navis, et ad cœlestem nos portum fluctuantes ducit, ac sistit. Quemadmodum apostolorum oculi e terra ad cœlum sublati erant, carne paulatim sursum

VARIÆ LECTIONES.

30 κατελείψει A. 31 ἄνελε — ἄθλους om. B. 32 οὐσῶν A : ὄντων ς. 33 ἐν om. A. 34 σύγκρασιν ς. 35 αὐτῇ, αὐτό A. 36 κυμαινομένους, κυβερνωμένους A.

Digitized by Google Распознавание текста ABK/FR

τὸν ἔσχατον λόγον ἡ ἐπιγραφὴ ἐν τῷ ἀποστολείῳ εἰρῆσθαι λέγει· τὸ δὲ προοίμιον αἰνίττεται ὡς ἄλλων προειπόντων ὁ συγγραφεὺς μετ' ἐκείνους δημηγορεῖ. ἔχει γὰρ οὕτως· Ἐπειδὴ κἀμὲ πρὸς τὸ λέγειν ὁ κύκλος ἀνίστησιν, [1520 R.] ἐπειδὴ τὸ συνθημα πρὸς τὴν κοινὴν χορείαν ἐγείρει, ἐπειδὴ δεῖ κἀμὲ [830 H.] πρὸς εὐφημίαν πατρικὴν ἀναχρούσασθαι μέλος, καὶ πολλοὶ μὲν οἱ τὸ ὄφλημα τὸ ἀπαραίτητον ἀπαιτοῦντες 59, παρ' ἡμῖν δὲ οὐδὲν τῆς πατρικῆς ἐφάμιλλον ἀρετῆς, χρήσον ἡμῖν, ὦ πάτερ Ἰωάννη, τὴν λύραν τὴν σήν.

CCLXXIV.

Joannis Chrysostomi in XL martyres oratio.

Legi Joannem Chrysostomum in laudem 40 martyrum.

Celebrantur martyres non ut ipsi laudem accipiant, verum ut nos per eorum laudem ad imitationem incendamur. Molestias passi sunt pii et impii, sed illi ad exercitationem justitiæ, hi ad peccati castigationem. Ideo justorum mala sacra Scriptura *tribulationes* vocat, 509*b*, malorum contra *castigationes*. *Vestri beati oculi, quia vident*, id est, quia intelligunt. Si enim in videndo felicitas, etiam Judæi, qui Salvatorem viderunt, beati fuissent. Sed *videre* in sacra Scriptura est capi de intelligenti animi oculo, et profunditatem veritatis intelligere. Ideo Prophetas olim *videntes* vocarunt. Beata prædicat Salvator instrumenta virtutis, etsi corporis sint, oculos bene videntes, et aures cum discretione audientes. Oportet enim audientem intellexisse, et intelligentem audisse, ut scriptum est: *Audi, filia, et vide, et inclina aurem tuam* [u]. *pro his*, obtempera, intellige. Quemadmodum hausturus aquam, ad fistulam acclimatur, sic auditus justi ad divinæ legis fluenta se inclinat: *Inclinabo enim in parabolam aurem meam* [v]. Quare *inclinabo?* Cum omnis urna aquam capiens, capit se inclinando, ideo et omnis auris suscipiens fluxus verbi Dei, ad hoc se inclinare dicitur. Prædico beata martyrum latera, quæ pietatis robur inexpugnabile ostenderunt, pietatem non amisisse. Etenim ut plurimum percussi sunt totis costis, quandoquidem per costam peccatum intravit. Peccatum enim non est femina [x]: ipsa etenim etiam Dei creatura est, sed quia per eam prævaricatio viam invenit. Poliuntur igitur martyres in costis, unde peccatum irrepsit. Ideo Salvator in latere hastam suscepit, *et exivit sanguis et aqua*, quo mundus ablutus est, et antiquum vulnus depulsum. Quemadmodum enim justorum membra singillatim laudibus celebrantur, sic et impiorum membra infamia notantur, et singillatim infelicia deprædicantur: *Non veniat mihi pes superbiæ, et manus peccatoris non moveat me* [z]. *Pes superbiæ* via est factus superbiæ, manus vero est actio, ut neque factum peccati, neque semita accidat mihi, neque profectus in deterius. Ideo Moses aurem dextram sacerdotis sanguine arietis

ΣΟΔ'.

Ἰωάννου τοῦ Χρυσοστόμου ἐκ τοῦ ἐγκωμίου εἰς τοὺς ἁγίους μ' μάρτυρας.

Ἀνεγνώσθη Ἰωάννου 60 τοῦ Χρυσοστόμου ἐκ τοῦ ἐγκωμίου τοῦ εἰς τοὺς ἁγίους μ' μάρτυρας.

Ἐγκωμιάζονται μάρτυρες οὐχ ἵνα αὐτοὶ τὸν ἔπαινον λάβωσιν, ἀλλ' ἵνα ἡμεῖς διὰ τῶν ἐπαίνων διανιστῶμεν πρὸς τὴν μίμησιν. Ἐθλίβησαν καὶ δίκαιοι καὶ ἄδικοι, ἀλλ' οἱ μὲν εἰς γυμνάσιον δικαιοσύνης, οἱ δὲ εἰς ἔλεγχον ἁμαρτίας. Διὰ τουτο τὰ μὲν τῶν δικαίων πάθη θλίψεις ἡ 61 Γραφὴ καλεῖ, τὰ δὲ τῶν ἁμαρτωλῶν μάστιγας. Μακάριοι οἱ ὀφθαλμοὶ ὑμῶν 62 ὅτι 63 βλέπουσιν, ἀντὶ τοῦ, ὅτι καταμανθάνουσιν. Εἰ γὰρ ἀπὸ τοῦ ὁρᾶν ἦν ὁ μακαρισμὸς, καὶ οἱ Ἰουδαῖοι τὸν Σωτῆρα ὀφθαλμοῖς ἰδόντες ἐμακαρίζοντο ἄν. Καὶ γὰρ τὸ βλέπειν παρὰ τῇ Γραφῇ τὸ τῷ νοερῷ τῆς ψυχῆς ὄμματι καταλαμβάνεσθαι δηλοῖ, καὶ τὸ τὰ βάθη καθορᾶν τῆς ἀληθείας. Διὰ τοῦτο καὶ ἐν τοῖς ἀρχαίοις τοὺς προφήτας βλέποντας ἐκάλουν. Μακαρίζει τοίνυν ὁ Σωτὴρ τὰ ὄργανα τῆς ἀρετῆς, κἂν τοῦ σώματος ᾖ, ὀφθαλμοὺς καλῶς βλέποντας καὶ ὦτα διακριτικῶς ἀκούοντα. Δεῖ γὰρ ἀκούσαντα νοῆσαι καὶ νοήσαντα ὑπακοῦσαι, κατὰ τὸ γεγραμμένον, Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, ἀντὶ τοῦ ὑπάκουσον, νόησον. Ὥσπερ δεξαμενὴ σωλῆνι προσκέκλιται ῥέοντι, οὕτως ἡ ἀκοὴ τοῦ δικαίου προσκέκλιται τοῦ θείου νόμου τοῖς νάμασιν. Κλινῶ γὰρ εἰς παραβολὴν τὸ οὖς μου. Διὰ τί κλινῶ; ἐπειδὴ πᾶσα ὑδρία δεχομένη ὕδωρ κεκλιμένῳ τῷ σχήματι δέχεται, διὰ τοῦτο καὶ πᾶσα ἀκοὴ δεχομένη τοῦ θείου λόγου τὰ ῥεύματα, προσκεκλίσθαι τούτοις λέγεται. Μακαρίζω τὰς τῶν μαρτύρων πλευρὰς, αἳ τὴν τῆς εὐσεβείας πλευρὰν ἀήττητον ξεόμεναι ἔδειξαν, τὴν εὐσέβειαν μὴ ἀποσμήξασαι· καὶ γὰρ ἐπλήττοντο ὡς ἐπίπαν τὰς πλευρὰς, ἐπειδὴ ἀπὸ πλευρᾶς ἡ ἁμαρτία ἐδλάστησεν. Ἁμαρτία δὲ οὐχ ἡ γυνή· Θεοῦ γὰρ πλάσμα καὶ αὕτη 64· ἀλλ' ὅτι δι' ἐκείνης ὁδὸν εὗρεν ἡ παράβασις. Ξέονται οὖν οἱ μάρτυρες τὰς πλευρὰς, ἐξ ὧν ἐπήγασεν ἡ ἁμαρτία. Καὶ ὁ Σωτὴρ δὲ διὰ τοῦτο κατὰ τὰς πλευρὰς ἐδέξατο τὴν 65 λόγχην, καὶ ἐξῆλθεν ὕδωρ καὶ αἷμα, τοῦ κόσμου καθάρσιον καὶ τῆς παλαιᾶς ἐκείνης πληγῆς ἀλεξητήριον. Ὥσπερ δὲ μέλη δικαίων ἐγκωμιάζονται κατὰ μέρος, οὕτω καὶ μέλη ἀσεβῶν στηλιτεύονται καὶ ταλανίζονται κατὰ μέρος. Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσῃ με. Ποὺς ὑπερηφανίας ἡ ὁδὸς τῆς ὑπερ-

[s] Matth. XIII, 16. [t] I Reg. VIII, 1 seq. [u] Psal. XLIV, 12. [v] Psal. XLVIII, 5. [x] Genes. II, 1 seq. [y] Joan. XIX, 34. [z] Psal. XXXV, 12.

VARIÆ LECTIONES

59 παραιτοῦντες A. 60 Ἰωάννου om B. 61 ἡ] καὶ ἡ B. 62 ἡμῶν A. 63 ὅτι om. B. 64 αὐτὴ B. 65 τὴν add. A.

Digitized by Google Распознавание текста ABKAFR

ηφανίας, χεὶρ δ' ἡ πρᾶξις, οἷον μήτε πρᾶξις ἁμαρτίας μήτε τρίβος προσέλθῃ [66] μοι, μηδὲ προκοπή. Διὸ καὶ Μωϋσῆς οὗς τὸ [67] δεξιὸν τοῦ ἱερέως αἵματι τοῦ ἀμνοῦ χρίει, καὶ τὸ ἄκρον τῆς δεξιᾶς χειρὸς καὶ τοῦ δεξιοῦ ποδὸς, τὸ μὲν ὡς [831 H.] δοχεῖον τοῦ θείου λόγου μέλλον ἔσεσθαι, τὴν δὲ ὡς πράξεως δηλωτικήν, τὸν πόδα δὲ ὡς προκοπῆς τῆς ἐπ' ἀρετὴν [68] καὶ τελειώσεως σύμβολον. Δύο ἐργάζεται ἡ πηγὴ τοῦ Εὐαγγελίου, καθαίρει καὶ ποτίζει· ποτίζει μὲν τὰς διψώσας, καθαίρει δὲ τὰς ῥυπώσας [ψυχάς [69]]. [1521 R.] Ὁ μισθὸς [70] ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Ἐν τοῖς Εὐαγγελίοις ἅπαξ εἴρηται, ὡς ἐνταῦθα, ἡ πολὺς φωνὴ, καὶ ἐν τῇ Παλαιᾷ [71] ἅπαξ πρὸς τὸν Ἀβραὰμ, μετὰ τὴν κοπὴν τῶν βασιλέων καὶ τὴν ἀνάρρυσιν τῶν αἰχμαλώτων, καὶ μετὰ τὸ μὴ καταδέξασθαι μισθὸν λαβεῖν τῶν πόνων καὶ τῆς κατὰ τῶν αἰχμαλωτισάντων νίκης. Τότε γάρ φησι πρὸς αὐτὸν ὁ Θεὸς, Μὴ φοβοῦ, Ἀβραάμ· ὁ μισθός σου πολὺς ἔσται σφόδρα. Κατὰ λέξιν δὲ ἅπαξ καὶ ἅπαξ τὸ πολὺς [72] εἴρηται, κατὰ δὲ τὸ σημαινόμενον καὶ πολλάκις. Καὶ γὰρ ὁ Δαβὶδ φησιν ἀνταπόδοσις πολλὴ ἀντὶ τοῦ μισθὸς πολὺς, καὶ ἀλλαχοῦ. Ὅταν δὲ Θεὸς εἴπῃ πολὺς ὁ μισθὸς, ἐννοήσας τὸν ἐπαγγελλόμενον ἐννόει καὶ τὸν ἄφατον λόγον τοῦ πολύς. Ἄλλο γάρ ἐστιν εἰπεῖν ἀγρότῃ πολὺν, καὶ ἄλλο πολίτῃ· μεῖζον δ' ἀμφοῖν τοῦ στρατηγοῦ τὸ πολὺ· τὸ δὲ παρὰ τῷ βασιλεῖ πολὺ μυριοπλάσιον τῶν παρὰ ἄλλοις· τὸ δὲ παρὰ Θεῷ πολὺ ποσαπλάσιον ἂν συμπάντων εἴη, οὐδ' ἐστὶ ῥητόν. Πολὺς οὖν ὁ μισθὸς τῶν μαρτύρων, τῶν ἀδίκως διωκομένων, τῶν συκοφαντουμένων ἕνεκα Θεοῦ, τῶν θλιβομένων, καὶ τῶν ἀνθρωπίνης δόξης ὥσπερ ὁ Ἀβραὰμ καταπατούντων. Καὶ γὰρ ἐκεῖνος τὴν ἵππον πᾶσαν διδόντων τῶν τῆς Γομόρρας καὶ τῶν Σοδόμων βασιλέων, καὶ τούτοις τιμώντων ἀνθ' ὧν αὐτοῖς ἀνεσώσατο τῶν γυναικῶν καὶ παίδων τὴν αἰχμαλωσίαν, παρῃτήσατο τὴν παρ' αὐτῶν δόξαν, μὴ θελήσας τῶν ἰδίων καμάτων παρὰ ἀνθρώπων λαβεῖν τοὺς μισθούς. Διὸ καὶ ἠξιώθη παρὰ Θεοῦ ἀκοῦσαι ὅτι Ὁ μισθός σου πολύς.

γραφία δὲ καὶ προτύπωσις τούτου ἡ πρὸς τὴν θείαν εἰκόνα τῆς ἐαῆς δημιουργίας καταβολή. Ἔμελλεν [42] ὅπως λαλεῖν· ἵνα μηδεὶς ἀπιστῇ [43], προελάλησεν ὅρις. Παρθένος τίκτει· ἵνα μή σοι ξένον δειχθῇ, τίκτει προφθάσασα στεῖρα. Ἔμελλεν Ἀδὰμ θανάτου τίκτεσθαι κρείττων· ἵνα μὴ κάμῃς ἐπιζητῶν πιστεῦσαι, ὁ πρῶτος Ἀδὰμ τὰς ἐπ' ἀθανασίᾳ δέχεται ψήφους. Καὶ τὸν Ἐνὼχ ἔχεις, ναὶ δὴ καὶ τὸν Ἠλίαν, τὸ τῆς ἀθανασίας σκιαγραφοῦντας μυστήριον· κατέχει γὰρ τούτους ὁ Πλάστης ἐν σώματι, ψυχαγωγῶν τὴν ἐξόριστον φύσιν, ὡς καὶ μετὰ τὴν ὑπερόριον φυγὴν πάλιν εἰς τὴν ἀθάνατον ἐπαναγάγοι πολιτείαν. Ἡ διὰ πταίσαντος Πατρὸς ἐπεισελθοῦσα θνητότης ἀναμαρτήτου παιδὸς εἰς διάλυσιν ἐδέετο τῆς τιμωρίας, δν ἀναμένειν ἡ φάσις διά τε Ἐνὼχ καὶ Ἠλίου διδασκομένη, προειθίζετο. Ὅτι σοῦ βουληθέντος οὐκ ἀποθνήσκει θνητὸς, Ἐνὼχ με καὶ Ἠλίας διδάσκουσι, καὶ γένοιτ' ἂν δι' αὐτῶν ἀθανασίας ἐλπὶς τοῖς οὔπω θανάτῳ προσομιλήσασιν· νεκροῖς δὲ τίνα ἂν παράσχοιεν οἱ μήπω θανόντες προσδοκίαν ἀναβιώσεως; ἀλλ' ἐὰν τις ἐκ νεκρῶν ἀναστὰς ἐν οὐρανῷ βασιλεύῃ, οὗτος τῷ ἐμῷ παντὶ γένει τὸ τῆς ἀθανασίας ἀναμφίβολον δῶρον παρέξεται. Διὰ τοῦτο πλάττει τῇ φύσει Θεὸς ἀθανασίας ἐκ τῆς φύσεως πρόσωπον, καὶ δείκνυσιν ὑπὲρ φύσιν ἐκ τῆς φύσεως προστάτην τῆς φύσεως. Ὁ θανάτου γευσάμενος ἐν οὐρανοῖς ἐκ νεκρῶν ἐνθρονίζεται, ὡς ἂν κάτωθεν ἡ φύσις πρὸς τὸν ἐν οὐρανοῖς ἀτενίζουσα [1540 R.] μηδὲν ἐπιδιστάζῃ [44] τῇ ἀθανασίᾳ, τὸν ἐξ αὐτῆς ἀϊδίως ἐν οὐρανοῖς βλέπουσα βασιλεύοντα. Τίς λαλήσει τὰς δυναστείας Κυρίου; Συμβασιλεύει [45] Θεότητι φύσις ἡ πρὶν ἐν παραδείσῳ μηδὲ τῆς θείας φωνῆς τὴν ἀκοὴν στέγουσα, ἀλλὰ τῷ φόβῳ ὀραπετεύουσα καὶ κρυπτομένη. Ὦ τῆς περὶ ἐμὲ χρηστότητος! οὐ μνημονεύει τῆς παραβάσεως, οὐ μνησικακεῖ τοῦ πρὸς τὸν ὄφιν συνθήματος, τοῦ γένους τὴν ἀγνωμοσύνην οὐ λογίζεται, τὴν πτῶσιν οὐκ ἐπηχύθη τῆς φύσεως· ἀλλ' ἐν αὐτοῖς τοῖς τοῦ θανάτου κειμένης [46] βαράθροις, ἐν αὐτοῖς τοῖς τῆς ἀσεβείας ἀδύτοις περιδράττεται ταύτης ἀῤῥήτῳ φιλανθρωπίας πλούτῳ, καὶ τῶν μυχῶν ταύτην ἀνασπάσας τοῦ ᾅδου καὶ [47] συνανυψώσας αὐτοῦ τῇ θεότητι πλαστουργὸς ὁ πλαστούργημα, τοῖς ματριχοῖς κόλποις ἐνίδρυσε. Διὰ τοῦτο καὶ Παῦλος ἐβόα· Συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις.

credulus: ante locutus est serpens, Virgo parit. Ne tibi novum videatur, parit quæ antea sterilis fuit, pariendus erat Adamus morte superior, ne quærendo ut credas defatigeris. Primus Adam accipit sententiam de immortalitate: et Enoch habes, et Eliam, qui immortalitatis mysterium adumbrant. Creator enim hos adhuc tenet in corpore, naturam exsultantem consolans, qui etiam post exsilium iterum immortalitati sit illam restituturus. Lapsi parentis quæ irrepsit mortalitas, non peccantis filii in solutionem indiget 516a supplicio, quem exspectare natura per Enoch, et Eliam antea consuevit. Te volente non moritur mortalis, ut Enoch, et Elias me docent, et per illos resurrectionem speramus, quia nondum mortui sunt. Mortuis vero, quam quæso præbeant exspectationem resurrectionis ii qui nondum mortui sunt? Sed si quis a mortuis excitatus in cœlo regnat, ille omnibus hominibus certum immortalitatis beneficium dat. Ideo naturæ formam Deus immortalitatis e natura faciem, et ostendit supra naturam natura e naturæ ducem. Qui mortem gustavit, in cœlo a mortuis collocatur, ut e terris natura ad eum qui in cœlis est respiciens, nihil de immortalitate addubitet, videns regem in æternum in cœlis e se natum regnare. Quis potentias Domini enarrabit? Regnat cum divinitate natura, quæ prius in paradiso nec divinam vocem audire sustinuit, sed pre timore fugit, et sese ocultavit. O Dei erga me bonitatem! Non meminit transgressionis, non recordatur pacti, quod cum serpente malum pepigimus, ingratitudinem hominum non reputat, lapsum naturæ non erubescit, sed in barathro mortis jacentem, in ipsis impietatis adytis complectitur inenarrabilibus amoris divitiis, et illam ex inferorum penetralibus retrahens, una cum divinitate sua Creator creaturam elevans, paterno sinui imposuit. Ideo Paulus clamat: *Conresuscitavit, et consedere nos fecit in cœlestibus* [h].

ΣΟΖ'.

Τοῦ Χρυσοστόμου ἐκ τῆς περὶ τοῦ ἁγίου Πνεύματος α' ὁμιλίας.

Ἀνεγνώσθη τοῦ Χρυσοστόμου ἐκ τῆς περὶ τοῦ ἁγίου Πνεύματος πρώτης ὁμιλίας, ἧς [48] ἡ ἀρχὴ, Χθὲς ἡμῖν, ὦ φιλόχριστοι [49], οἱ ψευδόχριστοι ἀφ' ἑαυτῶν ἐλάλουν, οὐκ ἐκ νόμου, οὐκ ἐκ προφητῶν, ἀλλ' ἀπὸ τῆς ἰδίας γνώμης καὶ ὁρμῆς. Ὁ δὲ Σωτὴρ οὐκ ἀπέστη νόμου, οὐκ ἐγκαταλέλοιπε προφήτας, ἀλλ' ἔλεγε νῦν μὲν, Καλῶς εἶπεν Ἡσαΐας, νῦν δὲ, Οὐ γέγραπται ἐν τῷ νόμῳ ὑμῶν, καὶ μυρία τοιαῦτα. Ἐπεὶ οὖν οἱ ἐλθόντες πρὸ Χριστοῦ, καὶ τὸ ἐκείνου περιθέντες ἑαυτοῖς κακούργως [842 H.] ὄνομα, οὐκ ἀπὸ τῶν ἱερῶν Γραφῶν, ἀλλ' ἐκ τῆς ἰδίας ἀπονοίας τὰ

CCLXXVII.

Excerpta ex Homilia I Joannis Chrysostomi de Spiritu sancto.

Legi primam Homiliam Chrysostomi de Spiritu sancto, cujus hoc initium: Heri nobis, o amatores Christi, pseudochristi a semetipsis loquebantur, non ex lege, non ex prophetis, sed a proprio suo animo ac impetu: Salvator autem non recessit a lege, non reliquit prophetas, sed dixit nunc quidem: *Bene prophetavit Isaias* [i]; nunc vero: *Non est in lege vestra scriptum* [i]. et talia infinita. Cum igitur qui venerunt ante Christum, et illius nomen falso sibi imposuerunt, non e sacra Scriptura, sed ex propria vecordia errorem proferrent, dicit Christus;

[h] Ephes. II, 6. [i] Matth. XV, 7. [j] Joan. VIII, 17.

VARIÆ LECTIONES.

42 ἔμελλον Ϛ. 43 ἀπιστεῖ. 44 ἐπιδιστάζῃ Ϛ. 45 συμβασιλεύει] συμβουλεύει A. 46 κειμένης corr. A: κειμένοις Ϛ. 47 καὶ add. A. 48 ἧς. 49 φιλόχριστοι om. A.

Digitized by Google Распознавание текста ABK/FR

neficium. Promittens etiam creaturæ, renovato et liberato corrupto et captivo homine, etiam ipsam renovatum iri, quasi diceret: Cecidit imago, et per lapsum interiit, et per inobedientiam corruptio est. Patere servire corruptione corrupto, ut quando ipsum renovato, meam imaginem, corruptum hominem, cum illo et te creaturam renovem, et eadem qua ille afflictam miseria, cum gloria resuscitem. Quid est hoc, hominis dominum fugere creaturam? Dicit enim: *Vanitati subjecta est creatura, non* volens: cui vanitati? A quo enim tempore homo a Deo deflexit, vanitas vocatur. Audi canentem Davidem: *Verumtamen universa vanitas, omnis homo vivens*[a]. Omnis homo vanus est Deum relinquens, et vanitatem sequens.

A νετο γὰρ ἡ κτίσις τὸν αἰχμάλωτον τῇ παραβάσει Κύριον ἐπιγράφεσθαι, καὶ ἐξυπηρετεῖν αὐτῷ, τῆς ἁμαρτίας αὐτὸν [844 H.] ὁρῶσα δοῦλον γενόμενον· ἀλλ' ἐκέλευσεν ὁ κτίστης μὴ ἐξαρνεῖσθαι τὸν παραβάτην, ἀλλ' ἐπιδεικνύναι τοῦ κοινοῦ Δεσπότου τὴν ἄφθονον χάριν καὶ τὸ τῆς εὐεργεσίας ἀμετάθετον, ἐπαγγειλάμενος καὶ τῇ κτίσει ὅτι περ, ἀνακαινιζομένου καὶ ἐλευθερουμένου τοῦ φθαρέντος καὶ αἰχμαλωτισθέντος ἀνθρώπου, ἀνακαινισθήσεται καὶ αὐτὴ, ὡς ἂν εἰ ἔλεγεν· Ἔπεσεν ἡ εἰκὼν καὶ ὠλίσθησε διὰ τὴν παράβασιν καὶ φθείρεται διὰ τὴν παρακοήν. Ἀνάσχου δουλεῦσαι τῇ τοῦ φθαρέντος φθορᾷ, ἵνα, ὅταν αὐτὸν ἀνακαινίζω, τὴν ἐμὴν εἰκόνα, τὸν φθαρέντα ἄνθρωπον, σὺν αὐτῷ, καὶ σὲ τὴν κτίσιν ἀνακαινίσω καὶ σύνθρονον αὐτοῦ τῆς [69] δόξης ποιήσω. Συγκατεσπάσθης αὐτοῦ [70] τῇ ταλαιπωρίᾳ, συνανασταθήσῃ [71] τῇ δόξῃ. Τί δέ ἐστι τὸ τὴν κτίσιν φεύγειν τὴν τοῦ ἀνθρώπου δεσποτείαν; λέγει γάρ· Τῇ ματαιότητι ἡ κτίσις οὐχ ἑκοῦσα [72] ὑπετάγη. Ποίᾳ ματαιότητι; ἀφ' οὗ ἂν ἐκπέσῃ ὁ ἄνθρωπος τοῦ Θεοῦ, ματαιότης καλεῖται. Ἄκουσαν ψάλλοντος τοῦ Δαβίδ· Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν. Πᾶς ἄνθρωπος μάταιός ἐστιν ὁ τὸν Θεὸν καταλιμπάνων καὶ τὰ μάταια μεταδιώκων.

Constituit Deus angelos secundum climata orbis universi custodes, ut quod et Moses dicit (19), singuli singulas gentes servent. Constituit vero, ut inanimatas creaturas frænent, solem, et lunam, et mare, et terram, et quæcunque in iis sunt, ad serviendum hominum usui. Rursum angeli angebantur servientes indignis, et pœnæ obnoxiis hominibus: præsertim videndo illos maximum honorem idolis, uni Deo debitum, 518 *a* exhibere. Protulit terra vinum, et aræ libationes accipiebant, alios fructus idolis consecrabant. Ideo angeli sunt indignati, videntes ea quæ non sunt, coli loco ejus qui est. Hinc et alia quæstio, quæ ad Prophetam relata est: *Venit ad illum*, inquit, *Angelus Gabriel, et dicit ei: Daniel, serve Dei, ex die primo quo posuisti cor tuum ad intelligendum, ut te afflingeres in conspectu Dei tui, exaudita sunt verba tua, et missus sum ut hæc tibi nuntiarem. Princeps autem regni Persarum restitit mihi, nisi Michael princeps gentis vestræ venisset in adjutorium meum*[b]. Dubitaverit enim aliquis, si Persiæ angelus præsidens a Deo ordinatus sit. Si vero et Gabriel a Deo missus est, ut populum Israel e captivitate educeret: quomodo ei Persarum princeps restiterit? Ea quæstio sic solvi potest. Mundus idololatria plenus fuit, angeli gentibus præfecti indignabantur et affligebantur. Daniel vero captivus cum suis contribulibus Babylonem ductus, Dei cognitionem prædicavit: similiter et tres pueri, quibus ignis tanquam suavis aura refrigerationi fuit. Ideo et multos ab idololatria ad pietatem traduxerunt. Angelus igitur Persarum lætatus est, videns in sua regione pro idolis Deum co-

B Ἔστησεν ὁ Θεὸς ἀγγέλους κατὰ τὰ κλίματα τῆς οἰκουμένης ἵνα ἕκαστον ἐπιτροπεύειν, ὡς καὶ Μωϋσῆς λέγει, ἑνὸς ἑκάστου ἔθνους· ἔστησε δὲ, ἵνα τὴν ἄψυχον κτίσιν χαλινώσωσιν, ἥλιον καὶ σελήνην καὶ θάλασσαν καὶ γῆν καὶ τὰ ἐν αὐτοῖς, ὑπηρετεῖν τῇ τοῦ ἀνθρώπου ἀπολαύσει. Πάλιν οἱ ἄγγελοι ἐτρύχοντο ὑπηρετούμενοι ἀναξίοις καὶ δίκης ἐνόχοις ἀνθρώποις, μάλιστα ὁρῶντες αὐτοὺς τὴν Δεσποτικὴν ἀξίαν τοῖς εἰδώλοις ἀνάπτοντας καὶ ἀνιεροῦντας. Ἔφερεν ἡ γῆ τὸν οἶνον, καὶ οἱ βωμοὶ τὰς σπονδὰς ἐδέχοντο, τοὺς ἄλλους καρποὺς καὶ τοῖς εἰδώλοις ἀνετίθεντο. Διὰ τοῦτο ἐδυσφόρουν οἱ ἄγγελοι, τὴ μὴ ὄντα ὁρῶντες ἀντὶ τοῦ ὄντος τιμώμενα. Ἐντεῦθεν [73] καὶ τὸ ἕτερον ζήτημα, τὸ εἰς τὸν προφήτην ἀναφερόμενον· Ἦλθε πρὸς αὐτὸν, φησὶν, ὁ ἄγγελος Γαβριὴλ, καὶ

C λέγει αὐτῷ· Δανιὴλ ὁ δοῦλος τοῦ Θεοῦ, ἀφ' ἧς ἡμέρας προέθου καρδίαν σου τοῦ ἐννοῆσαι καὶ συνιέναι, εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἀπεστάλην ἀπαγγεῖλαι σοι τὰ ῥήματα ταῦτα. Ἀλλ' ὁ ἄρχων τῆς βασιλείας Περσῶν ἀντέστη μοι, εἰ μὴ Μιχαὴλ ὁ ἄρχων τοῦ ἔθνους ὑμῶν [74] ἦλθεν εἰς βοήθειαν. Ἀπορήσειε γὰρ ἄν τις, εἰ ὁ τῆς Περσίδος ἐπιτροπεύων ἄγγελος παρὰ Θεοῦ ἐπιτροπεύειν τέτακται, ὡσαύτως δὲ [75] καὶ ὁ Γαβριὴλ ἀνακομίσαι τὸν Ἰσραὴλ τῆς αἰχμαλωσίας παρὰ Θεοῦ ἀπέσταλται, πῶς αὐτῷ τῶν Περσῶν ὁ ἄρχων ἀνθίστατο; λυθείη δ' ἂν τὸ διαπορούμενον ὧδε. Ὁ κόσμος εἰδωλολατρείας [76] ἐπεπλήρωτο, [1545 R] οἱ δὲ ἄγγελοι οἱ ἐφεστῶτες τῶν ἐθνῶν ἠγανάκτουν καὶ ἐβλίβοντο. Αἰχμάλωτος δὲ Δανιὴλ εἰς Βαβυλῶνα μετὰ τῶν

D ὁμοφύλων ἀπαχθεὶς τὴν θεογνωσίαν ἐκήρυττεν· ὡσαύτως καὶ οἱ τρεῖς παῖδες, οὓς τὸ πῦρ εἰς ἴλαρὰς

[a] Psal. xxxviii, 8. [b] Dan. x, 14 seqq.

VARIÆ LECTIONES

69 τῆς. 70 αὐτοῦ add. A. 71 συνανασταθήσω Ϛ. 72 ἑκοῦσα om. pr. A. 73 ἐντεῦθεν] ἐντεῦθεν λέγεται A. 74 ἡμῶν A. 75 δὲ om. A. 76 εἰδωλολατρίας Ϛ.

NOTÆ.

(19) Un LXX habent Deut. xxii, 8. Vulg. sic: Constituit terminos populorum, juxta numerum filiorum Israel.

Digitized by Google Распознавание текста ABK/FR

σῖρας τὴν καυστικὴν δύναμιν ἀμεῖψαν ἀνέψυχε. Διὸ καὶ πολλοὺς τῆς εἰδωλικῆς μεταστήσαντες πλάνης θεοσεβεῖν [845 H.] παρεσκεύασαν 77. Ὁ οὖν τῆς ἀρχῆς τῶν Περσῶν ἐφεστηκὼς ἄγγελος ἔχαιρεν ὁρῶν ἐν τοῖς αὐτοῦ μέρεσι τὸν Θεὸν ἀντὶ τῶν εἰδώλων λατρευόμενον. Τὸν Ναβουχοδονόσορ ἐώρα, ἀντὶ τοῦ καταναγκάζειν θύειν εἰδώλοις καὶ ἐσχάταις τοὺς μὴ πειθομένους ὑποβάλλειν τιμωρίαις, λαμπρῶς θεολογοῦντα καὶ λέγοντα 78· Σιδρὰχ, Μισὰχ 79 καὶ Ἀβδεναγὼ οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου καὶ πολλὰ τοιαῦτα. Ἐπεὶ οὖν ὁ μακάριος Δανιὴλ ἐδέετο τοῦ Θεοῦ, πληρωθέντων τῶν ἑβδομήκοντα ἐτῶν τῶν ἐπὶ τῇ αἰχμαλωσίᾳ διορισθέντων 80, ἀναγαγεῖν τῆς αἰχμαλωσίας τὸν Ἰσραὴλ, ἀπεστάλη δὲ Γαβριὴλ μηνῦσαι αὐτῷ τὴν ἀνάῤῥυσιν, ἀνθίσταται τῷ Γαβριὴλ ὁ τῆς Περσικῆς ἀρχῆς ἐπιστάτης, λυπούμενος ὅτι πάλιν ἡ γῆ ἧς ἐπεστάτει, τῶν διδασκάλων τῆς εὐσεβείας ἐκεῖθεν ἀνακομισθέντων, εἰς τὴν προτέραν ἐπαναστρέψει ἀσέβειαν καὶ πλάνην. Ἀνθίστατο δὲ οὐ μαχόμενος ἀλλὰ διναιολογούμενος, « Τίς ἡ σπουδὴ » λέγων « τῆς ἀνόδου ; τὴν οἰκείαν οἰκῶν πατρίδα ὁ Ἰσραὴλ καὶ εὐπαθῶν εἰς εἰδωλολατρείαν πολλάκις ἐξώλισθε· νῦν δὲ καθαρῶς εὐσεβεῖ, τὴν ἀλλοτρίαν παροικῶν, καὶ οὐκ εὐσεβεῖ μόνον, ἀλλὰ καὶ ὑπεραθλεῖ τῆς εὐσεβείας, πολλοὺς τῶν πεπλανημένων πρὸς τὸν ἀληθινὸν ἐπιστρέφουσι 81 Θεόν. Ὅτε οὖν καὶ τοῖς τὴν χάριν δεχομένοις οὐδὲν κατὰ ψυχὴν λυσιτελέστερον ἐπακολουθεῖ, καὶ τοὺς εὐσεβεῖν δι' αὐτοὺς ἀρξαμένους τὸ ἔσχατον κακὸν ἡ δυσσέβεια πάλιν ὑποχειρίους ποιεῖ, πόσον ἦν ἄμεινον καὶ τὸν Ἰσραὴλ τέως τῆς αἰχμαλωσίας μὴ ἀναγαγεῖν 82, καὶ τοὺς ἄρτι πρὸς τὸ φῶς ἀναβλέψαντας τῆς θεογνωσίας ἐν τῇ αὐτῇ συντηρεῖν εὐσεβείᾳ ; ἀπεστάλην, φῆς, τὸν λαὸν ἀποκαταστῆσαι τῇ πατρίδι. Ποίᾳ πατρίδι ; ἣν οἰκοῦντες ἐμίαινον κνίσσαις 83, δαίμοσι θύοντες, καὶ εἰδωλομανίαις. Οὐ ταῦτα κατηγορεῖ λέγων Ἱερεμίας· Κατὰ ἀριθμὸν τῶν πόλεών σου ἦσαν οἱ θεοί σου, Ἰούδα· καὶ κατὰ τὰ ἄμφοδα Ἱερουσαλὴμ ἔθυες τῷ Βάαλ ; μυρίοις τότε παρὰ θεοῦ περιεκλύζοντο ἀγαθοῖς, καὶ τῆς κακίας καὶ ἀσεβείας οὐκ ἀνεχώρουν· μυρία νῦν ὑπομένουσι κακά, καὶ τοῦ Θεοῦ οὐκ ἀφίστανται. Τί ποτ' οὖν ἔσται τὸ τῆς ἐπανόδου κέρδος ; ἦν τοίνυν ἡ ἀντίστασις οὐ κακοῦ πρὸς ἀγαθόν· οὐ γὰρ εἶπεν ἐμάχετο, ἀλλ' ἀνθίστατο. Καὶ γάρ ἐστι πολλάκις ἀντίστασις δικαίου πρὸς ἀγαθόν, ὡς ἀνθίστανται πολλάκις νόμῳ φιλανθρωπία καὶ φιλανθρωπίᾳ νόμος. Ὁ νόμος τὸν ἁμαρτήσαντα κολάζει· φιλανθρωπία πολλάκις βασιλέως τὸν ἁμαρτήσαντα ἐλεεῖ καὶ ἐξαρπάζει τῆς τιμωρίας. Ὧδε οὖν ἡ μάχη οὐκ ἐναντίου πρὸς ἐναντίον, ἀλλὰ συγγενοῦς πρὸς συγγενές· οὔτε γὰρ τὸ δίκαιον ἔξω ἀγαθότητος, οὔτε τὸ ἀγαθὸν ἔξω δικαιο-

li. Nabuchodonosorem non jam ad idolis immolandum cogere, neque ultimis suppliciis non parentes subjicere vidit: sed clare Deum prædicantem et dicentem: *Sidrach, Misach, et Abdenago servi sunt Dei altissimi* [c], taliaque multa. Cum igitur beatus Daniel peteret a Deo, impletis septuaginta annis captivitati præscriptis, ut e captivitate Israel educeretur, missus est Gabriel, qui Danieli liberationem significaret, restitit Gabrieli dolens angelus Persarum, quia iterum terra cui præerat, doctoribus pietatis hinc ablatis, ad pristinam impietatem et errorem reversura esset. Restitit igitur non pugnando, sed justa dicendo. Quæ reditus, inquit, festinatio ? propriam habitans patriam Israel, rebus secundis 518*b*, sæpius ad idololatriam conversus est : nunc vero pie vivit, regionem alienam inhabitans, et non modo pie vivit, sed etiam pro pietate pugnat, multosque errantes ad verum Deum convertit. Quando igitur et gratiam suscipientibus nihil secundum animam est utilius futurum, et qui pietatem per illos colere incœperant, in summum malum, qualis impietas est, iterum sunt lapsuri; quanto melius erit Israel e captivitate non reducere, et ad pietatem reversos in ipsa pietate conservare? Missus, inquis, sum ad restituendum populum in patriam: in quam patriam? quam inhabitantes fœdaverunt, dæmonibus sacrificantes, et idolis. Non hæc accusat Jeremias : *Secundum numerum civitatum tuarum erant dii tui, Juda, et* (20) *secundum numerum viarum tuarum, Jerusalem, posuisti aras confusionis ad libandum Baal* [d]. Infinitis tunc a Deo afficiebantur bonis, et a malitia impietateque non recesserunt. Multa nunc sustinent mala, et a Deo non recedunt. Quod igitur reditus erit emolumentum ? Erat igitur angeli contentio, non mali adversus bonum (non enim dixit Scriptura, pugnavit, sed, *restitit* Etenim sæpe resistit justus bono, ut sæpe legi clementia, et vicissim clementiæ lex. Lex peccantem castigat, clementia vero regis erga peccantem commiseratione sæpenumero movetur, et a pœnis liberat. Hic igitur pugna non adversarii contra adversarium, sed cognati contra cognatum, neque enim justitia extra bonitatem, neque bonitas absque justitia invenitur. Creatura, inquit, ut dictum est, moleste ferente et indignante, quod invita transgressori præbuit usum, et servivit, et angelis dolentibus ob hominum ingratitudinem, et toto mundo malis afflicto propter inobedientiam (*Viderat enim*, inquit, *Deus terram esse corruptum : omnis quippe caro corruperat viam suam* [e]), non erat creatura talis, qualem initio eam Deus crearat. Non erat stellis cœlum, ut antea, splendens sine ulla macula.

[c] Dan. II, 40. [d] Jerem. II, 28 et XI, 13. [e] Genes. VI, 12.

VARIÆ LECTIONES.

77 παρεσκοεύασαν ἐπ' αὐτῆς ὁ Ϛ. 78 καὶ λέγοντα om. A. 79 Σεδρὰχ Μισὰκ Ἀβδεναγὼ A. 80 δωρηθέντων A. 81 ἐπιστρέφουσι quidni ἐπιστρέφων ? 82 ἀνάγειν Ϛ. 83 κνίσαις Ϛ.

NOTÆ.

(20) Græce hic est : *in biviis Jerusalem sacrificabas Baal.*

Digitized by Google Распознавание текста ABK/FR

Non dabat terra, ut prius, fructus puros, nec mare, nec aliqua alia creatura. Prævaricator enim in eam ingressus, contaminavit ac fœdavit omnia, blasphemiis Deo invisis, turpibusque 510*a* vocibus, et cædibus, mare piratis et latronibus, fontes et fluvios idolis et nymphis statuisque complendo, omnes res conditas in deos homines formabant. Nihil autem sic creaturam maculat et adulterat, quam se in Deum confletur. Ideo Salvator mundi venit in illam per carnem, et eamdem ab infinitis illis maculis mundatam renovavit, et a longe difficilioribus morbis et affectionibus, quam corporea corruptione liberavit, renovat per primum adventum creaturam, ut discas eumdem esse, qui eam in principio creavit. Non enim alterius est creare, et alterius corruptam instaurare, sed ejusdem utrumque est sapientiæ et artis. Renovat creaturam priori adventu, ut credas secundo etiam adventu eam instauratum iri, et te ante illam renovatum in incorruptibilitatem, perturbationum vacuitatem, et ineffabilem pulchritudinem. Si enim quando volens in infirmitate carnis erat in sudoribus, in doloribus, quando seductor et Samaritanus vocabatur, creaturam ab his tantisque et maxime diuturnis morbis, et maculis mundavit, quando veniet judex vivorum et mortuorum, quando angelorum infinitis myriadibus stipatus, quando omnium Dominator et Dominus, quando omnia horrore concutientur et trement, quomodo mutatio corruptionis in incorruptibile, non videatur quam facillime consecutura, Deo digna?

Venit Salvator prædicentibus prophetis, ne quis putet, quo modo a primo proposito et auxilio aberrans, aliud arripuerit, eodem agendum esse Deo. Ne igitur quis hoc putet, longo ab hinc tempore prophetæ illius adventum prædixerunt, ut ostenderent Deum non meditando invenire commodum, sed a principio omnia prævidisse. Nam nos quidem homines meditamur, ac si priori conatu frustremur, ad alium accedimus. Deus vero non sic, sed dedit legem, prophetas, et post illa Evangelium, non tempore, quo esset utile, discens, verum ab initio videns, non aliter potuisse creaturam, et in ea hominem fieri, nec manu duci, neque incorruptionis dignitatem recipere, nisi eo modo, quo ineffabilis providentia et humanitas dispensavit.

A σύνης εὑρίσκεται. Ὅτι τῆς κτίσεως (φησὶν) ὡς προείρηται διακειμένης, καὶ ἀγανακτούσης ἐφ' ᾧ καὶ ἄκουσα τῷ παραβάτῃ παρεῖχε τὴν χρείαν καὶ ἐξυπηρέτει, καὶ ἀγγέλων ἀχθομένων ἐπὶ τῇ τοῦ εὐεργετουμένου ἀγνωμοσύνῃ, καὶ ὅλου κακωθέντος τοῦ [846 H.] κόσμου διὰ τὰς παρανομίας (καὶ γὰρ Εἶδε, φησὶν, ὁ Θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτῆς), [1548 R] οὐκ ἦν ἡ κτίσις οἵαν ὑπέστησεν αὐτὴν 84 ὁ Θεὸς ἀπ' ἀρχῆς· οὐκ ἦν τοῖς ἄστροις ὁ οὐρανὸς, ὡς τὸ πρὶν, ἄνευ τινὸς μιάσματος καταλαμπόμενος· οὐκ ἦν ἡ γῆ τοὺς καρποὺς ἀμολύντους, ὡς τὸ πρὶν, ἀναδιδοῦσα· οὐ θάλασσα, οὐκ ἄλλο τι τῶν ἐν τῇ κτίσει. Ὁ γὰρ παραβάτης εἰσελθὼν ἐν αὐτῇ κατεμίανε καὶ ἀνεθόλωσεν 85 ἅπαντα ταῖς βλασφημίαις, ταῖς Β θεομάχοις καὶ αἰσχραῖς φωναῖς, ταῖς μιαιφονίαις· τοῖς πειρατταῖς καὶ λῃσταῖς τὴν θάλατταν· τὰς πηγὰς καὶ ποταμοὺς ταῖς εἰδωλολατρείαις, νύμφαις καὶ δαίμοσιν ἀνάπτοντες αὐτά. Πᾶσα τοῖς ἀνθρώποις ἡ κτίσις εἰς θεοὺς ἀνεπλάττετο· οὐδὲν δὲ κτίσιν οὕτω μιαίνει καὶ κιβδηλεύει ὡς τὸ θεοποιεῖσθαι αὐτήν. Διὰ ταῦτα 86 εἰσῆλθεν ὁ Σωτὴρ τοῦ κόσμου διὰ σαρκὸς ἐν αὐτῇ, καὶ ταύτην τῶν μυρίων τούτων ἀπαλλάξας μιασμάτων ἀνεκαίνισε, πολὺ χαλεπωτέρων ἢ σωματικῆς διαφθορᾶς ἐλευθερώσας αὐτὴν κακώσεων καὶ παθῶν. Ἀνακαινίζει διὰ τῆς πρώτης παρουσίας τὴν κτίσιν, ἵνα μάθῃς ὅτι αὐτός ἐστιν ὁ καὶ ἀπ' ἀρχῆς αὐτὴν δημιουργήσας· οὐ γὰρ ἄλλου μὲν κτίζειν, ἄλλου δὲ διαφθαρεῖσαν ἀνακαινίζειν, ἀλλὰ τῆς αὐτῆς ἑκάτερον σοφίας καὶ τέχνης. C Ἀνακαινίζει τὴν κτίσιν κατὰ τὴν πρώτην ἐπιδημίαν, ἵνα μηδεμίᾳ σοι χώρᾳ καταλειφθῇ ἀπιστίας ὡς κατὰ τὴν δευτέραν παρουσίαν οὐ καινισθήσεται, καὶ σὺ πρὸ αὐτῆς εἰς ἀφθαρσίαν, εἰς ἀπάθειαν, εἰς ἄφατον καλλονήν. Εἰ γὰρ, ὅτε ἦν ἐκὼν ἐν ἀσθενείᾳ σαρκὸς, ἐν ἰδρῶσιν, ἐν πάθεσιν ὁ Χριστὸς, ὅτε πλάνος καὶ Σαμαρείτης ἐσυκοφαντεῖτο, τὴν κτίσιν ἐνάδρε τῶν τοσούτων, καὶ τηλικούτων καὶ πολυχρονιωτάτων παθῶν καὶ μιασμάτων, ὅταν ὡς κριτὴς ζώντων παραγένηται καὶ νεκρῶν, ὅταν μυριάσιν ἀγγέλων δορυφορούμενος τάγμασιν, ὅταν πάντων δεσπόζων καὶ Κύριος, ὅταν πάντα φρίσσῃ καὶ τρέμῃ, πῶς ἡ ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μεταβολὴ οὐ τὸ 87 ῥᾷστον ἔχουσα 88 καθορᾶται καὶ τὸ ἀκόλουθον καὶ θεοπρεπές;

Ὅτι παραγίνεται ὁ Σωτὴρ προκηρυττόντων τῶν προφητῶν, ἵνα μή τις νομίσῃ ὅτι καθ' ὃν τρόπον ἄνθρωπος τῆς προτέρας διαμαρτὼν ἐπιβολῆς καὶ βοηθείας ἐπὶ δευτέραν ἔρχεται, οὕτω καὶ ὁ Θεός. Ἵνα οὖν μή τις ὑπονοήσῃ τοῦτο, ἄνωθεν προέλεγον οἱ προφῆται τὴν παρουσίαν αὐτοῦ, ἵνα δείξωσιν ὅτι Θεὸς οὐ σκεπτόμενος εὑρίσκει τὸ συμφέρον, ἀλλ' ἀπ' ἀρχῆς προεῖδεν ἅπαντα. Ἡμεῖς μὲν γὰρ οἱ ἄνθρωποι σκεπτόμεθα, καὶ ἐὰν ἀποτύχωμεν τῆς πρώτης πείρας, ἐφ' ἑτέραν μεταβαίνομεν· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλ' ἔδωκε νόμον, προφήτας, καὶ μετὰ ταῦτα D τὸ Εὐαγγέλιον οὐ χρόνῳ τὸ συμφέρον μεταμαθών, ἀπ' ἀρχῆς δὲ εἰδὼς ὡς οὐχ οἷόν τε ἄλλως ἦν τὴν κτίσιν καὶ τὸν ἐν αὐτῇ ἄνθρωπον οὔτε γενέσθαι οὔτε παιδαγωγηθῆναι, οὔτε τὸ τῆς ἀφθαρσίας [347 H.] ἀξίωμα ἀναλαβεῖν, εἰ μὴ καθ' ὃν τρόπον ἡ ἄφατος πρόνοια καὶ φιλανθρωπία ᾠκονόμησεν.

VARIÆ LECTIONES.

84 αὐτὴν, αὐτοῖς pr. A. 85 ἀνεθόλωσεν A : ἀνεθάλωσεν Hœsch. et Genev. ἀπεπαλαίωσεν Roth. 86 διὰ ταῦτα om. A. 87 οὐ κατὰ τὸ ς. 88 ἔχουσα om. A.

Digitized by Google Распознавание текста ABK/FR

Ὅτι φασίν, « Εἰ προῆδει ἁμαρτῆσαι τὸν Ἀδὰμ A ὁ Θεὸς, τί καὶ προήγαγεν αὐτόν ; καὶ πολλαὶ μέν εἰσι καὶ πάγκαλοι τοῦδε τοῦ ἀπορήματος ἐπιλύσεις 89, » λέγει δ' οὖν καὶ ὁ θεόσοφος Ἰωάννης ὁ Χρυσόστομος ὅτι οὐ τοῦτο μόνον φημὶ ὅτι προῆδει, ἀλλ' ὅτι καὶ πεσόντα ἀναστήσει αὐτὸν διὰ τῆς οἰκονομίας. Καὶ οὐ πρῶτον εἶδε τὴν πτῶσιν, εἰ μὴ προεπενόησε τὴν ἀνάστασιν. Ἤδει ὅτι πεσεῖται, ἀλλὰ προεπίθετο τὸ 90 τῆς ἀναστάσεως φάρμακον· καὶ στενεχώρησεν εἰς πεῖραν ἐλθεῖν θανάτου τὸν ἄνθρωπον, [1549 R.] ἵνα μάθοι τίνος μὲν ἀπολαύει δι' ἑαυτὸν, τίνος δὲ τῇ τοῦ πλάσαντος χάριτι. Ἤδει πεσούμενον τὸν Ἀδὰμ· ἀλλ' ἔβλεπεν ἐξ αὐτοῦ προελευσόμενον τὸν Ἄβελ, τὸν Ἐνὼς, τὸν Ἐνὼχ, τὸν Νῶε, τὸν Ἠλίαν, τοὺς προφήτας, τοὺς θαυμαστοὺς ἀποστόλους, τὴν εὐγένειαν τῆς φύσεως, τὰ B θεοκίνητα τῶν μαρτύρων καὶ στάζοντα τὴν εὐσέβειαν νέφη. Ἔβλεπε ταῦτα, καὶ που ἦν καλὸν, ποῦ δὲ δίκαιον, που δὲ θεοπρεπὲς, [ἵνα] διότι ἔμελλεν εἷς ἄνθρωπος ἁμαρτάνειν, τοῦτον μὴ ἀγαγεῖν ἐκ μὴ ὄντων, καὶ τοσούτων ἀνδρῶν, ὧν οὐδὲ καθ' ἕνα ἄξιος ὁ κόσμος, φορὰν ἀνακόψαι, καὶ θερίσαι πρόῤῥιζον τὴν τοσαύτην τοῦ γένους βλάστησιν καὶ καλλονὴν, καὶ κατ' αὐτῆς ἐπαφιέναι τὴν ἐκτομὴν καὶ ὀργὴν, καὶ τότε τοῦ τὴν ἁμαρτίαν ὕστερον ἑλομένου οὔτε ἁμαρτόντος οὔτε ἁμαρτεῖν μεμελετηκότος, ἄτε μήπω μηδὲ ὑφεστῶτος ; εἰ γὰρ σωφρόνων ἐστὶν ἀνδρῶν τὸ μελετήσαντα μὲν ἁμαρτῆσαι μὴ ἁμαρτήσαντα δὲ μὴ εἰσπράττειν εὐθύνας ἁμαρτημάτων, ἦ που γε ἂν εἴη Θεοῦ τὸν μηδὲ μελετήσαντα ἐξαμαρτῆσαι τὰς τῶν ἡμαρτηκότων ἀπαιτεῖν δίκας, καὶ τότε C χαλεποῦ μὲν ὄντος τοῦ ἁμαρτήματος (πῶς γὰρ οὐ χαλεπὸν ἀθέτησις δεσποτικῆς ἐντολῆς ;) οὐκ ἀνιάτου δὲ ἐσομένου, τῇ ἀφάτῳ φιλανθρωπίᾳ τοῦ πλάσαντος καὶ τοῦ πρωτοπλάστου εἰς τὴν ἀρχαίαν ἐπανάγεσθαι μέλλοντος εὐγένειαν. Ὥστε εἰ μὴ προῆκτο, διότι ἔμελλεν ἁμαρτεῖν ὁ ἀρχέγονος, ἐδείκνυτο ἂν τὸ θεῖον τὸν μήπω ἁμαρτήσαντα κολάζον, καὶ τῆς ὕστερον ἀνακλήσεως καὶ σωτηρίας ἀποστεροῦν, καὶ τοσούτων ἀνδρῶν καλῶν τε καὶ ἀγαθῶν ἔρημον τὴν κτίσιν ἀποφαῖνον.

Ὅτι τοῦ θείου Παύλου εἰπόντος· Πρωτότοκος πάσης κτίσεως· οἱ αἱρετικοὶ, φησὶ, μὴ νοήσαντες περὶ ποίας κτίσεως λέγει, εἰς κτίσμα τὸν Υἱὸν οἱ ἀνόητοι καταβιβάζουσι. Διττὴ δὲ ἡ κτίσις· ἡ μὲν γάρ ἐστιν ἡ γεγενημένη, ἡ δὲ ἡ ἀνακαινιζομένη· αὐτὸς γὰρ πάλιν Παῦλος βοᾷ· Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις. Ἵνα δὲ λαμπρῶς 91 ἐπιδείξῃ ὅτι τῆς ἀνακαινισθείσης D κτίσεως λέγει πρωτότοκον τὸν Χριστὸν, ἐπάγει Πρωτότοκος ἐκ νεκρῶν, ἵνα γένηται ἐν πᾶσι πρωτεύων· πρωτεύων τῶν ἀνακαινιζομένων, τῶν εἰς ἀφθαρσίαν καλουμένων, τῶν ἐκ νεκρῶν ἐγειρομένων 92, [848 H.] πρωτεύων οὐ κατὰ τὴν θεότητα (ἄπαγε· ὕβρις γὰρ Θεῷ τὸ καλεῖσθαι πρῶτον τῶν κτισμάτων

519*b* « Si, inquit, Deus prævidit Adam peccaturum, quare eum produxit? Et multæ sunt, et perpulchræ hujus dubii solutiones. » Dicit itaque Chrysostomus : Non hoc solum aio, quod præscivit, sed etiam quod lapsum hominem per dispensationem reparaturus esset. Et non primo quidem scivit lapsum, nisi etiam præscivisset resurrectionem. Sciebat eum lapsurum, sed resurrectionem tanquam remedium præparavit, et permisit hominem usque ad periculum mortis pervenire, ut disceret, quid sua culpa consequatur, et quid per Creatoris gratiam. Scivit fore ut Adam caderet, sed vidit ex illo prodituram Abel, Enos, Enoch, Noe, Eliam, prophetas, admirandos apostolos, nobilitatem naturæ, vidit martyrum nubes, divinitus motas, pietatem distillare. Vidit hæc : et ubi erat honestas, ubi justitia, ubi dignum opus Deo? Propterea quod unus erat peccaturus, ideone ex nihilo illum producere non debuit? et tot hominum, quorum nec uno dignus erat mundus, fructum amputare, et demetere radicitus tantum germen generis humani et florem, et contra illud subornare iram ac falcem, præsertim cum post peccaturus, tum neque peccarit, neque peccare cogitarit, quippe nondum exsistens? Si enim prudentum virorum est non ab eo pœnas exigere, qui peccare quidem cogitarit, nondum tamen peccarit, quomodo Dei esset ab eo, qui ne meditatus quidem sit peccare, pœnas peccatorum exigere, præsertim cum grave quidem tunc esset peccatum (quomodo enim non grave relinquere Domini præceptum), non vero incurabile ineffabili Conditoris clementiæ, primum hominem ad pristinam revocaturi dignitatem? Itaque si non productus fuisset primus parens quod peccaturus erat, efficeretur Deum punire nondum peccantem, et posteriore vocatione et salute privare : et creaturam tot tantisque viris orbam ostendere.

Cum dicat beatus Paulus : *Primogenitus omnis creaturæ* [f], hæretici, inquit, non intelligentes de qua creatura loquatur, ad creaturam Filium ipsi insipientes referunt. Duplex enim est creatura, una quidem facta, altera renovata. Paulus namque iterum clamat : *Si qua in Christo nova creatura* [g]. Utque manifeste 520*a* ostendat se dicere Christum esse primogenitum creaturæ renovatæ, addit : *Primogenitus ex mortuis, ut sit in omnibus primus* [h] : primus renovatorum, ad incorruptionem vocatorum, ex mortuis resuscitatorum, et suscitandorum. Primus non secundum deitatem (apage! contumelia enim est in Deum, vocari illum primum

[f] Coloss. I, 15. [g] 1 Cor. V, 17. [h] Coloss. I, 18.

VARIÆ LECTIONES.

89 ἀπολύσεις A. 90 τὸ libris deest, 91 λαμπρὸν ς. 92 ἐγειρομένων καὶ περωμένων πρωτ. ς.

Digitized by Google Распознавание текста ABK/FR

creaturarum, qui ineffabili verbo, et incomprehensibili excellentia super omnes creaturas ascendit sedetque), sed primus est secundum humanitatem, princeps factus resurrectionis nostræ, et mutationis ex corruptione in incorruptionem. Si enim Elias filium viduæ excitavit, et Elisæus filium Sunamitidis, et Salvator quatriduum Lazarum excitavit; sed nemo eorum ad incorruptionem, et immortalitatem excitatus est. Iterum enim eos mors postea oppressit. Christus vero surgens e mortuis, non amplius moritur, nec mors amplius illi dominatur, sed neque illis quos in secundo suo adventu excitabit. O malam et dementem vestram opinionem! Venit Christus ad nos: dedit nobis Spiritum suum sanctum, et assumpsit corpus nostrum, et contractus præcessit, et induens nostram humanitatem exaltavit illam, et constituit illam in dextera Patris: et ingratitudo beneficium contumelia afficit. Accepit a nobis figmentum, et constituit illud in dextera Patris. Accepimus ab illo Spiritum, et injuriam facimus, in creaturarum et servorum ordinem illum redigentes.

Petitio quidem dicitur, quando Deum aliquis rogat, rei cujusdam gratia; precatio vero quando quis pro acceptis beneficiis gratias agit Deo. Intercessio vero, quando quis contra iniquos accedit ad Deum, vocans illum ad ultionem. Intercedere vero non est, inquit, supplicare, sed interrogare, et responsum accipere. Dicit Deus ad Eliam: *Quid tu hic, Elia?* respondet propheta interrogatus: *Zelo zelatus sum pro Domino exercituum, quia dereliquerunt partem Domini filii Israel* [i], etc. Non est hic petitio, sed interrogatio et responsio, et intercessio [vel interpellatio] fit ex utroque. Et unde id manifestum! Paulum dicentem audi: *An nescitis in Elia quid dicit Scriptura, quemadmodum interpellat Deum adversum Israel* [j]? Igitur ἐντυχία non est δέησις. Sed hæc Chrysostomus. Oportet vero adhuc subtilius differentias dictorum 820*b* nominum perpendere, et considerare, ut non solum satis idonea sint quæ plebi dicantur; sed et eorum, qui eas voces volent acrius excutere, reprehensionem et injuriam effugiant.

Ex oratione, quod antiqui et novi Testamenti unus sit legislator, et in vestes sacerdotum (Exodi XXVIII) *et de pœnitentia.*

Ait Paulus: *Non enim erubesco Evangelium, justitia enim Dei in eo revelatur* [k]. Quomodo igitur justitia Dei in illo revelatur? quomodo? cum prima lex Judæis solis data sit, licet alii homines ejusdem exsisterent naturæ et originis, Evangelium vero omnibus æqualiter gentibus, merito in illo justitia Dei revelatur, et justitiæ Evangelium

A ὃς ἀῤῥήτῳ λόγῳ καὶ ἀνεπινοήτῳ ὑπεροχῇ πάσης ὑπερήρτηται καὶ ὑπερίδρυται φύσεως), ἀλλὰ πρωτεύει κατά γε τὴν ἀνθρωπότητα, ἀρχηγὸς ἡμῶν γεγονὼς τῆς ἀναστάσεως καὶ τῆς ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μετακαταστοιχειώσεως. Εἰ γὰρ καὶ Ἠλίας τὸν υἱὸν τῆς χήρας ἤγειρε, καὶ Ἐλισσαῖος τὸν τῆς Σωμανίτιδος, καὶ αὐτὸς ὁ Σωτὴρ τεταρταῖον τὸν Λάζαρον ἐξανίστησεν [93], ἀλλ' οὐδεὶς αὐτῶν εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν ἐξανέστη· πάλιν γὰρ αὐτῶν ὁ θάνατος ἐκυρίευσε. Χριστὸς δὲ ἀναστὰς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Ἀλλ' οὐδὲ ἐκείνων, οὓς κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν ἀναστήσει. Ὦ κακῆς καὶ ἄφρονος ὑμῶν [94] γνώμης! ἦλθεν ὁ Χριστὸς πρὸς ἡμᾶς, ἔδωκεν ἡμῖν τὸ αὐτοῦ Πνεῦμα, καὶ ἀνέλαβε τὸ ἡμέτερον σῶμα, καὶ τὸ συνάλλαγμα προῆλθε, καὶ B λαβὼν ἡμῶν τὸ φύραμα ἀνύψωσεν αὐτὸ καὶ ἐνάθισεν ἐν δεξιᾷ τοῦ Πατρός· καὶ ἡ ἀγνωμοσύνη τὴν εὐεργεσίαν ὑβρίζει. Ἔλαβε παρ' ἡμῶν τὸ πλάσμα καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Πατρός· [1552 R.] ἐλάβομεν ἐξ αὐτοῦ τὸ Πνεῦμα, καὶ ὑβρίζομεν, ἐν κτίσματι καὶ δούλοις αὐτὸ [95] καταλέγοντες.

Ὅτι φησί, δέησις μὲν λέγεται, ὅταν τις τὸν Θεὸν ἀξιοῖ εἰς πρᾶγμα, προσευχὴ δὲ, ὅταν ὑμνῇ τὸν Θεὸν, εὐχαριστία δὲ, ὅταν τις ὑπὲρ ὧν ἔπαθε χάριν ἀνθομολογῇ τῷ Θεῷ, ἐντυχία δὲ, ὅταν τις κατὰ τῶν ἀδικούντων ἐντυγχάνῃ τῷ Θεῷ, προσκαλούμενος αὐτὸν εἰς ἐκδίκησιν. Ὅτι δὲ τὸ ἐντυγχάνειν οὐκ ἔστι (φησὶν) ἱκετεύειν ἀλλ' ἐρωτᾶν καὶ ἀπόκρισιν δέχεσθαι, λέγει ὁ Θεὸς πρὸς τὸν Ἠλίαν· Τί σὺ ἐνταῦθα Ἠλία; ἀποκρίνεται ἐρωτηθεὶς ὁ προφήτης· Ζηλῶν C ἐζήλωκα Κυρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπόν σε οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐξῆς. Καὶ οὐκ ἔστιν ἐνταῦθα δέησις, ἀλλ' ἐρώτησις καὶ ἀπόκρισις· καὶ γέγονε τὸ ἐξ ἀμφοῖν ἔντευξις. Καὶ πόθεν δῆλον; Παύλου λέγοντος ἄκουσον· Οὐκ ἀνέγνωσε ἐν Ἠλίᾳ τῷ προφήτῃ τί λέγει ἡ γραφή; ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραήλ. Οὐκοῦν ἡ ἐντυχία οὐκ ἔστι δέησις. Ἀλλὰ ταῦτα μὲν ὁ Χρυσόστομος. Δεῖ δ' οὖν ἔτι λεπτομερέστερον τὰς διαφορὰς τῶν εἰρημένων ὀνομάτων διασκέψασθαι καὶ ἐπιθεωρῆσαι, ὥστε μὴ τῷ πλήθει μόνον ἱκανὰ εἶναι λέγεσθαι, ἀλλὰ καὶ τοῖς δεινότερον διακωδωνίζειν ταῦτα βουλομένοις ἀνάλωτα καὶ ἀνεπηρέαστα διαμένειν.

Ἐκ τοῦ λόγου, ὅτι παλαιᾶς καὶ καινῆς [96] διαθήκης εἷς ὁ νομοθέτης· καὶ εἰς τὸ ἔνδυμα τοῦ ἱερέως· καὶ περὶ μετανοίας.

Ὅτι φησὶν ὁ Παῦλος, Οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον· δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται. Πῶς οὖν δικαιοσύνη Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται; πῶς; ἐπειδὴ ὁ πρῶτος νόμος Ἰουδαίοις μόνοις ἐδίδοτο, καὶ [849 H.] τῶν ἄλλων ἀνθρώπων τῆς αὐτῆς ὑπαρχόντων δημιουργίας καὶ φύσεως, τὸ δὲ Εὐαγγέλιον πᾶσιν ὁμοτίμως τοῖς

[i] III Reg. XIX, 10. [j] Rom. XI, 3. [k] Rom. I, 16, 17.

VARIÆ LECTIONES.

93 συνεξανέστησεν A. 94 ἡμῶν A. 95 αὐτὸ imo αὐτόν. 96 καὶ καινῆς add. A., al. om.

Digitized by Google Распознавание текста ABK/FR

ὁμοφυέσιν, εἰκότως ἐν αὐτῷ δικαιοσύνη Θεοῦ ἀποκαλύπτεται, καὶ καλεῖται δικαιοσύνης Εὐαγγέλιον. Ἐν τοίνυν τῇ παλαιᾷ διαθήκῃ οὐκ ἦν ἡ κλῆσις δικαία· οὐ γὰρ ὁμοίως πάντας ἐκάλει καὶ ἐφώτιζε, τοὺς Ἰουδαίους δὲ μόνους. Οὐκ ἦν οὖν δικαία ἀλλ' οἰκονομική, προπαρασκευάζουσα ὁδὸν τῇ δικαιοσύνῃ. Οὐ λέγω τοίνυν τὴν δικαίαν κἀκείνην ἀδικον, ἀλλ' ἐκείνην ὁδὸν ταύτης καὶ προκατασκευὴν ταύτης. Ἐπελάμβανον οἱ Ἰουδαῖοι ὅτι καὶ τὸ Εὐαγγέλιον αὐτοῖς δοθήσεται μόνοις [97], ὥσπερ καὶ ὁ νόμος· ἐξέβη δὲ παρ' ἐλπίδας ἡ προσδοκία. Διὸ καὶ Δαβὶδ λέγει· Ἐπελαβόμεθα, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου, εἶτα· Κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτω καὶ ἡ αἴνεσίς σου, οὐχὶ ἐν μέσῳ τοῦ λαοῦ σου μόνον, ἀλλ' ἐπὶ τὰ πέρατα τῆς γῆς. Καὶ ἵνα δείξῃ ὅτι τὸ ἐλεῆσαι τὰ πέρατα τῆς γῆς δικαιοσύνης ἐστίν, ἐπάγει· Δικαιοσύνης πλήρης ἡ δεξιά σου.

A vocatur. In veteri igitur Testamento non erat vocatio justa, non enim similiter omnes vocabat et illuminabat, sed solos Judæos. Non erat igitur justa, sed dispensatio præparans viam justitiæ. Non dico hanc justam, illam vero injustam, sed illam viam hujus et præparationem. Putabant Judæi sibi solis etiam Evangelium datum iri, quemadmodum legem; sed exspectatio præter spem evenit. Ideo et David dicit: *Suscepimus, Domine, misericordias in medio populi tui:* deinde: *Secundum nomen tuum, Deus, sic et laus tua,* non solum in medio populi tui, sed etiam *in fines terræ,* et ut ostendat quod misereri finium terræ justitiæ sit, addit: *Justitia plena est dextera tua* [l].

Ὁ Κύριος, φησίν, [98] ἐβασίλευσε. Πῶς, ὁ Κύριος ἐβασίλευσεν; ἆρ' ὡς πρόσφατον λαβὼν τὸ τῆς βασιλείας ἀξίωμα; εἰ μὲν γὰρ εἶπεν Ὁ Κύριος βασιλεύει, τὴν ἀΐδιον αὐτοῦ ἡρμήνευεν [99] ἐξουσίαν· εἰπὼν δὲ ἐβασίλευσε τὴν διὰ σαρκὸς αὐτοῦ οἰκονομίαν λέγει, δι' ἧς ἡ φύσις ἡμῶν τὴν ἐπικράτειαν τοῦ διαβόλου, τῆς ἁμαρτίας, τοῦ θανάτου ἀποσεισαμένη, ἐπέγνω πλάστην τὸν ὡς ἀληθῶς βασιλέα, τὸν χορηγὸν τῆς ἀφθαρσίας, τῆς ἀναστάσεως, Εὐαγγελίζεται τοίνυν ὁ Δαβὶδ τοὺς ὑπὸ τῆς ἁμαρτίας, ὑπὸ τοῦ θανάτου, ὑπὸ τοῦ διαβόλου πάλαι βασιλευομένους, [1553 R.] ὅτι ὁ ζυγὸς ἐκεῖνος συντέτριπται, τὸ κράτος λέλυται, καὶ βασιλεύει πάντων ὁ Κύριος. Ὡς καὶ αὐτὸς μετὰ τὴν ἀνάστασιν ἔφη· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πρὶν δὲ ἐβασίλευεν ἡμῶν ὁ θάνατος καὶ ἡ ἁμαρτία· ἐβασίλευσε γὰρ ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως καὶ ἐξῆς, καὶ ὁ Σωτὴρ περὶ τοῦ διαβόλου· Καὶ εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, ἐμερίσθη ἡ βασιλεία αὐτοῦ. Ὥστε ἐβασίλευε [1] πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ τοῦ γένους ἡμῶν ὁ Σατανᾶς. Ἀλλὰ καὶ ἡ ἁμαρτία. Λέγει γὰρ Πάλιν ὁ [2] Παῦλος· Ὥσπερ γὰρ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι, οὕτω καὶ ἡ χάρις βασιλεύσει διὰ Χριστοῦ. Ὁ Κύριος ἐβασίλευσε· πέπυσται τῆς ἁμαρτίας τὸ ἄρτος, τοῦ θανάτου, τοῦ διαβόλου. Οὐκοῦν· Ἀγαλλιάσθω ἡ γῆ, ἡ φύσις ἡ γηγενής, ἡ ποτὲ πλανωμένη, νῦν δὲ δοξαζομένη, ἡ ποτὲ ἐν τάφοις, νῦν [δὲ] ἐν θρόνοις.

B *Dominus regnavit,* inquit [m]: Quomodo *Dominus regnavit?* an quasi novam capiens dignitatem regni? nam si dixisset, *Dominus regnat,* æternam Domini potestatem ostendisset: dicens vero: *regnavit,* dispensationem per carnem dicit per quam natura nostra jugo diaboli, peccati, mortis excusso, creatorem cognovit, ut verum regem, largitorem incorruptionis, resurrectionis. Nuntium igitur lætum affert David iis, qui a peccato, morte, diabolo olim regebantur, quod jugum illud contritum, imperium solutum sit, et omnibus Dominus dominetur, ut ipse quoque post resurrectionem dixit: *Data est mihi omnis potestas in cœlo et in terra* [n], prius vero dominata est nobis mors 521*a*, et peccatum. *Regnavit* enim *mors ab Adam usque ad Moysen* [o], et cætera. Et Dominus de diabolo: *Si Satanas Satanam ejicial, divisum est regnum ejus* [p]. Itaque regnavit ante adventum Christi super genus humanum diabolus, imo et peccatum. Dicit enim iterum Paulus: *Quemadmodum regnavit peccatum in mortali nostro corpore, sic et gratia regnabit per Christum* [q]. *Dominus regnavit* (finita est victoria diaboli, peccati, et mortis), *exsultet* igitur *terra* [r]: natura terrigena, olim errans, nunc vero gloriosa, olim in sepulcris, nunc in thronis.

C

Ὅτι φησίν, οἰκονομίας ἦν τὰ πλεῖστα τῶν ἐν τῇ παλαιᾷ, ἀλλ' οὐκ ἀρεσκείας Θεοῦ καὶ προηγουμένης εὐδοκίας, καὶ τύποι τῶν μελλόντων καὶ σκιαί, ἀλλ' οὐκ αὐτὰ τὰ πράγματα. Καὶ ἔστιν ἰδεῖν ἐπ' αὐτῶν ἄλλα μὲν τὰ σχήματα, ἄλλα δὲ τὰ νοήματα. Οἷον οὐ πάντως Θεὸς ἀναπαύεται ὑακίνθῳ [850 H.] καὶ πορφύρᾳ καὶ κόκκῳ καὶ βύσσῳ (Θεὸς γὰρ ψυχῶν ἀπαιτεῖ καθαρότητα, οὐ σωμάτων ἄνθη καὶ λαμπρότητας [3]), ἀλλ' ἐν ταῖς σωματικαῖς φαιδρότησι τὴν εἰκόνα τῶν ἀρετῶν διαγράφει. Εἰ γὰρ ταῖς στολαῖς ἐκείναις ὡς ἀληθῶς ἀναπαύετο, πῶς τὸν Μωϋσῆν πρὸ τοῦ Ἀαρὼν οὐκ ἐνέδυσεν, ἀλλ' ἦν ἐκεῖνος οὐκ ἐνεδύ-

D Dispensationis erant plurima in veteri Testamento, non autem satis Deo placebant, rerum futurarum figuræ, et umbræ, sed non res ipsæ, et est videre in illis alias quidem figuras, alias vero notiones. Veluti non omnino placent Deo hyacinthus, purpura, et coccus, et byssus (Deus enim requirit animarum puritatem, non corporis florem aut nitorem). Sed corporea elegantia imaginem virtutum depingit. Si enim vere stolis illis acquiescebat, quomodo Mosen ante Aaron non induit, sed qua ipse non vestiebatur, illam sacerdotibus attribuit? et Moses quidem aqua

[l] Psal. XLVII, 10, 11. [m] Psal. XCIX, 1; XCVI, 1. [n] Matth. XXVIII, 18. [o] Rom. V, 14. [p] Matth. XII, 26. [q] Rom. V, 21. [r] Psal. XCVI, 1.

VARIÆ LECTIONES.

97 μόνοις] καὶ μόνοις A. 98 φησίν om. A. 99 ἡρμήνευσεν Ϛ. 1 ἐβασίλευσε Ϛ. 2 ὁ add. A. 3 λαμπρότητα A.

Digitized by Google Распознавание текста ABKAFR

ablutus non est, sed lavit. Quam ob rem, ut discas, non hæc Deo potiora esse, et perfecto ad sui ornatum sufficere virtutem, et hæc fuisse typum virtutis, non ipsam virtutem.

In capite, inquit, ferebat pontifex tiaram, quia caput omnibus designatum oportuit capite habere potestatem, et scire, quod creatus caput aliorum, et ipse sub capite sit communi omnium Domino et principe. Absoluta enim auctoritas, nec cujusquam subjecta imperio, intolerabilis est et difficilis. Ideo in lege gratiæ, qui pontifices maximi sunt, Evangelium in capite recipiunt, ut electus intelligat, quod veram Evangelii tiaram accipiat, et tametsi aliorum caput constituatur, legibus tamen iisdem subjiciatur, et aliis imperanti lex imperet. Sed tiara potestatem designabat, quam ipse in populum habebat, et qua ille Deo tenebatur. Aurea vero bractea, in qua Dei nomen exaratum erat, 521*b* in pectore erat, custodiam designans cogitationum cordis, et quod oporteat has aptare ad Dei nutum et referre. In humeris erant smaragdi duo, quorum alter hinc sex tribus, totidem alter continebat. Erant autem typus aspectus sacerdotalis : habet enim smaragdus et viriditatem egregiam, et claram puritatem, instar speculi radians. Etenim oportet sacerdotem et pia exercitatione sobrium esse, et vitam subditis suam tanquam speculum virtutum ostendere. Erat vero in humeris, quod actionum signum est, smaragdus. Actionis enim potentia ab humeris dependet. Ideo et Deus ad Jerusalem loquitur : *Dirige cor tuum in viam rectam, in qua ambulasti, filia vaga, quia creavit Dominus novum super terram* [s]. Etenim manus et humeros ad actionem Scriptura accommodat, ut quando de Davide loquitur : *Et in intellectibus manuum suarum deduxit eos* [t]. Inerant vero logio in pectore duodecim etiam lapides impositi, qui duodecim tribus significabant. Et vide, supra quidem, et in humeris una erat natura lapidum smaragdus, infra vero et in pectore duodecim. Quo significatur : antea quidem ab una omnes prodiisse natura : progressu vero temporis, diversis opinionibus divisos esse, et hoc quidem tribuit opinioni, illud vero naturæ. Infra vero in fimbria sacerdotis quæ dicitur ora, aurea mala, et punica, et campanulæ dependebant [u]. Et quomodo, hæc, prima ratione Deo ut diximus, placerent? Sed in vestitu et habitu sacerdotis virtutes effinxit, infra flores et fructus, virtutum opera, cujusmodi sunt eleemosyna, justitia et humanitas, et chorus reliquarum ipsis affinium.

σατο, ταύτην τοὺς ἱερέας ἡμφίασε ; καὶ Μωϋσῆς μὲν οὐκ ἐλούσθη ὕδατι, καὶ ἔλουε. Διὰ τί ; Ἵνα μάθῃς ὅτι οὐκ ἦν ταῦτα προηγούμενα τῷ Θεῷ, ὅτι τῷ τελείῳ πρὸς κόσμον ἀρκεῖ ἡ ἀρετὴ, καὶ ὅτι ταῦτα τύπος ἦν τῆς ἀρετῆς, ἀλλ' οὐκ ἀρετή.

Ὅτι ἐπὶ τῆς κεφαλῆς, φησὶν, ἔφερεν ὁ ἀρχιερεὺς τιάραν, διότι τὸν προχειριζόμενον ἀπάντων κεφαλὴν κατὰ τῆς 4 κεφαλῆς ἔχειν τὴν ἐξουσίαν ἔδει, καὶ εἰδέναι ὅτι κεφαλὴν τῶν ἄλλων προβαλλόμενος καὶ αὐτὸς ὑπὸ κεφαλὴν ἐστι τὸν κοινὸν ἁπάντων Δεσπότην καὶ ἐξουσιαστήν· ἀπολελυμένη γὰρ αὐθέντεια καὶ αὐτόνομος ἀφόρητός ἐστι καὶ χαλεπή. Διὰ τοῦτο καὶ ἐν τῇ χάριτι οἱ ἀρχιερατεύειν τελούμενοι τὸ Εὐαγγέλιον ἐπὶ κεφαλῆς δέχονται, ἵνα μάθῃ ὁ χειροτονούμενος ὅτι τὴν ἀληθινὴν τοῦ Εὐαγγελίου τιάραν λαμβάνει, καὶ ὅτι εἰ καὶ τῶν ἄλλων ἱερουργεῖτσι κεφαλὴ, ἀλλ' οὖν καὶ αὐτὸς ὑπὸ τούτους τελεῖ τοὺς νόμους, καὶ τῶν ἄλλων κρατῶν τῷ νόμῳ κρατεῖται. Ἀλλ' ἡ μὲν τιάρα τὴν ἐξουσίαν ἐτύπου, ἣν τε αὐτὸς εἶχε τοῦ λαοῦ καὶ ὑφ' ἣν αὐτὸς ἀνεφέρετο τοῦ Θεοῦ. Τὸ δὲ πέταλον τὸ χρυσοῦν, ἐν ᾧ τὸ ὄνομα ἐκεκόλαπτο τοῦ Θεοῦ, ἐπέκειτο μὲν τῷ στήθει, φυλακῆς δ' ἐπεῖχε τύπον τῶν ἐν καρδίᾳ κινημάτων, καὶ ὡς δεῖ ταῦτα καταῤῥυθμίζειν 5 τῇ πρὸς τὸ Θεῖον νεύσει καὶ ἀναφορᾷ. Ἐπὶ δὲ τῶν ὤμων σμαράγδου λίθοι δύο, ἔχοντες τὰς ἐξ φυλὰς ἐντεῦθεν καὶ τὰς ἐξ ἐντεῦθεν· Οὗτοι δὲ σύμβολον ἦσαν τῆς ὄψεως τῆς ἀρχιερατικῆς. Ἔχει γὰρ ἡ τοῦ σμαράγδου ψῆφος καὶ χλωρότητα εὐπρεπῆ καὶ καθαρότητα διαυγῆ, κατόπτρου δύναμιν ὑποφαίνουσα· καὶ γὰρ δεῖ τὸν ἱερέα καὶ ἀσκήσει νήφειν καὶ τὸν βίον τοῖς ὑπ' αὐτὸν ὥσπερ κάτοπτρον παρέχειν. Ἐπὶ τῶν ὤμων δὲ ἡ σμάραγδος, ἐπειδὴ πράξεώς ἐστι σημεῖον· ἡ γὰρ πρακτικὴ δύναμις τῶν ὤμων ἤρτηται. [1556 R.] Διὸ καὶ ὁ Θεὸς πρὸς τὴν Ἱερουσαλὴμ λέγει· Θὲς τὴν καρδίαν σου ἐπὶ τῶν ὤμων σου, θύγατερ ἠτιαωμένη, ὅτι Κύριος κτίζει σε εἰς σωτηρίαν. Καὶ γὰρ τὰς χεῖρας καὶ τοὺς ὤμους εἰς πράξεις ἡ γραφὴ λαμβάνει, ὡς ὅταν λέγῃ 6 περὶ τοῦ Δαυίδ· Καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς. Ἐνῆσαν δὲ τῷ λογείῳ τῷ ἐπὶ τοῦ στήθους καὶ οἱ δώδεκα λίθοι ἐνηρμοσμένοι, τὰς δώδεκα φυλὰς ὑποδηλοῦντες. Καὶ ὅρα, ἄνω μὲν καὶ ἐπὶ τῶν ὤμων μία ἦν φύσις τῶν λίθων ὁ σμάραγδος, κάτω δὲ καὶ ἐπὶ τοῦ στήθους οἱ δώδεκα, αἰνιττομένου τοῦ λόγου ὅτι ἄνωθεν μὲν 7 ἅπαντες ἐκ μιᾶς 8 προήλθομεν φύσεως, προϊόντος δὲ τοῦ χρόνου διαφόροις γνώμαις ἐμερίσθημεν· καὶ τὸ μὲν δίδωσι τῇ γνώμῃ, τὸ [851 H.] δὲ τῇ φύσει. Ὑπὸ δὲ τὸ κράσπεδον τοῦ ἱερέως, τὸ λεγόμενον λῶμα, ἄνθη, ῥόαι καὶ ῥοΐσκοι χρυσοῖ καὶ κώδωνες ἀπηώρηντο.

Καὶ πῶς ἂν εἴη Θεῷ ταῦτα κατὰ πρῶτον λόγον ἀρέσκοντα ; ἀλλ' ἐν τῷ σχήματι τοῦ ἱερέως ἐφηκεν ἐξεικονίζεσθαι τὰς ἀρετάς. Κάτω ἄνθη καὶ καρποὶ τὰ τῶν ἀρετῶν κατορθώματα, ἅτινά ἐστιν ἐλεημοσύνη καὶ δικαιοσύνη καὶ φιλανθρωπία καὶ τῶν ἄλλων ὁ σύστοιχος αὐταῖς 9 χορός.

[s] Jerem. XXXI, 22. [t] Psal. LXXVII, 72. [u] Exod. XXVIII, 14 seqq.

VARIÆ LECTIONES.

4 κατὰ τῆς A καὶ κατὰ ς. 5 ταῦτα καὶ καταῤῥ. ς. 6 λέγει ς. 7 μὲν om. A. 8 ἐκ μιᾶς ἅπαντες ς. 9 αὐταῖς om. A.

Digitized by Google Распознавание текста ABK/FR

Ὅτι φησί, μὴ μετάβαλλε [10] ῥήματα Θεοῦ ζῶντος. Εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ἐβαπτίσθης· τί ἀναιρεῖς τὰ ὀνόματα τὰ ζῶντα, καὶ εἰσάγεις ὀνόματα λογισμῶν, γέννημα λέγων καὶ ἀγέννητον καὶ γεννητόν, ὃν ἀεὶ καὶ μὴ ὃν ἀεί; Τούτων ἀνέχεται Θεὸς τῶν ματαίων ῥημάτων; Ἓν ῥῆμα ἵνα μεταβάλῃ, προφήτης ποτὲ ἐκινδύνευσεν ἀπολέσθαι. Καὶ βλέπε ῥήματος μικροῦ ἀκριβολογίαν. Τὰ ῥήματα τῶν προφητῶν τινες ἐκάλουν ὑπὸ ἀπειρίας λῆμμα Κυρίου. λέγει ὁ Θεὸς διὰ Ἡσαΐου· Ἐὰν ἐρωτήσῃ σε ὁ λαὸς ἢ ὁ ἱερεὺς ἢ ὁ προφήτης, καὶ εἴπῃ σοι· Τί τὸ λῆμμα; εἰπὲ αὐτοῖς ὅτι τὸ λῆμμα Κυρίου ὑμεῖς ἐστέ. Ἀλήψομαι γὰρ ὑμᾶς [λῆμμα [11]] καὶ ῥίξω ὑμᾶς, ἵνα μὴ λέγητε λῆμμα. Ἓν ῥῆμα ἵνα μὴ μεταποιηθῇ, ἀπειλεῖ ὁ Θεός· καὶ σὺ ὁλόκληρον δογμάτων ἀκρίβειαν διαστρέφων νομίζεις διαφυγεῖν τὰς τοῦ Θεοῦ χεῖρας;

A *Non mutabis verba Dei vivi*[v]. In Patrem et Filium et Spiritum sanctum baptizatus es, quid tollis nomina viva, et introducis nomina cogitationum tuarum, dicens: ingenitum, genitum, semper exsistens, et non semper existens? Deusne hæc inania verba toleret? Unum verbum ut mutaret, propheta olim de vita periclitatus est. Et vide emphasim exigui verbi. Verba prophetarum vocarunt quidam per ignorantiam *Domini onus*. Dicit Dominus per Isaiam: *Si igitur interrogaverit te populus iste, vel propheta aut sacerdos dicens: Quod est onus Domini? dices ad eos: Quia vos Domini onus estis. Projiciam quippe vos, et relinquam, ne dicatis onus* [x]. Unum verbum ne mutetur, minatur Deus: et tu totam doctrinam commutans, putas te manus Domini effugiturum?

Ἐκ τοῦ εἰς τὸ «Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται.»

B *Ejusdem in illud*: «*Sufficit tibi gratia mea, virtus enim in infirmitate perficitur* [y].»

Ὅτι ἦλθε (φησὶ [12]) παρὰ τοῦ Πατρὸς ὁ Χριστὸς πρὸς τοὺς ἀνθρώπους πρεσβευτής· ἐσφάγη ὁ πρεσβευτής· καὶ τότε γέγονεν ἡ εἰρήνη. Ἀλλ' οἱ πρέσβεις ἐρχόμενοι καὶ δῶρα φέρουσι καὶ δῶρα λαμβάνουσι. Ποῖον οὖν ἦκε φέρων δῶρον, καὶ ποῖον ἀπῆλθε; παρέδωξον τὸ δῶρον, ὡς καὶ ὁ πρεσβευτὴς παράδοξος. Τὸ αἷμα αὐτοῦ φέρων ἦλθε δῶρον, τὸ σῶμα αὐτοῦ φέρων ἦλθε δῶρον. Καὶ τί παρ' ἐμοῦ ἔλαβε δῶρον; πίστιν. Καὶ τί ἀντ' αὐτῆς μοι παρέσχε; χάριν. Ἐπίστευσα ἐγὼ, ἐχαρίσατο ἐκεῖνος, ἐλύθη ἡ ἔχθρα. Ὁ πρεσβευτὴς ὅταν ἔλθῃ πρὸς ἔθνος, οὐκ ἀξιοῖ τινὶ τῶν ἀγοραίων ἢ πενήτων διαλεχθῆναι, ἀλλ' εὐθὺς τῷ βασιλεῖ πρόσεισιν. Οὗτος δὲ ὁ πρεσβευτὴς ἦλθε, καὶ εὐθέως πόρνῃ καὶ ληστῇ καὶ τελώνῃ καὶ μάγοις διειλέχθη. Εἶδες πρεσβευτοῦ φιλανθρωπίαν; οὐ γὰρ πρὸς ἕνα καὶ δεύτερον ἦλθεν, ἀλλὰ πρὸς τὴν κοινὴν φύσιν· καὶ ἦλθε τὸ ἐμὸν περιβεβλημένος ἱμάτιον, ἵνα μὴ γυμνῇ τῇ θεότητι παραγενόμενος φοβήσῃ τὴν θήραν.

C Venit a patre Christus ad homines legatus [mactatus est] et tunc pacem fecit. Sed legati venientes, et dona ferunt, et dona accipiunt. Quod igitur donum tulit, et quod accepit? Novum donum; quia et novus legatus. Tulit nobis donum corpus et sanguinem suum: et quid a me accepit? Fidem. Et quid pro illa mihi dedit? Gratiam. Credidi ego, ille gratiam dedit, soluta est [ira, et] odium. Cum venit legatus ad aliquam gentem, non dignatur cum aliquo paupere aut plebeio loqui, sed statim ad regem accedit. Hic vero legatus cum venit, statim cum meretrice, latrone, telonario, et magis locutus est. Vides legati benignitatem? Non enim ad unum et alterum venit, sed ad communem naturam, et venit carne mea indutus, ne pura divinitate accedens bestiam terreat.

Ἐκ τοῦ [13] εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου, «Εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα.»

Ex eadem homilia in dictum Apostoli: «*Si qua ergo in Christo nova creatura: vetera transierunt, ecce facta sunt omnia nova* [z].»

Ὅτι φασὶν οἱ ἑλληνισταὶ καὶ τὸ Ἰουδαΐζον, Τί κομπάζει Παῦλος λέγων· Τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ [1557 R] γέγονε καινὰ τὰ πάντα· εἴ τις ἐν Χριστῷ, [852 H.] καινὴ κτίσις. Ἐγὼ γὰρ, φησὶ, καινὸν οὐδὲν βλέπω. Οὐ γὰρ ἔχεις ὀφθαλμοὺς, ἵνα ἴδῃς ταῦτα. Δεῦρο, καὶ ποιήσω σοι ὀφθαλμούς. Καὶ ὁρᾷς, καὶ σὺ ποιεῖς ὀφθαλμούς; ναί. Καὶ Δημιουργὸς εἶ; καὶ πάνυ. Σὺ ἀπονενόησαι; οὐχί. Οὐκοῦν ποίησον ὀφθαλμοὺς τοῦ σώματος; οὐκ, ἀλλὰ τὸ μεῖζον, τῆς διανοίας. Καὶ ποιεῖς μοι ὀφθαλμούς; μάλιστα. Οὐ γὰρ ἔχω; οὐχί. Σὺ δὲ ἔχεις; ναί. Πῶς; εἰπέ μοι. Ὅταν ἀπέλθῃς εἰς ναὸν, καὶ ἴδῃς ἐκεῖ ξόανον γυμνὸν, λίθον ἄφωνον, καὶ εἴπῃς οὗτος ὁ Θεός ἐστιν, ἆρα ὀφθαλμοὺς ἔχεις; μὴ γὰρ ὄφελός τι τῶν ἔξωθεν ὀφθαλμῶν, τῶν

D Judæi et gentes dicunt: Quid gloriatur Paulus dicens: *Vetera transierunt, ecce facta sunt omnia nova. Si qua in Christo nova creatura.* Ego vero, inquit, nihil novum video. Non enim habes oculos ut videas hæc. Accede huc, et faciam tibi oculos. Et vides, et tu facis oculos? Ita. Et creator es? omnino. Tunc demens es? nequaquam. Igitur facies oculos corporis? nequaquam, sed majus aliquid, oculos mentis. Et facis mihi oculos? Ita. Non enim habeo? Nequaquam. Tu vero habes! Ita. Quomodo? dic mihi. Cum veneris in templum, nudamque ibi statuam videris, lapidem mutum, et dixeris, ille Deus est, an oculos habes? Non enim utilitas aliqua oculorum externorum, si in-

[v] Deut. IV, 2. [x] Imo, Jerem. XXIII, 33, 34. [y] II Cor. XII, 9. [z] II Cor. V, 17.

VARIÆ LECTIONES.

[10] μετάβαλλε Ϛ. [11] λῆμμα om. A. [12] φησὶ vulgo post πατρὸς ponunt. [13] ἐκ τοῦ αὐτοῦ εἰς Ϛ.

Digitized by Google Распознавание текста ABK/FR

terni caligant. Vides opus esse, ut faciam tibi oculos, ut videas lapidem esse lapidem, et lignum esse lignum. Oculosne habes quando vides lignum, et adoras? Atqui ego si accipiens comburam, num habes 522*b* oculos, id deum, quod exustum est, vocans? Quando affectus et (21) perturbationes deos esse dicis, oculosne habes? Ebrius est homo, et circumagitur, et irridetur, et ex homine fit bestia. Tu vero dicis: Ebrietas deus Bacchus est. Furtum deus Mercurius. Videsne indigere te oculis? Lex affectus punit, et hos te deos facere non vides? Si autem vis, attende, quomodo facta sint omnia nova. Dicitur in Scriptura creatio non solum e nihilo in aliquid productio, sed etiam ex aliquo in melius immutatio. Creavit Deus cœlum, hoc est, e nihilo fecit. Creat et quando malum hominem bonum reddit. Hic vero creatio est rerum mutatio in melius. Et audi Davidem dicentem. Cum enim erat ipse, et cor ejus creatum, sordibus vero adulterii et cædis maculatum est, et ad corruptionem ferebatur, provocat Deum dicens: *Cor mundum crea in me, Deus*[a]. Non quod prius cor non habuerit, nec de cordis substantia loquitur, sed de meliori ejus conditione. Ecce igitur creatio dicitur, non solum eorum quæ e nihilo producta sunt, sed etiam corruptæ naturæ in melius mutatio. Sic creatur munda ipsa adultera; sic misericors qui antea raptor; sic mutatur in ovem lupus, in columbam vultur: duplex creatio. Ideo et lavacrum creatio dicitur, lavacrum, inquam, regenerationis: *Exuentes* enim, inquit, *veterem hominem, et induentes novum eum qui renovatur secundum imaginem ejus, qui creavit illum*[b]. Vides igitur novam esse creaturam. Quid enim mihi prodest, si fiat cœlum novum, et terra nova, ego vero in peccatis meis inveterascam? Cœlum domus est, ego vero habito in ea ægrotus. Si quando medicus in domum ægroti veniret, et nulla morbi ratione habita, inalbaret parietes, et auro laquearia incrustaret, nonne diceres illi: Bone vir, cura ægrotum, quid domum exornas? Adjuva decumbentem. Christus venit in hunc mundum, in quo decumbentem naturam meam invenit, et ægrotantem, et ad eam sanandam omne subit certamen, et renovat instauratque naturam. Quid igitur medicum tu reprehendis, quia non 523*a* illa facit, Christum vero reprehendis, quod hæc faciat? Sic transierunt antiqua, sic facta sunt nova omnia, sic nova creatura, et alia multa similia quis coacervet.

A ἔνδοθεν πεπηρωμένων: ὁρᾷς ὅτι χρείαν ἔχεις ἵνα ποιήσω σοι ὀφθαλμούς, ὥστε τὸν λίθον σε ἰδεῖν λίθον, καὶ τὸ ξύλον ξύλον. Ὀφθαλμοὺς ἔχεις, ὅταν ἴδῃς ξύλον καὶ προσκυνήσῃς; ὅταν λαβὼν [14] αὐτὸ ἐγὼ [15] καύσω, ἆρα ἔχεις ὀφθαλμοὺς τὸ κτιόμενον θεὸν ὀνομάζων; ὅταν τὰ πάθη θεοποιῇς, ὀφθαλμοὺς ἔχεις; μεθύει ὁ ἄνθρωπος καὶ περιφέρεται καὶ καταγελᾶται καὶ γίνεται ἀντὶ ἀνθρώπου ἄλογος· σὺ δὲ λέγεις ἡ μέθη θεὸς ὁ Διόνυσος, ἡ κλοπὴ θεὸς ὁ Ἑρμῆς. Ὁρᾷς ὅτι χρεία σοι ὀφθαλμῶν; ὁ νόμος τὰ πάθη κολάζει, καὶ σὺ ταῦτα θεοποιῶν οὐκ αἰσθάνῃ. Εἰ βούλει δὲ, πρόσχες, ὅπως γέγονε κάντα καινά. Κτίσις ἐν τῇ Γραφῇ λέγεται [16] οὐ μόνον ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγὴ [17], ἀλλὰ καὶ ἡ ἐκ τοῦ ὄντος ἐπὶ τὸ βέλτιον μεταβολή. Ἔκτισεν ὁ Θεὸς τὸν οὐρανὸν, τοῦτ' ἔστιν B ἐκ τοῦ μὴ ὄντος ἐργάσασθαι. Κτίζει καὶ ὅταν τὸν πονηρὸν ἄνθρωπον καλὸν ἀπεργάσηται· ἐνταῦθα τὸ κτίζειν πραγμάτων ἐστὶν ἐπὶ τὸ βέλτιον μεταβολή. Καὶ ἄκουσον τοῦ Δαβὶδ λέγοντος. Ἐπειδὴ γὰρ ἦν αὐτὸς καὶ ἡ καρδία αὐτοῦ ἐκτισμένη, ἐρρυπώθη δὲ τῇ μοιχείᾳ καὶ τῷ φόνῳ καὶ πρὸς φθορὰν κατεφέρετο, παρακαλεῖ τὸν Θεὸν καὶ λέγει· Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός. Οὐχ ὅτι πρότερον οὐκ εἶχε καρδίαν, οὐδὲ περὶ τῆς οὐσίας τῆς καρδίας λέγει, ἀλλὰ περὶ τῆς κοσμούσης αὐτὴν ἀρίστης πολιτείας. Ἰδοὺ τοίνυν κτίσις λέγεται οὐ μόνον ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγὴ, ἀλλὰ καὶ ἡ τῆς οὐσίας διαφθαρείσης εἰς τὸ βέλτιον μεταβολή. Οὕτω κτίζεται σώφρων ἡ πόρνη, οὕτως ἐλεήμων ὁ ἅρπαξ· οὕτω μεταβάλλεται εἰς πρόβατον ὁ λύκος καὶ ὁ ἱέραξ εἰς περιστεράν. Δύο κτίσεις· διὰ τοῦτο καὶ τὸ λουτρὸν κτίσμα λέγεται, τὸ λουτρὸν λέγω τῆς παλιγγενεσίας· Ἀποδυσάμενοι, γάρ φησι, τὸν παλαιὸν ἄνθρωπον, ἐνδυσάμενοι [18] δὲ [19] τὸν νέον, τὸν ἀναγεννώμενον κατ' εἰκόνα τοῦ Κτίσαντος αὐτόν. Ὁρᾷς οὖν ὅ τι ἐστὶ καινὴ κτίσις. Τί γάρ μοι ὄφελος, ἐὰν γένηται οὐρανὸς καινὸς καὶ γῆ καινὴ, ἐγὼ δὲ τοῖς ἁμαρτίαις πεπαλαίωμαι; ὁ οὐρανὸς οἶκός ἐστιν, ἐγὼ δὲ διαιτώμενος [20] ἐν αὐτῷ καὶ νοσῶν. Ἐὰν ἰατρὸς εἰς τὴν οἰκίαν τοῦ ἀῤῥωστοῦντος εἰσέλθοι, καὶ τοῦ μὲν οἰδεμίαν πρόνοιαν λάβοι, λευκαίνῃ δὲ τοὺς τοίχους καὶ χρυσογραφῇ τὸν ὄροφον, οὐκ ἂν εἴπες αὐτῷ· Ἄνθρωπε, ἀνάστησον τὸν νοσοῦντα· τί τὴν οἰκίαν καλλωπίζεις; βοήθησον τῷ κειμένῳ. Καὶ ὁ Χριστὸς [853 B.] εἰσῆλθεν εἰς τὸν κόσμον τοῦτον, ἐν ᾧ κατακειμένην εὗρε τὴν φύσιν μου [καὶ [21]] D νοσοῦσαν· καὶ πρὸς τὴν θεραπείαν αὐτῆς ἅπαντα δέχεται τὸν ἀγῶνα, καὶ ἀνακαινίζει καὶ ἀνορθοῖ τὴν φύσιν. Τί οὖν τὸν ἰατρὸν μέμφῃ ὅτι μὴ ταῦτα ποιεῖ [22], τὸν Χριστὸν δὲ πάλιν ὑπὸ μῶμον ὅτι ταῦτα ποιεῖ; οὕτω παρῆλθε τὰ ἀρχαῖα, οὕτω γέγονε τὰ πάντα καινὰ, οὕτω καινὴ κτίσις. Καὶ μυρία ἄν τις τοιαῦτα ἐπισυνάψῃ.

[a] Psal. L, 12. [b] Coloss. III, 9, 10.

VARIÆ LECTIONES

[14] λαβὼν] καὶ λαβὼν A. [15] ἐγὼ αὐτὸ ς. [16] λέγεται καὶ οὐ A. [17] παραγωγὴ] fortasse προαγωγὴ. [18] ἐνδυσάμενοι] ἐνδυσώμεθα corr. A. [19] δὲ om. A. [20] δὲ ὁ διαιτώμενος A. [21] καὶ ante νοσοῦσαν om. A. [22] ποιεῖ] ἐποίει A.

NOTÆ.

(21) Virgil., *Æneid.* lib. IX, vers. 184.

Dine hunc ardorem mentibus addunt,
Euriale? An sua cuique deus fit dira cupido?

Digitized by Google Распознавание текста ABK/FR

[1560 R.] Ἐκ τοῦ μετὰ τὰς Καλάνδας τῇ [23] ἑξῆς καὶ κατὰ μεθυόντων. A

Ex homilia post Calendas, etc., et contra ebrios.

Ὁ τοίνυν Χριστὸς τὰ ἄπειρα πλήθη ἑστιάσας ἐπὶ τῆς ἐρήμου, οὐκ ἐπὶ σκηνὴν καὶ ὕπνον αὐτοὺς ἐπεμψεν, ἀλλ' ἐπὶ θείων ἀκροάσιν ἐκάλεσε λογίων. Οὕτω καὶ ἡμεῖς ποιῶμεν, καὶ τοσοῦτον [24] ἐθίσωμεν ἑαυτοὺς ἐσθίειν, ὅσον πρὸς τὸ ζῆν μόνον, οὐχ ὅσον διασπᾶσθαι καὶ βαρύνεσθαι. Οὐ γὰρ διὰ τοῦτο ἐγενόμεθα καὶ ζῶμεν, ἵνα φάγωμεν καὶ πίωμεν, ἀλλὰ διὰ τοῦτο ἐσθίομεν, ἵνα ζῶμεν. Οὐ τὸ ζῆν διὰ τὸ φαγεῖν, ἀλλὰ διὰ τὸ ζῆν τὸ φαγεῖν γέγονεν ἐξ ἀρχῆς. Ἡμεῖς δὲ ὡς διὰ τοῦτο ἐλθόντες εἰς τὸν κόσμον, οὕτως ἅπαντα εἰς τοῦτο καταναλίσκομεν.

Christus magnam multitudinem in deserto convivio excipiens [c], non illos ad tentorium et somnum misit, sed ad divina verba audienda vocavit. Sic et nos faciamus, et tantum nos edere assuescamus, quantum ad vitam tuendam sufficit, non quantum noceat et gravet. Non enim idcirco nati sumus et vivimus, ut edamus et bibamus, sed ideo edimus, ut vivamus. Non vita propter cibum, sed cibus propter vitam ab initio factus est. Nos vero quasi ideo in mundum venerimus, sic omnia in eam rem consumimus.

Ἐκ τοῦ εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου « Περὶ δὲ [25] τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ἵνα μὴ λυπῆσθε ὡς καὶ οἱ λοιποί, » καὶ ἑξῆς. B

In dictum Apostoli : « Nolumus vos ignorare de dormientibus, ut non contristemini, sicut et cæteri [d], » etc.

Τί δή ποτε, ὅταν μὲν περὶ τοῦ Χριστοῦ διαλέγηται Παῦλος, θάνατον καλεῖ τὸν ἐκείνου θάνατον, ὅταν δὲ περὶ τῆς ἡμετέρας τελευτῆς, κοίμησιν αὐτὴν καὶ οὐ θάνατον ὀνομάζει ; καὶ γὰρ ἐν τῷ αὐτῷ λόγῳ τρίτον μνησθεὶς τῆς τελευτῆς τῶν ἀνθρώπων οὐδαμοῦ θάνατον λέγει, ἀλλὰ κοίμησιν τὴν ἀναχώρησιν ὀνομάζει. Οὐ γὰρ παρέργως ταύτῃ κέχρηται τῶν λέξεων τῇ [26] παρατηρήσει, ἀλλὰ σοφόν τι [27] καὶ μέγα κατασκευάζει. Ἐπὶ μὲν οὖν τοῦ Χριστοῦ θάνατον καλεῖ, ἵνα τὸ πάθος πιστώσηται, ἐπὶ δὲ ἡμῶν κοίμησιν, ἵνα τὴν ὀδύνην παραμυθήσηται. Ἔνθα μὲν γὰρ προεχώρησεν ἡ ἀνάστασις, θαῤῥῶν καλεῖ θάνατον · ἔνθα δὲ ἐν ἐλπίσιν ἔτι μένει, κοίμησιν καλεῖ, καὶ διὰ ταύτης παραμυθούμενος ἡμᾶς τῆς προσηγορίας, καὶ χρηστὰς ἐλπίδας ὑποτείνων ἡμῖν. Ὁ γὰρ C κοιμώμενος ἀναστήσεται πάντως, ἐπεὶ καὶ θάνατος οὐδὲν ἕτερόν ἐστιν ἢ μακροχρόνιος ὕπνος.

Quare Paulus, cum de Christo loquitur, mortem ipsius vocat *mortem* [e], cum vero de nostra morte verba facit, *dormitionem* illam, et non *mortem* appellat [f]? Nam in eadem oratione ter mentionem mortis hominum faciens nunquam *mortem* dicit, sed *dormitionem* decessum nominat. Non enim temere his usus verbis Apostolus, sed magnum et sapiens quiddam præparat. In Christo igitur *mortem* vocat, ut passio credatur, in nobis vero *dormitionem*, ut dolorem consoletur. Ubi enim præcessit resurrectio, confidens vocat mortem : ubi vero in spe adhuc manet, dormitionem appellat [g] : et hac appellatione nos consolans in bonam [vitæ] spem erigit. Dormiens enim omnino resurget, cum mors nihil sit aliud, quam diuturnus somnus.

Τοῦ αὐτοῦ Χρυσοστόμου ἐκ τοῦ περὶ μετανοίας [28].

Ex homilia Chrysostomi de Pœnitentia.

Μάννα ἤσθιον οἱ Ἰουδαῖοι, καὶ τὰ ἐν Αἰγύπτῳ κρόμμυα ἐπεζήτουν · οὕτως αἰσχρὸν ἡ συνήθεια πρᾶγμα καὶ κάκιστον. Κἂν εἰς δέκα ἡμέρας κατορθώσῃς, κἂν εἰς εἴκοσι, κἂν εἰς τριάκοντα, οὐκ ἀγαπῶ, οὐ χάριν ἔχω, οὐ περιπτύσσομαί σε ; Μόνον μὴ ἀποκάμῃς, ἀλλ' αἰσχύνου καὶ καταγίνωσκε. Παλιν διελήλυθεν [29] περὶ ἀγάπης · ἤκουσας, ἀπῆλθες, καὶ ἥρπασας · οὐκ ἐπιδείξω διὰ τῶν ἔργων τὸν λόγον. Μὴ αἰσχυνθῇς πάλιν εἰσελθεῖν [854 H.] εἰς τὴν ἐκκλησίαν. Αἰσχύνου ἁμαρτάνων, μὴ αἰσχύνου μετανοῶν. Δύο ταῦτά ἐστιν, ἁμαρτία καὶ μετάνοια, τραῦμα μὲν ἡ ἁμαρτία, φάρμακον δ' ἡ μετάνοια. Ἐν τῷ τραύματι D σηπεδὼν, ἐν τῷ φαρμάκῳ τῆς σηπεδόνος καθαρισμός. Ἐν τῇ ἁμαρτίᾳ ὄνειδος, γέλως · ἐν τῇ μετανοίᾳ ἔπαινος, παῤῥησία [30], ἐλευθερία. Ἀλλ' ἀντιστρέφει τὴν τάξιν ὁ Σατανᾶς, καὶ δίδωσι τοῖς πειθομένοις αὐτῷ ἐν μὲν τῇ ἁμαρτίᾳ τὴν παῤῥησίαν, ἐν δὲ τῇ μετανοίᾳ τὴν αἰσχύνην. Σὺ δὲ μὴ πεισθῇς αὐτῷ, ἀλλ' ἑκατέρᾳ πράξει τὸ οἰκεῖον ἀπονέμεσθαι σπούδασον.

Comederunt Judæi manna [h], et cepas Ægyptias quærebant : adeo turpis res est consuetudo, quin pessima. Licet per decem dies præclare te geras, licet per viginti, per triginta, non acquiesco, non gratiam habeo, non te complector : modo ne defatigeris, sed suffundaris pudore, teque accuses. Iterum de charitate disseruimus ; audisti, abiisti, rapuisti, non operibus 523*b* sermonem ostendisti : ne iterum ingredi Ecclesiam erubescas, erubesce peccare, non erubesce pœnitere. Duo hæc sunt, peccatum et pœnitentia : vulnus quidem peccatum, remedium pœnitentia : in vulnere putredo ; in pœnitentia putredinis mundatio : in peccato probrum et derisio, in pœnitentia laus, et libertas dicendi, ac e servitute liberatio. Sed Satanas ordinem immutat, datque iis qui illi obediunt, in peccato licentiam, in pœnitentia pudorem. Tu vero ne credas illi, sed utrique actioni suum tribuere stude.

[c] Matth. XIV, 13. [d] I Thess. IV, 13. [e] Rom. VI, 3. [f] I Cor. XI, 30 ; XV, 6, 18, 20, 51. [g] I Thess. IV, 13-15. [h] Exod. XVI, 3 seqq.

VARIÆ LECTIONES.

[23] τῇ A : καὶ ς. [24] τοσοῦτο ς. [25] δὲ om. A. [26] τῇ add. A. [27] τι Scaliger libri : τε. [28] Τοῦ — μετανοίας] ἀνεγνώσθη ἐκ τοῦ περὶ μετανοίας τοῦ αὐτοῦ χρυσοστόμου A. [29] διειλέχθην ς. [30] παῤῥησία ἔπαινος. A.

Digitized by Google Распознавание текста ABK/FR

Visio quam vidit Isaias contra Judæam et Jerusalem.

Dic visionem quam vidisti. Ipse autem dicit: *Audite, cœli, et auribus percipe, terra, quoniam Dominus locutus est* [i]. Alia promisisti, alia loqueris. Incipiens, dixisti: *Visio super Judæum et Jerusalem*: et omissa narratione, cum terra et cœlo loqueris. Homines relinquis, et cum brutis elementis loqueris. Ita, inquit; cum homines ipsis brutis magis sint facti irrationabiles, et non ideo solum, sed etiam quia Moses ducturus illos in promissionis terram, et prævidens futura, sic ait: *Audi, cœlum, et loquar; attende, terra, verba oris mei* [k]. Testor vobis, inquit Moses, Judæi, cœlum et terram, quia cum veneritis in terram promissionis, et reliqueritis Deum vestrum, in omnes gentes dispergemini. B Venit igitur Isaias, minæ erant cessaturæ. Non potuit vocare Mosem, jam mortuum, nec qui aliquando audiverunt: elementa tandem vocat, quæ etiam in testimonium ipsis Moses vocarat, et quanquam ille potuit Aaronem etiam vocare in testimonium, et alios multos, sed Ideo (diceret) illos non vocavi, quandoquidem illi erant morituri, neque testari poterant. Cum vero Israel prævaricatus sit, ideo adhuc durantia elementa merito in testimonium voco. Sic et Isaias facit, non modo propter ea quæ diximus, sed etiam postquam cum Judæis locutus, vidit illos sibi non attendere, ad elementa se convertit, et testes sibi assumit: *Audi, cœlum.* Tu enim manna pluisti. *Inclina aurem tuam, terra.* Tu enim 524*a* coturnices dedisti [k]. *Audi cœlum*, nam illis ea quæ supra naturam dedisti. Sursum mansisti, quomodo te Deus firmavit, et imitationem areæ non despexisti. *Attende, terra*, tu enim infra eras, et mensam illis subito apposuisti. Ideo et alius propheta [l] videns regem insanientem, idolum colentem, Deumque contumeliis afficientem, alios timentes: nullum horum alloquitur, sed conversus ait: *Audi, altare, audi me.* Cur lapidi loqueris? certe, inquit, cum minus quam lapis rex sentiat: *Audi, altare: Hæc dicit Dominus*, et statim divisum est altare, et fractum, et effudit hostiam. Homo autem non audivit. Sed rex manum suam extendit, cupiens prophetam comprehendere. Deus vero quid fecit? Manum ejus arefecit, non autem arefecit manum a principio, ut ille ruptura lapidis fieret prudentior. Cupivit enim D eum sine castigatione sapere: Cum, inquit, discissus sit lapis, et tu non emendaris te, justam in te iram converto.

A Ὅρασις [31] ἣν εἶδεν Ἡσαΐας κατὰ Ἰουδαίας καὶ κατὰ Ἰερουσαλήμ.

Εἰπὲ τὴν ὅρασιν ἣν εἶδες. Ὁ δὲ λέγει Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν. Ἄλλα ἐπηγγέλω καὶ ἄλλα λέγεις. Ἀρχόμενος εἶπες· Ὅρασις κατὰ Ἰουδαίας καὶ κατὰ [1561 R.] Ἰερουσαλήμ, καὶ ἀφεὶς τὴν διήγησιν οὐρανῷ καὶ γῇ διαλέγῃ. Ἀφῆκας τοὺς ἀνθρώπους, καὶ τοῖς ἀλόγοις στοιχείοις προσδιαλέγῃ. Ναί, φησὶν, ἐπειδὴ τῶν ἀλόγων ἀλογώτεροι γεγόνασιν οἱ λογικοί. Καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διότι μέλλων ὁ Μωϋσῆς εἰσάγειν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ προορῶν τὰ μέλλοντα ἔσεσθαι, οὕτω πώς φησιν Ἄκουε, οὐρανέ, καὶ λαλήσω· προσεχέτω ἡ [32] γῆ ῥήματα ἐκ στόματός μου. Διαμαρτύρομαι ὑμῖν, φησίν, Ἰουδαῖοι, τὸν οὐρανὸν καὶ τὴν γῆν, ὁ Μωϋσῆς, ὅτι ἐὰν εἰσέλθητε εἰς τὴν γῆν τῆς ἐπαγγελίας καὶ ἐγκαταλίπητε Κύριον τὸν Θεὸν, διασκεδασθήσεσθε εἰς πάντα τὰ ἔθνη. Ἦλθε τοίνυν Ἡσαΐας· ἔμελλεν ἡ ἀπειλὴ περιτοῦσθαι. Οὐκ ἐδύνατο [33] καλεῖν Μωϋσέα τὸν ἤδη τεθνηκότα, οὐδὲ τοὺς τότε [34] ἀκηκοότας· λοιπὸν τὰ στοιχεῖα καλεῖ, ἅπερ διαμαρτυρόμενος αὐτοῖς ἐκάλει καὶ ὁ Μωϋσῆς. Καίτοι γε ἐκεῖνος καὶ τὸν Ἀαρὼν ἐδύνατο [35] καλεῖν εἰς μαρτυρίαν καὶ πολλοὺς ἄλλους· ἀλλὰ διὰ τοῦτο, φαίη ἄν, οὐκ ἐκάλεσα τούτους [36], ἐπειδὴ περ ἔμελλον ἐκεῖνοι τελευτᾷν καὶ μὴ παρεῖναι μάρτυρες, ἐπειδὰν εἰς παρανομίαν ἐξεκλινεν ὁ Ἰσραήλ· διὸ τὰ μένοντα στοιχεῖα εἰκότως εἰς μαρτυρίαν καλῶ. Οὕτω καὶ Ἡσαΐας ποιεῖ, οὐ διὰ τὰ εἰρημένα μόνον, ἀλλὰ καὶ ἐπειδὴ διαλεχθεὶς τοῖς Ἰουδαίοις εὗρεν αὐτοὺς [37] μὴ ἀκούοντας αὐτοῦ, ἐπὶ τὰ C στοιχεῖα στρέφεται καὶ μάρτυρας παραλαμβάνει αὐτοῦ. Ἄκουε, οὐρανὲ, σὺ γὰρ τὸ μάννα ἤνεγκας· Ἐνωτίζου, γῆ, σὺ γὰρ τὴν ὀρτυγομήτραν ἔδωκας. Ἄκουε, οὐρανὲ, τὰ γὰρ ὑπὲρ φύσιν αὐτοῖς ἐχορήγησας· ἄνω κεῖθ' ὃν τρόπον ἑστερεώθης ἕμενες, καὶ μίμησιν οὐχ ὑπερεῖδες ἄλωνος. Ἐνωτίζου, γῆ· σὺ γὰρ κάτω ἦς, καὶ τράπεζαν αὐτοῖς παρετίθεις αὐτοσχέδιον. Διὰ τοῦτο καὶ ἕτερος προφήτης ὁρῶν τὸν βασιλέα μαινόμενον, τὸ εἴδωλον λατρευόμενον, τὸν Θεὸν ὑβριζόμενον, τοὺς ἄλλους ἐπτηχότας, πρὸς οὐδένα τούτων ποιεῖται τὸν λόγον, ἀλλ' ἀποστραφεὶς Ἄκουσον, φησὶν, Θυσιαστήριον, ἄκουσόν μου. Τί οὖν λίθῳ διαλέγῃ [38]; ναί, φησὶν, ἐπειδὴ λίθου ἀναισθητότερος ὁ βασιλεύς. Ἄκουσον, θυσιαστήριον, τάδε λέγει Κύριος· καὶ εὐθέως ἐσχίσθη τὸ θυσιαστήριον καὶ ἐῤῥάγη [855 H.] καὶ ἐξέχεε τὴν θυσίαν. Ὁ δὲ ἄνθρωπος οὐκ ἤκουσεν, ἀλλ' ἐκτείνει τὴν χεῖρα ὁ βασιλεὺς τὸν προφήτην ἁρπάσαι βουλόμενος. Ὁ δὲ Θεὸς τί ποιεῖ; Ἐξήρανεν αὐτοῦ τὴν χεῖρα. Οὐ [39] ξηραίνει δὲ αὐτοῦ ἐξ ἀρχῆς τὴν χεῖρα. [40], ἵνα [41] τῷ τοῦ λίθου πάθει σωφρονέστερος γένηται [42], Ἐβούλετο γὰρ αὐτὸν ἄνευ τῆς εἰς αὐτὸν κολάσεως σωφρονισθῆναι. ἀλλ' ἐπειδὴ, φησὶν, ὁ λίθος ἐσχίσθη, καὶ σὺ οὐ διωρθώθης, ἐπὶ σὲ τὴν δικαίαν ὀργὴν ἐπιστρέφω.

[i] Isa. I, 2. [j] Deut. XXXII, 1. [k] Exod. XVI, 13, 14. [l] III Reg. XIII, 2 seqq.

VARIÆ LECTIONES.

31 Ὅρασις] τοῦ χρυσοστόμου εἰς τὸ ὅρασις B. 32 ἡ om. B. 33 ἠδύνατο Ϛ. 34 τοὺς ποτε Ϛ. 35 ἠδύνατο καὶ τὸν Ἀαρὼν Ϛ. 36 τούτους] τούτους εἰς μαρτυρίαν B. 37 αὐτοὺς om. A. 38 προσδιαλέγῃ Ϛ. 39 οὐ. 40 χεῖρα om. A. 41 ἵνα. 42 γένηται] ὅτι μὴ — ἐγένετο B.

Digitized by Google Распознавание текста АВК/FR

Ἐκ τοῦ [43] εἰς τὸν ἄσωτον, καὶ εἰς μετάνοιαν, καὶ εἰς τὸ ξύλον γνωστὸν [44] καλοῦ καὶ πονηροῦ, καὶ εἰς τὸν λῃστήν. A

Ex oratione in prodigum, in pœnitentiam, in lignum scientiæ boni et mali, et in latronem.

Ὅτι τὸ τάγμα τῶν δικαίων οὐ βούλεται εἰς ἑαυτὸ ἁρπάσαι τὴν ἐξουσίαν τῶν κτισμάτων, ἀλλ' ὑπὸ τὴν τοῦ πατρὸς πρόνοιαν θέλει νεῖσθαι τὰ τῆς οἰκονομίας. Διὸ καὶ ἡ παραβολὴ τὸν νεώτερον εἰσάγει, λαβόντα τὴν Πατρικὴν οὐσίαν, εἰς χώραν ἀποδημῆσαι μακράν. Τὸ δὲ μῆκος οὐ σταδίοις διετείνετο, ἀλλὰ τρόποις ἐξετοπίζετο· καὶ γὰρ ὁ ἁμαρτάνων μακρὰν γίνεται Θεοῦ οὐ τόπῳ ἀλλὰ τρόπῳ. Λαβὼν δὲ τὴν οὐσίαν τὴν πατρικὴν ἀπώλεσεν αὐτὴν, ἀσώτως ζῶν. Ἔλαβεν ἥλιον εἰς ἀπόλαυσιν, καὶ τὸ δῶρον ὡς θεὸν προσεκύνησεν. Ἔλαβε πηγὰς εἰς τρυφὴν, καὶ τὸ δῶρον ἐθεοποίησεν. Ἠγνόησε τὸν χαρισάμενον, καὶ τὸ χάρισμα ὑπερεδόξασεν. [1564 R.] Ἡ αὐτὴ κτίσις, ἀλλ' οὐ πᾶσιν ὁμοίως ὁρωμένη. Πατρικὴ ἡ οὐσία· ἀλλ' ὁ μὲν καλῶς αὐτῇ, ὁ δὲ κακῶς ἀπεχρήσατο. Τάγμα τοῦτο κἀκεῖνο, εἰ καὶ διάφορον. Ὁ εὐσεβὴς τὸ κάλλος ὁρᾷ τοῦ οὐρανοῦ, καὶ ἀπὸ τοῦ κάλλους τὸν δημιουργὸν ἀνυμνεῖ· Ὄψομαι γάρ, φησὶ, τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου. Εἶδεν ὁ ἀσεβὴς, καὶ πρὸς μὲν τὸν Κτίστην τὴν διάνοιαν οὐ διεβίβασεν, ἐναπομείνας δὲ τῷ κάλλει τοῦ οὐρανοῦ θεὸν ἐφαντάσθη τὸ δημιούργημα. Ὁ εὐσεβὴς οὐχ ὑβρίζει τὴν κτίσιν, ἀλλὰ τῷ Δεσπότῃ τὴν προσκύνησιν ταμιεύεται. Τιμᾷ τὴν κτίσιν, ἀλλ' ὡς δμόδουλον, οὐκ ἀφαιρῶν δὲ τὸ σέβας τοῦ κτίσαντος περιάπτει τῷ κτίσματι. Ἐπαινεῖ τὸ φιλοτέχνημα, ἀλλ' οὐχὶ τὴν τοῦ τεχνίτου δόξαν εἰς ἐκεῖνο περιίστησιν. Ὁ δὲ δυσσεβὴς κακῶς [45] μὲν εἶδε, κακῶς δὲ προσεκύνησε, καὶ πᾶσαν τὴν τάξιν ἀνέτρεψεν. B C

Agmen justorum non vult in se rapere potestatem creaturarum, sedquæ sunt dispensationis, Patris providentiæ subjecta esse. Ideo etiam parabola juniorem introducit, accepta paterna hæreditate, proficiscentem in regionem longinquam[m]. Sed longitudo stadiis non determinatur, sed moribus circumscribitur. Etenim peccator non tam loco remotus est, quam moribus. Accepta itaque bona paterna perdidit prodige vivendo. Accepit solem ad perfruitionem, et donum ut deum adoravit. Accepit fontes ad delicias, et donum deum fecit. Ignoravit donantem, et donum supra modum coluit. Eadem creatura, sed non omnibus eodem modo conspicua. Paterna substantia ille quidem recte usus est, hic vero abusus. Ordo autem hic et ibi, tametsi diversus. Pius pulchritudinem videt cœli, et inde Creatorem laudat: *Videbo enim cœlos opera digitorum tuorum*[m']. Vidit impius, et ad Creatorem sensum non convertit: sed 524 *b* persistens in pulchritudine cœli, creaturam esse deum imaginatus est. Pius non injuriam facit creaturæ, sed Domino adorationem tribuit. Honorat creaturam, sed ut conservam, non auferens autem cultum Creatori, præstat creaturæ: laudat artificium, sed artificis gloriam illi non attribuit; impius vero bene quidem vidit, sed male adoravit, et omnem ordinem invertit.

Ὅτι δράκοντα πολλάκις ἡ Γραφὴ καλεῖ τὸν διάβολον, καὶ ὄφιν σκολιόν.

Sæpe Scriptura diabolum vocat draconem et serpentem tortuosum.

Διὸ καὶ ὁ Σωτὴρ φησιν· Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. Καὶ ἵνα μὴ τὰ ἕρποντα ὑπολάβῃς, ἐπήγαγε· Καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Δράκων καὶ ὄφις ὁ διάβολος οὐχ ὡς ῥίζα κακίας, ὥς φασιν οἱ Μανιχαῖοι, ἀλλ' ὡς κατάρχων τῶν δαιμονίων [46] καὶ ἀρχηγὸς αὐτοῖς τῆς ἐκπτώσεως γεγονώς [47].

Ideo et Salvator dicit: *Ecce dedi vobis potestatem ambulandi super serpentes, et scorpiones*[n]. Et ne reptilia intelligas, subjecit: *Et super omnem virtutem inimici*[o]. Diabolus draco et serpens est, non tanquam mali radix, ut Manichæi dicunt, sed ut princeps dæmonum, et auctor illis factus defectionis.

Ἐκ τοῦ παραινετικοῦ λόγου [48] τοῦ περὶ μετανοίας.

Ex adhortatione ad pœnitentiam.

[856 H.] Τοῦ εἰπόντος· Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω, τούτου τὴν ἐκ Θεοῦ ἐπενεχθεῖσαν ἀπόφασιν εἰς μνήμην, ἄνθρωποι, λαβόντες ἀνοίξατε τοὺς θησαυροὺς ὑμῶν, καὶ δότε ἐλεημοσύνην. Ποιήσατε ἑαυτοῖς θησαυρὸν ἀνέκλειπτον ἐν τῷ οὐρανῷ, καθὼς προστάσσει ὁ Κύριος· οἱ τὸν ἐμπαίκτην πλοῦτον ἐκ τόκου καὶ ἐξ ἀδικίας συλλέξαντες· Ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ, καθὼς ὁ Δεσπότης παρακελεύεται· Ἵνα ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. D

De illo qui dixit: *Destruam horrea mea, et majora faciam*[p], sententiam a Deo latam, in memoriam, homines, revocantes ipsi vobis, aperite thesauros vestros et date eleemosynas; facite vobis thesauros indeficientes in cœlo, ut Dominus jubet, qui futiles divitias e fœnore et injustitia colligitis. *Facite vobis amicos de mammona*, ut Dominus imperat, *ut cum vos derelinquerint, recipiant vos in æterna tabernacula*[q].

[m] Luc. xv. 12, seqq. [m'] Psal. VIII, 4. [n] Luc. x, 19. [o] ibid. [p] Luc. XII, 18. [q] Luc. XVI, 9.

VARIÆ LECTIONES

[43] ἐκ τοῦ [44] τὸ om. A. [45] κακῶς δὲ] οὐ κακῶς δὲ pr. A, οὐ καλῶς δὲ δὲ corr. [46] διαμόνων ς. [47] γεγονώς om. B [48] τοῦ post λόγου om. A.

Digitized by Google Распознавание текста ABK/FR

Ex oratione in terræ motum (22) et Lazarum, et divitem.

Non cesso dicere, etsi non audiar. Medicus sum, medicamenta appono, præceptor sum, monere jussus sum. Et nemo se emendat ? Quid hoc rei est? sed ego nihilominus mercedem accipio, et hoc incredibiliter dixi. Fieri enim non potest in tanta hominum multitudine ut nemo se emendet.

Audio, inquit, in dies, et non facio. Audi, etsi non facias. Ex auditione enim factum oritur, etsi non facias, pudefies ob peccatum, etsi non facias, mutas sententiam, etsi non facias, condemnas te ipsum, quod non facias. Accusare enim se, principium est emendationis. Quando dicis, Hei mihi audivi, et non facio, illud, Hei mihi, initium est mutationis in melius.

525a *In illad dictum* : « *Mitte Lazarum*[r], » *etc.*

Et ubi nunc sunt pincernæ tui, tapetes, et adulatores? ubi nunc arrogantia, et phantasiæ? Folia fuerunt, et hiems abstulit, omniaque perierunt. Somnium erat, et ortus est dies, et somnium dissipatum.

Ideo vero non Noe, vel Jacob, vel Isaac, sed Abraham dives videt. Quare? quia Abraham benignus in peregrinos fuerat, et illius inhumanitatis major est accusatio hujus hospitalitas.

Ex homilia : *Non adeo vehementer deflendos esse mortuos.*

Mors, ærumnarum solutio. Nisi mors esset, nos ipsos ederemus : nisi puniremur, nequaquam a malis cessaremus. Vides Domini benignitatem ? pœnam ex prævaricatione in salutis ansam convertit. Si igitur justus est qui mortuus est, gaude, quia cum fiducia ad Dominum profectus est. Sin peccator, ne doleas : lucratus est, quod accumulatione peccatorum privatus sit.

In epistola ad Cyriacum episcopum, quam scripsit post secundum exsilium, pungit Arsacium, vocans illum delirum, et adulterum. Laudatque eos, qui illius familiaritatem aversantur, ut qui propter Deum, et impietatem in archiepiscopum suum ab illo declinent. Quamvis in aliis videatur hortari, ne ab Ecclesia recedant. Id autem postea, ut apparet, voluit, cum ii, qui hunc injuste ejecerant facto non acquieverint, sed moliti etiam fuerint impetum, insidias, et exsilium iis, qui ipsi addicti essent.

[r] Luc, XVI, 24.

A Ἐκ τοῦ εἰς τὸν σεισμόν. Καὶ εἰς [49] τὸν Λάζαρον καὶ τὸν πλούσιον.

Οὐ παύομαι λέγων ἐγὼ, κἂν μηδεὶς ὁ [50] ἀκούων ᾖ. Ἰατρός εἰμι, τὰ φάρμακα ἐπιτίθημι· διδάσκαλός εἰμι, παραινετὴν ἐκελεύσθην. Οὐδένα διορθοῦμαι ; καὶ τί τοῦτο ; ἀλλ' ἐγὼ τὸν μισθὸν ἔχω. Καὶ τοῦτο καθ' ὑπερβολὴν εἶπον· ἀμήχανον [51] γὰρ ἐν τοσούτῳ πλήθει μὴ διορθωθῆναί τινα.

Ἀκούω, φησὶ, καθ' ἡμέραν, καὶ οὐ ποιῶ. Ἄκουε, κἂν μὴ ποιῇς· ἐκ γὰρ τοῦ ἀκούειν καὶ τὸ πράττειν περιγίνεται. Κἂν μὴ ποιῇς [52], αἰσχύνη ἐπὶ τῇ ἁμαρτίᾳ· κἂν μὴ ποιῇς, μεταβάλλῃ [53] τὴν γνώμην [54]. κἂν μὴ ποιῇς, καταδικάζεις ἑαυτὸν ὅτι οὐ ποιεῖς. Τὸ δὲ κατηγορεῖν ἑαυτοῦ ἀρχὴ διορθώσεως. Ὅταν εἴπῃς Οἴμοι, ἤκουσα, καὶ οὐ ποιῶ, τὸ Οἴμοι προοίμιόν ἐστι τῆς ἐπὶ τὸ βέλτιον μετοβολῆς.

B Πέμψον [55] Λάζαρον καὶ ἐξῆς [56].

Καὶ ποῦ νῦν οἱ οἰνοχόοι σου, οἱ τάπητες, οἱ παράσιτοι, οἱ κόλακες ; ποῦ ὁ τύφος ; πῶς ἡ φαντασία ; Φύλλα ἦν, καὶ χειμὼν κατέλαβε, καὶ πάντα ἀπώλετο· ὄναρ ἦν, καὶ ἡμέρα γέγονε, καὶ τὸ ὄναρ διαλέλυται.

Διὰ τί [57] δὲ οὐ τὸν Νῶε ἢ τὸν Ἰακὼβ ἢ τὸν Ἰσαὰκ, ἀλλὰ τὸν Ἀβραὰμ ὁ πλούσιος ὁρᾷ ; [1565 R] Διὰ τί ; Ἐπειδὴ φιλόξενος ἦν ὁ Ἀβραὰμ, καὶ τῆς ἀπανθρωπίας τούτου μεῖζων γίνεται κατηγορία ἡ ἐκείνου φιλοξενία.

Ἐκ τοῦ [58] Μὴ οὕτω σφοδρῶς θρηνεῖν τοὺς τελευτῶντας.

Θάνατος μεριμνῶν λύσις. Εἰ μὴ θάνατος ἦν, ἑαυτοὺς ἂν κατησθίομεν· εἰ μὴ κόλασιν ἐξεδεχόμεθα, C οὐδαμῶς τῶν κακῶν ἐπαυόμεθα [59]. Εἶδες Δεσπότου φιλανθρωπίαν ; τὸ ἐκ παραβάσεως ἐπιτίμιον ἀφορμὴν σωτηρίας ἀπειργάσατο. Εἰ μὲν οὖν δίκαιός ἐστιν ὁ ἀποθανὼν, χαῖρε, διότι θαῤῥῶν πρὸς τὸν Δεσπότην πορεύεται· εἰ δὲ ἁμαρτωλὸς, μὴ λυποῦ· ἐκέρδησεν οἷς [60] τὴν προσθήκην τῶν ἁμαρτημάτων ἀφῄρηται.

Ὅτι [61] ἐν τῇ πρὸς τὸν ἐπίσκοπον Κυριακὸν ἐπιστολῇ, ἣν ἀπὸ τῆς δευτέρας ἐξέπεμψε ἐξορίας, καθάπτεται μὲν τοῦ Ἀρσακίου, λῆρον αὐτὸν καὶ μοιχὸν καλῶν, ἐπαινεῖ δὲ τοὺς ἀποστρεφομένους τὴν αὐτοῦ κοινωνίαν, ὡς διὰ Θεὸν καὶ τὸ εἰς τὸν ἀρχιερέα αὐτῶν ἀδίκημα τὴν ἀποστροφὴν αὐτῶν ποιουμένους. [857 H.] Καίτοι γε ἐν ἄλλοις φαίνεται παραινῶν μὴ ἀφίστασθαι ἀπὸ τῆς Ἐκκλησίας. Εἰς τοῦτο D δὲ ὕστερον (ὡς ἔοικε) μετέστη, ἐπειδὴ καὶ οἱ τοῦτον ἀδίκως ἐκβαλόντες [62] οὐχ οἷς ἔπραξαν [63] ἀλλὰ καὶ κατὰ δρομὰς καὶ ἐπιβουλὰς κατὰ τῶν αὐτῷ [64] προσανακειμένων καὶ ὑπερορίας ἐπαλαμήσαντο [65].

VARIÆ LECTIONES.

[49] εἰς ante τὸν πλ. omisi cum B. [50] ὁ add. A. [51] ἀμήχανον A : ἀδύνατον ς. [52] ποιεῖς ς. idque ter. κἂν. [53] μεταβαλλει ς. [54] γνώμην om. B. [55] Εἰς τὸ πέμψον ς. [56] καὶ τὰ ἑξῆς ς. [57] τί A : τοῦτο ς. [58] εἰς τὸ add. A. [59] ἐπαυσάμεθα ς. [60] ἐκέρδ. ἐφ' οἷς ς. [61] ὅτι. [62] ἐκβάλλοντες ς. [63] ἔστειλαν A. [64] αὐτῷ corr. A. αὐτῶν pr. αὐτοὺς ς. [65] ἐπαλαμήσαντο om. B.

NOTÆ.

(22) Integram hanc de terræmotu concionem evulgavit P. Fronto Ducæus societ. Jesu, Burdigalæ, anno 1604.

Digitized by Google Распознавание текста ABK/FR

ΣΟΗ'.

Θεοφράστου Περὶ τῶν μεταβαλλόντων τὰς χρόας.

Ἀνεγνώσθη ἐκ τῶν Θεοφράστου περὶ τῶν [66] μεταβαλλόντων τὰς χρόας.

Ὅτι τὰς χρόας μεταβαλλόμενοι καὶ ἐξομοιούμενοι φυτοῖς καὶ τόποις καὶ λίθοις, οἷς ἂν πλησιάσωσι, πολύπους ἐστὶ καὶ χαμαιλέων καὶ τὸ θηρίον ὁ τάρανδος, ὃ ἐν Σκύθαις φασὶν ἢ Σαρμάταις γίνεσθαι. Μεταβάλλει δ' ὁ χαμαιλέων εἰς πάντα τὰ χρώματα, πλὴν τὴν εἰς τὸ λευκὸν καὶ τὸ ἐρυθρὸν οὐ δέχεται μεταβολήν· καὶ οὐ πρὸς τὰ παρακείμενα μόνον χρώματα μεταβάλλει, ἀλλὰ καὶ αὐτὸς καθ' ἑαυτόν, ἐάν τις μόνον ἅψηται αὐτοῦ, τὸ χρῶμα μεταβάλλει. Ὁ δὲ τράνδος τὸ μὲν μέγεθος ἐστὶ κατὰ βοῦν, τὸ πρόσωπον δὲ ὅμοιος ἐλάφῳ, πλὴν πλατύτερος, ὥσπερ ἐκ δύο συγκείμενος ἐλαφείων προσώπων. Δίχηλον [67] δέ ἐστι καὶ κερασφόρον. Ἔχει δὲ τὸ κέρας ἀποφυάδας ὥσπερ τὸ ἐλάφου, καὶ τριχωτόν [68] ἐστι δι' ὅλου· περὶ γὰρ τὸ ὀστοῦν δέρματός ἐστι περίτασις [69], ὅθεν ἡ ἔκφυσις. Τὸ δὲ δέρμα τῷ πάχει δακτυλιαῖόν ἐστιν, ἰσχυρὸν δὲ σφόδρα· διὸ καὶ τοὺς θώρακας ἐξυλάζοντες αὐτὸ ποιοῦνται [70]. Σπάνιον δὲ τὸ ζῷον καὶ ὀλιγάκις φαινόμενον. Θαυμαστὴ δ' ἡ μεταβολὴ καὶ ἐγγὺς ἀπιστίας. Τοῖς μὲν γὰρ ἄλλοις ἐν τῷ δέρματι γίνεται ἡ μεταβολή, ἀλλοιουμένης τῆς ἐντὸς ὑγρότητος, εἴτε αἱματώδους ἢ καί τινος ἄλλης τοιαύτης οὔσης, ὥστε φανερὰν εἶναι τὴν συμπάθειαν· ἡ δὲ τριχῶν μεταβολή, ξηρῶν τε οὐσῶν [71] καὶ ἀπηρτημένων καὶ ἀθρόον οὐ πεφυκυιῶν ἀλλοιοῦσθαι, παράδοξος ἀληθῶς καὶ ἀπίθανος, μάλιστα πρὸς πολλὰ ποικιλλομένη. Ὁ δὲ χαμαιλέων [72] δοκεῖ τῷ πνεύματι ποιεῖν τὰς μεταβολάς· πνευματικὸν γὰρ φύσει. Στόμιον δὲ τὸ τοῦ πνεύμονος μέγεθος· σχεδὸν γὰρ δι' ὅλου τοῦ σώματος τέτακται. Ἅμα καὶ ἐξαιρόμενος αὐτὸς καὶ φυσώμενος [73] δῆλός ἐστιν.

[1566.] Ἐκ τοῦ περὶ παραλύσεως [74] Θεοφράστου.

Ὅτι ὑπὸ καταψύξεως, φησὶν, ὡς κοινῷ λόγῳ φάναι, τὴν παράλυσιν γίνεσθαι καὶ ταύτην οἱ μὲν ὑπὸ πνεύματος (πνευματικὸν γὰρ τὸ πάθος), οἱ δὲ ἐκλείψει καὶ στερήσει τοῦ πνεύματος· τοῦτο γὰρ εἶναι τὸ τὴν θερμότητα καὶ τὴν κίνησιν ὅλως ποιοῦν [75]. Ἀκινησίας δὲ γινομένης κατάψυξις γίνεται τοῦ αἵματος, ἢ ἁπλῶς εἰπεῖν τῆς ὑγρότητος. Διὰ τοῦτο γὰρ καὶ ἡ νάρκη γίνεται ἐν [76] τοῖς ποσὶν ἢ καὶ ἐν τοῖς ἄνω μέρεσιν, ὅταν ἀποπιεσθῶσιν ἀπὸ καθέδρας ἢ ἄλλου τινὸς [77] [858 H.] τρόπου. Τότε γὰρ διαλαμβάνει τῇ πιέσει τὸ πνεῦμα, καὶ οὐ δυναμένην τὴν οἰκείαν κίνησιν κινεῖσθαι ἵστησι καὶ ἀποψύχει τὸ αἷμα.

Ἐκ τοῦ [78] περὶ λειποψυχίας.

Ὅτι ἡ λειποψυχία στέρησις ἢ κατάψυξις τοῦ θερμοῦ περὶ τὸν ἀναπνευστικὸν τόπον. Τοῦτο δὲ συμβαίνει ἢ ὑπὸ τοῦ ψυχροῦ [79] ἢ καὶ ὑπ' αὐτοῦ τοῦ θερμοῦ· τὸ γὰρ πλέον πῦρ ἀναιρεῖ τὸ ἔλαττον. Μαρτυρεῖ δὲ

A

CCLXXVIII.

Theophrasti Fragmentum de animalibus, quæ colorem mutant.

Legi ex Theophrasti libro de animalibus quæ colorem mutant (23).

Quibus vero mutatur color, et plantis, locis, lapidibus, quibus se applicant, similis redditur, polypus sunt, et chamæleon, et fera tarander, quæ apud Scythas vel Sarmatas nasci fertur. Mutatur igitur chamæleon in omnes colores, præterquam in album, et rubrum, et non solum ad subjectos colores, sed etiam ipse in se, si quis solum ipsum tetigerit, 525*b* colorem mutat. Tarander quidem magnitudine bovis est, similis figura cervo, nisi quod latior, tanquam e duorum cervorum figuris compositus; bifida est ei ungula, et cornu. Habet vero hoc ramos ut cervorum cornua, et omnino pilosum est. Ossa tegit extensa cutis, unde pili exsistunt. Pellis digitum densa est, admodum dura, ideo et eam aptantes, pro thorace militari utuntur. Raro hoc animal videtur: mira ejus est mutatio, et pene incredibilis. Alia quidem animalia in pelle mutantur, mutato interno humore vel sanguineo, vel alio, ut manifesta sit sympathia, hoc est, naturæ consensus. Pilorum vero mutatio, cum aridi sint ac pendentes, et frequenter mutari non soleant, omnino admiranda et incredibilis est, maxime cum varie illa fiat. Chamæleon autem videtur anhelitu colores mutare; est enim natura flatuosus. Argumentum vero respirationis pulmonis magnitudo est: pene enim per totum corpus diffunditur. Simul vero et elevatur manifeste et inflatur.

B

C

Ex ejusdem du resolutione nervorum.

Dicit resolutionem nervorum e frigiditate, ut omnes sentiunt, oriri: et alii quidem a spiritu, (est enim morbus pulmonarius), alii defectu et privatione spiritus. Hunc enim esse, qui calorem et motum omnino faciat. Cum autem motus non est, frigiditas est sanguinis, vel, ut paucis perstringam, humoris. Ideo in pedibus oritur torpedo, vel in partibus superioribus, quando a sede expulsi fuerint, vel alio modo: tunc enim diducit compressione spiritum, et motu proprio privatur, sistit et refrigerat sanguinem.

Ejusdem de animi deliquio.

D

Animi deliquium privatio est caloris, vel frigiditatis circa pulmonem, id etiam contingit ab ipso calore. Major enim ignis tollit minorem, id experientia testatur. Nam ab æstu præfocante et alio

VARIÆ LECTIONES.

66 περὶ τῶν add. A. 67 διχηλοῦν A. 68 τριχώτατον A. 69 περίτασις A : ἐπίτασις ς. 70 ποιοῦνται, ὑῶνται ς. 71 οὐσῶν — πεφυκυιῶν B : ὄντων — πεφυκότων ς. 72 χαμαιλέον] πολύπους B et corr. A. 73 φυσσώμενος ς: 74 περὶ παραλύσεως θεοφράστου A : αὐτοῦ περὶ παραλύσεως ς. 75 ποιῶν ς. 76 ἐν om. B. 77 ἄλλῳ τινὶ τρόπῳ Schneiderus. qui mox τὸ πνεῦμα, ὁ οὐ δυνάμενον. 78 ἐκ τοῦ A : τοῦ αὐτοῦ ς. 79 ἢ ὑπὸ τοῦ ψυχροῦ add. A.

NOTÆ.

(23) Inter opera Theophrasti nuper editum Francof. apud Wechelos.

Digitized by Google Распознавание текста ABK/FR

calore, et maxime condensato, cum hæc nos opprimunt, animo deficimus et 526a deliquium patimur. Exstinguitur vero quod in nobis frigiditatem non recipit. Fortassis vero respirationem omnino suffocatio impedit, unde et πνίγος nominatur Suffocatur enim, vel suffocato similis est is, qui respirare non potest. Testatur id defectus animi in balneis, ac fotionibus. Manifestum enim est deliquia illa calore, et propter calorem fieri, exstinguente externo calore internum. Fit vero animi defectus, deficientibus his, in quibus calor nascitur, ut sanguine, vel simpliciter naturali humore. Quemadmodum in sanguinis fluxu, et uterum gestantibus videmus animi defectiones : sed propter labores etiam fiunt deliquia. Nimium etiam affert animi deliquium : nam et minus tabefacit, et respirationem impedit, et refrigerationi aditum intercludit. Propterea plerumque qui lavantur, animi deliquium non patiuntur, frequentius vero quiescentes, quia humorem factum a liquefactione eorum qui lavantur, animi calidum esse contingit : eorum vero qui lavarunt, frigidum. Frigidus vero cum sit humor, incidens in locos principes, gignit animi deliquium, nisi spiritus remissio ante dissolvat. Ideo continere jubent in deliquiis spiritum. Prohibet enim continens exire calorem : remissus vero ingerit. Aspergens aqua animo delinquentes, concludens poros, et condensans meatus, et cogens intus calorem (resistit enim) adjuvat. Gaudium ac mœror etiam animi deliquium generant. Per utrumque enim humorum copia nascitur. Gaudium quidem liquefaciendo ac dilatando : mœror vero coarctando. Cum autem ad pulmonis sedem humor pervenerit, hinc animi deliquium patimur.

Ejusdem de vertigine.

Vertigines sunt, quando alienus spiritus in caput venit, vel redundans humor, vel ab aliquo nutrimento, ut a vino, vel ab aliquo alio succo. Ad hæc, cum quis moverit caput in orbem. Locus enim circum cerebrum humidus cum sit, si susceperit aliquid alienum, plus æquo transeundo vim infert, et ad venas agitat priorem humorem in gyrum. Cum autem agitatio sit instar turbinis, et humor 526b non sit admodum densus, sed in continuo motu, altero accipiente, altero deficiente ob inæqualitatem ponderis, similiter vertiginem parit, et sæpe prosternit.

Quare cruda ova non circumverti possint.

Ova cruda circumverti ideo non possunt, ut cocta partim quia ab humore inæquali, et non ejusdem ponderis prosternuntur : partim vero, quia non habent substratum quod dejiciatur, cum unum sit et continuum intus. Ex hac consideratione solvitur hoc, quare in circo agitati vertiginem capitis

καὶ ἡ πεῖρα. Ὑπὸ γὰρ πνίγους ἢ ἄλλης θέρμης, καὶ μάλιστα πολλῆς, ἀθρόον τούτων προσπεσόντων ἡμῖν ἐκλυόμεθα καὶ λειποθυμοῦμεν· καταμαραίνεται γὰρ τὸ ἐν ἡμῖν 80 κατάψυξιν οὐ λαμβάνον. Τάχα δὲ καὶ τὴν ἀναπνοὴν ὅλως τὸ πνῖγος κωλύει. Ὅθεν καὶ πνίγος ὠνομάσθη· πνίγεται γὰρ ἢ καὶ πνιγομένῳ ὅμοιός ἐστιν ὁ μὴ δυνάμενος ἀναπνεῖν. Μαρτυρεῖ δὲ καὶ ἡ διὰ τῶν λουτρῶν καὶ τῶν πυριάσεων ἔκλυσις· δῆλον γὰρ ὡς αἱ τοιαῦται ἐκλύσεις τῷ θερμῷ καὶ διὰ τὸ θερμὸν γίνονται, μαραίνοντος τοῦ ἔξωθεν θερμοῦ τὸ ἐν ἡμῖν σύμφυτον. Γίνεται δὲ λειποψυχία καὶ τῶν ἐν οἷς πέφυκεν ἡ θερμότης ἐκλιπόντων, οἷον αἵματος ἢ τῆς φυσικῆς ἁπλῶς ὑγρότητος, ὥσπερ ἐν ταῖς αἱμορραγίαις καὶ ἐν ταῖς τῆς γαστρὸς φοραῖς ὁρῶμεν λειποψυχοῦντας. Καὶ διὰ πόνους δὲ γίνονται ἐκλύσεις. Ὅτι τὸ 81 πλέον θερμὸν λειποψυχίαν ποιεῖ καὶ ὡς μαραῖνον τὸ ἔλαττον, καὶ ὡς κωλῦον τὴν ἀναπνοήν, καὶ ἔτι ὡς μὴ παραχωροῦν τῇ καταψύξει εἴσοδον. Ὅτι διὰ τοῦτο ὡς ἐπὶ τὸ πολὺ λυόμενοι μὲν οὐ λειποψυχοῦσι, παυσάμενοι δὲ μᾶλλον, διότι τὴν ὑγρότητα τὴν γινομένην ἀπὸ 82 τῆς συντήξεως λουομένων μὲν θερμὴν εἶναι συμβαίνει, λουσαμένων δὲ ψύχεσθαι· ψυχρὰ δὲ οὖσα καὶ ἐμπίπτουσα κυρίοις τόποις ποιεῖ λειποψυχίαν. Εἰ μὴ ἄρα καὶ ἡ ἄνεσις αὐτὴ 83 τοῦ πνεύματος προεκλύει 84. Διότι καὶ 85 κατέχειν κελεύουσιν ἐν ταῖς λειποψυχίαις τὸ πνεῦμα· κωλύει γὰρ ὁ κατέχων ἐξιέναι τὸ θερμὸν, ὁ δ' ἀνιεὶς ἐνδίδωσιν. Ὅτι ὁ ῥαίνων ὕδατι τοὺς λειποψυχοῦντας, συμφράττων καὶ πυκνῶν τοὺς πόρους, καὶ συναθροίζων ἐντὸς τὸ θερμὸν (ἀντιπιριίσταται γὰρ) ὠφελεῖ 86. Ὅτι ἡδοναὶ καὶ λῦπαι ποιοῦσι λειποψυχίαν. Καὶ γὰρ ἀμφότεραι πλῆθος ὑγρότητος ἐπάγουσιν, ἡ μὲν ἡδονὴ τῷ συντήκειν καὶ διαχεῖν, ἡ λύπη δὲ τῷ πηγνύειν. Ὅταν οὖν ἡ ὑγρότης ῥυῇ πρὸς τὸν πνευματικὸν τόπον, ποιεῖ λειποψυχεῖν.

Ἐκ 87 τοῦ περὶ ἰλίγγων.

Ὅτι οἱ ἴλιγγοι γίνονται, ὅταν πνεῦμα ἀλλότριον εἰς τὴν κεφαλὴν ἔλθῃ ἢ ὑγρότης περιττωματική, ἢ ἀπό τινος τροφῆς, ὡς ἀπὸ τοῦ οἴνου, ἢ ἀπό τινος ἄλλου χυμοῦ· ἔτι δὲ καὶ ὅταν τις κινῇ τὴν κεφαλὴν κύκλῳ. Ὁ γὰρ τόπος [859 H] ὁ περὶ τὸν ἐγκέφαλον ὑγρὸς ὤν, ὅταν δέξηταί τι πλέον 88 ἀλλότριον, [1569 R.] τὸ δὲ βιάζηται 89 διαδυόμενον 90 πρὸς τὰς φλέβας, ὠθεῖ κύκλῳ τὸ προϋπάρχον ὑγρόν. Οὔσης δὲ οἷον δίνης τῆς φορᾶς, καὶ τοῦ ὑγροῦ μὴ συνεχοῦς, ἀλλ' ἐν τῇ κινήσει τοῦ 91 μὲν προλαμβάνοντος 92 τοῦ δὲ ὑστεροῦντος διὰ τὸ μὴ ἰσορρόπως ὁμοίως, τὸν ἴλιγγον ποιεῖ καὶ καταβάλλει πολλάκις 93.

Ὅτι τὰ ὠμὰ ὠὰ διὰ τοῦτο οὐ δινεῖται 94, ὥσπερ τὰ ἑφθὰ 95, διότι τὰ μὲν ὑπὸ τῆς ὑγρότητος ἀνωμάλου καὶ οὐκ ἰσορρόπου οὔσης σφάλλεται, τὰ δ' οὔ 96, διὰ τὸ μὴ ἔχειν τὸ σφάλλον ὑφιστάμενον ἑνὸς ὄντος καὶ συνεχοῦς τοῦ ἐντός. Ἐκ δὲ τῆς αὐτῆς θεωρίας ἐπιλύεται καὶ τὸ διὰ τί κύκλῳ

VARIÆ LECTIONES.

80 ἐν ἡμῖν] θερμὸν addit Schneiderus. 81 τό om. A: idem add. θερμὸν et 16, τὸ. 82 ἀπὸ] ἐκ A. 83 αὐτὴ ς. 84 προσεκλύει ς. 85 καὶ add. A. 86 γὰρ ὠφελεῖ om. A. 87 ἐκ A : τοῦ αὐτοῦ ἐκ ς. post ἰλίγγων cum B. misi λόγου. 88 πλέον], apud Theophrastum πνεῦμα. 89 βιάζεται ς. 90 διαδ. καὶ πρὸς ς. 91 τοῦ], τὸ A. 92 προσλαμβάνοντος ς. 93 post πολλάκις cum B. omisi titulum : Διὰ τί τὰ ὠμὰ ὠὰ οὐ περιδινεῖται. 94 περιδινεῖται ς. 95 ὥσπερ τὰ ἑφθά et 5, τῆς add. A. 96 δ' οὔ Schneiderus post Furlanum ; δὲ ς.

Digitized by Google Распознавание текста ABBYY FR

περιπατοῦντες ἰλιγγιῶσι, καὶ ὅτι μᾶλλον, ἐὰν 97 ἐν ἐλάττονι κύκλῳ, καὶ ἔτι ἐὰν θᾶττον θέωσι, καὶ ὅτι, εἰ μετὰ πολλῶν, μᾶλλον ἢ μόνοι, καὶ διὰ τί ἐπ' ἀριστερὰ 98 θέοντες μᾶλλον ἢ ἐπὶ δεξιά 99. Πάντων γὰρ τούτων καὶ τῶν ὁμοίων προείρηται ἡ αἰτία. Εἰ γὰρ ὁ ἴλιγγος γίνεται, ἐάν τις ἐν τῷ αὐτῷ στρέφῃ τὴν κεφαλήν, δῆλον ὡς εἴ τις ἐγγὺς τούτου στρέφοιτο, τάχιστα καὶ μαλιστα τῶν ἄλλων ἰλιγγιᾷη. Ἐγγυτάτω δὲ ὁ ἐν ἐλάττονι κύκλῳ στρέφων τὴν κεφαλὴν, καὶ ὅσον ἂν θᾶττον, μᾶλλον. Διόπερ καὶ οἱ θέοντες τῶν περιπατούντων μᾶλλον ἰλιγγιῶσι, καὶ οἱ ταχέως τῶν βραδέως· θέουσι γὰρ ἐγκεκλικότες πρὸς τὸ κέντρον [μᾶλλον [1] ἰλιγγιῶσιν]. Οἱ δ' ἐπ' ἀριστερὰ θέοντες τῶν ἐπὶ δεξιὰ [2] μᾶλλον, διότι ὀξυτέραν γωνίαν ποιοῦσι πρὸς τὸν κύκλον· ἐμβριθέστερα γὰρ ὄντα τὰ δεξιὰ προσβιάζεται μᾶλλον ἐντὸς διὰ τὴν ἀσθένειαν τῶν ἀριστερῶν. Καὶ οἱ μετὰ πολλῶν θέουσι, μᾶλλον ἢ μόνοι, διότι πρὸς τῇ κύκλῳ περιφορᾷ καὶ ἡ ὄψις προσβάλλουσα τοῖς θέουσι, μὴ συνεχὴς οὖσα, ποιεῖ τινὰ κίνησιν ἐν τῷ ἐγκεφάλῳ καὶ ταραχήν· διὸ [3] ἰλιγγιῶσι μᾶλλον, διὰ τὸ διπλῆν τὸν ἐγκέφαλον ὑφίστασθαι κίνησιν, τήν τε ἀπὸ τῆς περιδινήσεως, καὶ ἣν ἡ ὄψις παθοῦσα τῷ ἐγκεφάλῳ παρέπεμψεν. Ὅτι δὲ διὰ τὴν τῆς ὄψεως κίνησιν ἰλιγγιῶσι πολλάκις, φανερὸν ἐκ πολλῶν. Οἵ τε γὰρ πλέοντες θᾶττον καὶ μᾶλλον [4] ἰλιγγιῶσιν, ἐπειδὰν τοῖς κύμασιν ἐμβλέψωσιν, καὶ οἱ τὰς αἰώρας καὶ οἱ τοὺς [5] τροχοὺς θεωροῦντες ταχὺ σκοτοῦνται. Ἰλιγγιῶσι δὲ καὶ οἱ πρὸς τὰ ὑψηλὰ καὶ μεγάλα καὶ ἀπότομα ἀποβλέποντες, διὰ τὸ συμβαίνειν μακρὰν τεινομένην σείεσθαι καὶ κραδαίνεσθαι τὴν ὄψιν· σειομένη δὲ καὶ κραδαινομένη ταράττει καὶ κινεῖ τὰ ἐντός. Τοῖς δ' ἄνω βλέπουσιν οὐ συμβαίνει τὸ πάθος, διὰ τὸ μὴ ἀποτείνειν μακρὰν ἀλλ' ἀποτέμνεσθαι [6] τῷ φωτί. Γίνονται ἴλιγγοι καὶ ὅταν βλέπωσι συνεχῶς καὶ ἐνατενίζωσιν. Ὃ καὶ διαπορεῖται, τί δή ποτε [7] κύκλῳ κινουμένης τῆς ὄψεως καὶ ἠρεμούσης τὸ αὐτὸ πάθος συμβαίνει. Τὸ δ' αἴτιον τῆς μὲν κύκλῳ φορᾶς [860 H.] εἴρηται· διὰ τί δὲ ἐν τῇ ἐπιστάσει καὶ τῷ ἀντενισμῷ τὸ αὐτὸ συμβαίνει πάθος [8]; διότι τὰ ἐν τῇ κινήσει σωζόμενα ἡ στάσις διίστησι. Στάσης οὖν τῆς ὄψεως, καὶ τὰ ἄλλα συνεχῆ τὰ ἐν τῷ ἐγκεφάλῳ ἵσταται. Ἱστάμενα δὲ, συνδίσταται [9] καὶ χωρίζεται τὰ βαρέα, καὶ καταβαρύνει, καὶ ποιεῖ τὸν ἴλιγγον. Καὶ ἡ κύκλῳ φορὰ δὲ διίστησι τὰ βαρέα καὶ τὰ κοῦφα. Ποιεῖ δὲ καὶ τὸ κύπτειν ἰλίγγους· καὶ γὰρ ἐν τῷ κύπτειν χωρίζεται τὰ βαρέα καὶ τὰ ἐλαφρὰ, τὰ μὲν ἄνω, τὰ δὲ κάτω· δεῖ δὲ ἅμα εἶναι, [1572 R] καθάπερ ἐλέχθη. Ποιεῖ δὲ τὸ πάθος καὶ πλησμονὴ καὶ ἔνδεια, ἡ μὲν ἔνδεια σύντηξιν, ἡ δὲ πλησμονὴ περίττωσιν ποιοῦσα, ὥστε πλήρεις γίνεσθαι [10] τοὺς πόρους. Ἀναιοῦσα γὰρ παρ' αὐτὰ [11] καὶ καταβαίνει, καὶ διίστησι τὰς περιόδους· ὅπερ ἐστὶν ἴλιγγος. Ὅτι καὶ αἱ μέθαι καὶ αἱ φαρμακεῖαι καὶ τὰ παραπλήσια ποιοῦσιν ἰλίγγους· ἡ γὰρ ὑγρότης

patiuntur, et magis si in parvo circo. Et adhuc si celeriter currant, et quod, si cum aliis, magis quam soli. Et quare in sinistram currentes, potius quam in dextram. Omnium enim horum et similium causa dicta est. Si enim vertigo fit, si quis eodem verterit caput, manifestum est quod si quis juxta hunc similiter vertatur, celerrime et maxime ante alios vertiginem patiatur. Proxime vero qui in minore circulo caput vertit, et quo celerius, eo magis. Ideo et currentes magis quam ambulantes vertiginem patiuntur, et qui celerius magis quam qui tardius (currunt enim inclinantes ad centrum). Qui vero in sinistram currunt, potius quam ii qui in dextram, quod acutiorem angulum faciant ad circulum. Graviora enim cum sint dextra, magis ad interiorem partem vi tendunt, propter imbecillitatem partium sinistrarum, et si cum multis currunt, magis quam qui soli : propterea quod ad circumferentiam circuli aspectus accedens currentibus non continuus, facit aliquem motum et turbationem in cerebro. Ideo vertiginem magis patiuntur, eo quod dupliciter moveatur cerebrum, partim agitatione in gyrum, partim aspectu in cerebrum delato. Quod autem propter oculorum motum sæpe vertiginem multi patiantur, ex multis patet. Navigantes enim celerius et magis vertiginem patiuntur, cum fluctus intuentur, et agitationes et trochos videntes, statim tenebras patiuntur. Vertiginem quoque patiuntur ii, qui profunda admodum et prærupta aspiciunt, quod contingat oculos longius extensos moveri et agitari : oculi vero moti et agitati turbant et movent interiora ; qui vero superna aspiciunt, hoc non contingit, quia non longe aspiciunt, sed lumine impediuntur. Fiunt vertigines, quando continuo rem unam 527*a* aspiciunt. Illud autem dubium est, cur interdum oculo in orbem agitato, et quiescente idem usu veniat? Causa vero motus illius in circulo, dicta est. Cur vero in attentione et in continuo aspectu iste dolor contingat? quod quæ in motu salva erant, statio ac quies agitat. Stantibus igitur oculis, et alia continenter in cerebro stant. Stantia vero dividuntur, et separantur gravia, et gravantur et faciunt vertiginem. Et cursus in gyrum separat gravia a levibus. Facit vero oculorum demissio etiam vertigines. Nam demissione oculorum separantur gravia a levibus. Hæc quidem sursum, illa vero deorsum feruntur. Oportet vero simul esse, ut dictum est. Vertiginem quoque affert abundantia et indigentia. Indigentia consumptionem, abundantia superfluitatem facit, ut pleni sint pori. Hæc enim ubi ascendit, mox descendit, et dividit circuitus : hinc vertigo. Ebrietates et veneficium, et alia similia, vertigines faciunt. Humor enim aliunde incidens, turbatio-

VARIÆ LECTIONES.

97 ἐὰν om. B. 98 ἀριστερᾷ. 99 δεξιᾷ ς. [1] μᾶλλον] διὸ μᾶλλον B. [2] ἐπὶ τὰ δεξιὰ A. 3 διότι ς. [4] μᾶλλον καὶ θᾶττον B. οἱ ante τοὺς add. A. [6] ὑποτέμνεσθαι B. [7] ποτε A : που ς. [8] πάθος συμβαίνει ς. [9] συνίστανται A. [10] γίνεσθαι apud Theophrastum est : hic γένεσθαι ς. [11] καὶ post αὐτὰ om. A. [12] ἀλλοτρία ap. Theophrastum.

Digitized by Google Распознавание текста ABK/FR

nes creat. Stantes magis quam sedentes vertiginem patiuntur. Nam quiescentium humor in capite magis consistit. Quando vero iidem moventur, humor dissipatur, et in unam partem incidens vertiginem facit.

Ejusdem de lassitudine.

Descendentium, loco declivi, femora maxime lassantur, ascendentium contra tibiæ : quia in ascensu labor est elevandi corporis onus. Cui igitur onus incumbit, et a quo tollitur, ejus maximus est labor. At in descendendo labor fit, quia corpus decidit, et contra naturam portatur Quapropter in quod magis incidit pondus, huic maximus quoque est labor. Verum ut tibiæ descendendo magis laborant, sic femora in ascendendo. Quod autem gravia deorsum ferantur, difficilius est ascendere, quam descendere. Molestius est brachio per vacuum jacere lapidem, vel aliud quid grave, quia magis convellit. Non enim incumbit alicui, quemadmodum qui jacit, ponderi quod in manu est.

Æquales viæ magis defatigant, quam inæquales, quod nimius motus faciat lassitudinem ; nimius autem, 527*b* continuus, et unus : inæquales vero propter mutationes quietem afferunt : in æqualibus vero, similitudo figuræ facit continuum motum. Defessi semen ægrius continent, quia calida et humida sunt corpora propter consumptionem. Tale vero quid est seminalis vis. Qui supini jacent, solutionis virium habent causam, iis cooperatur situs ille ad nocturnam seminis emissionem. Corpora humida magis laboriosa sunt quam dura, quia imbecilliora, et si alio modo dura sint, audaciora.

Ejusdem de animantibus, quæ cum copia visuntur.

Animantium (23') quæ cum copia visuntur, non eadem est omnium causa : sed alia horum generantur subito, ut muscæ, quæ in exercitibus et hominum frequentia, et hisce finitis, plures præterea fiunt. Fimus enim et aliarum rerum putredo, harum ortus causa. Alia vero prius quidem exsistunt, sed apparent post pluvias, ut cochleæ, et parvæ ranæ. Non enim pluvia deciduut, ut nonnulli putant, sed tunc prodeunt, cum antea in terra fuerint, quod aqua in eorum foramina influat. Est et aliud ranarum genus præter eas quæ in lacubus et paludibus sunt. Multitudinem autem harum et aliarum [animantium] gignit ipsarum prosperitas. Potius post finem conventuum et exercituum quam dum adhuc durant, muscæ oriuntur. Contingit enim, iis præsentibus, propter quotidianos usus et motus,

A ἡ ἀλλοτρίως [12] ἐμπίπτουσα ποιεῖ τὴν ταραχήν. Ὅτι ἀνιστάμενοι μᾶλλον ἢ ἐκθίζοντες ἰλιγγιῶσι, διότι ἠρεμούντων μὲν συνίσταται τὸ ὑγρὸν ἐν τῇ κεφαλῇ πλέον, ὅταν δὲ κινῶνται, διίσταται, καὶ εἰς ἓν μόριον ἐμπῖπτον ποιεῖ τὸν ἴλιγγον.

Τοῦ αὐτοῦ [13] ἐκ τοῦ περὶ κόπων.

Ὅτι καταβαίνοντες μὲν τόπον κατάντη τοὺς μηροὺς μάλιστα πονοῦσιν, ἀναβαίνοντες δὲ τὰς κνήμας, διότι κατὰ μὲν τὴν ἀνάβασιν ὁ πόνος τοῦ αἴρειν φορτίον τὸ σῶμα γίνεται· ᾧ οὖν ἐπίκειται τὸ βάρος καὶ ᾧ αἴρεται, τούτῳ μάλιστα ὁ πόνος. Ἐν δὲ τῷ καταβαίνειν ὁ πόνος ἐν τῷ ἐμπίπτειν γίνεται τὸ σῶμα καὶ παρωθεῖν παρὰ φύσιν· ὥστε οὖν ᾧ μάλιστα ἐμπίπτει καὶ σκλεύει, τούτῳ μάλιστα καὶ τὸν πόνον ἐμποιεῖ. Ὡς οὖν ἡ κνήμη μᾶλλον ἐν τῷ ἀναβαίνει [14] κοπιᾷ, οὕτως ὁ μηρὸς ἐν τῷ καταβαίνειν. Διότι δὲ τὰ βάρη κάτω φέρεται, χαλεπώτερον τὸ ἀναβαίνειν τοῦ καταβαίνειν [15]. Ὅτι κοπιαρώτερον τῷ βραχίονι διὰ κενῆς ῥίπτειν ἢ λίθον ἢ ἄλλο τι βάρος, διότι σπασματωδέστερον. Οὐ γὰρ ἀπερείδεται, καθάπερ ὁ βάλλων, πρὸς τὸν ἐν τῇ χειρὶ ὄγκον.

Ὅτι οἱ ὁμαλοὶ [16] περίπατοι τῶν ἀνωμάλων κοπιαρώτεροι, διότι ἡ πολλὴ κίνησις ποιεῖ κόπον· πολλὴ δ' ἡ συνεχὴς καὶ μία. Αἱ [17] δ' ἀνώμαλοι κατὰ τὰς μεταβολὰς ποιοῦσιν ἀνάπαυσιν· ἐν δὲ τοῖς ὁμαλοῖς [18] ἡ ὁμοιότης τοῦ σχήματος ἀπεργάζεται συνεχῆ τὴν κίνησιν. Ὅτι ἐξονειρωτικοὶ οἱ κοπιῶντες, διοτι θερμὰ καὶ κάθυγρα τὰ σώματα γίνεται διὰ τὴν σύντηξιν. Ἡ δὲ τοιαύτη διάθεσις σπερματική. Ὅτι καὶ ὕπτιοι κατάκεινται διὰ τὴν ἔκλυσιν. Συνεργεῖ δὲ τὸ σχῆμα τοῦτο καὶ πρὸς τοὺς ἐξονειρωγμούς. [861 H.]

C Ὅτι τὰ ὑγρὰ σώματα κοπιαρώτερα τῶν σκληρῶν, διότι ἀσθενέστερα, εἰ καὶ ἄλλον τρόπον τὰ σκληρὰ εὐθρυστότερα [19].

Τοῦ αὐτοῦ [20] ἐκ τοῦ περὶ τῶν ἀθρόως φαινομένων ζώων.

Ὅτι τῶν ἀθροον [21] φαινομένων ζώων οὐχ ἡ αὐτὴ πάντων αἰτία, ἀλλὰ τῶν μὲν καὶ ἡ γένεσις εὐθὺς φανερὰ, ὥσπερ τῶν μυιῶν [22], αἳ ἐν τοῖς στρατοπέδοις καὶ ἐν ταῖς πανηγύρεσι καὶ μετὰ τὸ παρελθεῖν αὐτὰ ἔτι μᾶλλον γίνονται· τούτων γὰρ ἥ τε κόπρος αἰτία καὶ ἡ τῶν ἄλλων σῆψις. Ἄλλα δὲ προϋπάρχει μὲν, ἐκφαίνεται [23] δὲ διὰ τοὺς ὑετοὺς, ὥσπερ οἵ τε κοχλίαι καὶ οἱ μικροὶ βάτραχοι· οὐ γὰρ ὄντες, ὥς τινες ᾠήθησαν, ἀλλὰ προφαίνονται μόνον, κατὰ γῆς ὄντα D πρότερον, διὰ τὸ εἰσρεῖν τὸ ὕδωρ εἰς τὰς θαλάμας αὐτῶν. Ἄλλο δὲ γένος ἐστὶ τοῦτο βατράχων παρὰ τὸ ἐν ταῖς λίμναις καὶ τοῖς τέλμασι. Τὸ δὲ πλῆθος καὶ τοῦτο καὶ τῶν ἄλλων, ὅταν εὐθηνήσωσιν. Ὅτι μᾶλλον [24] μετὰ τὰς διαλύσεις καὶ τῶν πανηγύρεων καὶ τῶν σαρατοπέδων, ἢ ἔτι συνισταμένων, αἱ μυῖαι [25] γίνονται. Συμβαίνει γὰρ παρόντων μὲν διὰ τὰς καθ-

VARIÆ LECTIONES.

[12] τοῦ αὐτοῦ om. A. [14] ἀναβαίνειν. [15] καταβαίνειν B : καταβαίνειν — ἀναβαίνειν ς. [16] ὁμ λεῖς B. [17] αἱ] malim οἱ. [18] ὁμαλέσιν A. [19] εὐθρυστότερα B, εὐθρασέστερα ς. A quid habeat, non liquet. [20] Τοῦ αὐτοῦ om. A. [21] ἀθρόως B. [22] μυῶν A. [23] ἐκφ. δὲ A ; καὶ ἐκφ. ς. [24] ὅτι μᾶλλον — 528 *b* 37. [25] αἰτίας om. B. μῦαι A.

NOTÆ.

(23') Vide Luciani de musca libellum, et Giraldum de Diis gentium.

Digitized by Google Распознавание текста ABK/FR

Neque alienum me id facere puto in hoc prævio sermone ad Photii opus, ubi tanta legum civilium ad canones accessio fit. Sic ergo liber synodicus f. 102 seqq. : Ἐκ δὲ τῶν πολιτικῶν νόμων, εἰ καὶ μὴ τῷ ἐκείνων ζυγῷ τὰ ἐκκλησιαστικὰ ταλαντεύεται, ὅμως πρὸς σαφήνειαν τῶν ἱερῶν, εἰ δοκεῖ, κανόνων τὰ περὶ τῆς ψήφου θεωρῆσαι οὐκ ἄκαιρον· ἔχει δὲ ὁ περὶ ταύτης νόμος οὕτως· « Εἰ δὲ οἱ ὀφείλοντες « τὰ ψηφίσματα ποιεῖν, ἐντὸς μηνῶν ἐξ μὴ ποιή- « σουσι, τηνικαῦτα τῷ κινδύνῳ τῆς ἰδίας ψυχῆς « ἐκεῖνος ᾧ ἁρμόζει τὸν ἐπίσκοπον χειροτονείτω (c). » Σαφὴς ὁ λόγος· ἄλλοι γάρ εἰσιν οἱ ψηφιζόμενοι, καὶ ἕτερος ὁ χειροτονῶν. Ἀλλὰ τοῦτο διὰ λαϊκοὺς εἰρῆσθαι δοκεῖ· ἐκείνοις γὰρ ὁ νόμος τὰς ψήφους ἀπεναντίας τῶν κανόνων ἐπιτρέπει· ὅπερ οὐδέποτε κρατῆσαν φαίνεται, ἀλλ' ἐν γράμμασι μόνον κεῖται, ἄπρακτα κεκραγότων αὐτῶν, διὰ τὸ παρὰ τῶν Πατέρων ἀπὸ τῆς Ἐκκλησίας ἀεί, ὡς ἄλλο ἀὐλόν τι ἐξελαύνεσθαι τὸ τοιοῦτον ἐπίταγμα· οὐδὲν γὰρ κοινὸν πνεύματι καὶ μαχαίρᾳ. Εἰ δὲ καὶ περὶ τῶν ἐπισκόπων λέγει, ἀλλ' οὐδὲν διὰ τοῦτο τῇ Ἐκκλησίᾳ πρόκριμα· ἀδύνατον γὰρ δίχα ψηφίσματος ἐπισκοπικοῦ χειροτονίαν προβῆναι· τέως δὲ τοῦτο περὶ τῶν πολιτικῶν νόμων. Εἰ γὰρ ἑνὸς ἐπισκόπου ἢ πρεσβυτέρου ἢ διακόνου ψῆφον οὐκ ἀνέχονται οἱ θεῖοι Πατέρες παρὰ λαϊκῶν προβῆναι, πῶς ὑποστήσονται αὐτὴν ἐκείνην τὴν τὰς ψήφους καὶ χειροτονίας ὅπως ὀφείλουσιν γίνεσθαι νομοθεσίαν καὶ διδασκαλίαν παρὰ λαϊκῶν ἐκτιθεμένων παραδέξασθαι; Εἰ γὰρ τοῦτο δειχθείη, οὐ πνευματικῶς πάντως, ἀλλ' ἀνθρωπίνως τὰ θεῖα πραχθήσονται, τῶν ψηφιζομένων καὶ χειροτονουμένων ἐκ τότε πάντων ἀνθρωπίνοις καὶ οὐ θείοις ἐντάλμασι τελουμένων· ἐξ οὗ καὶ ἄλλο τι συμβήσεται. Τῶν γὰρ μεταγενεστέρων ἴσως δυσαρεστουμένων ἐπὶ τοῖς περὶ ἐκκλησιαστικῶν γεγραμμένοις, εἴτε διὰ φιλοτιμίαν, τυχὸν δὲ καὶ διὰ γνώμην οὐκ ὀρθὴν, θελόντων φῦραι καὶ συγχέαι τὰ περὶ τῆς πίστεως ἡμῶν θεῖα διδάγματα, λαμβανόντων ἀφορμὴν ἐκ τοῦ γράψαι τινὰς τῶν πρὸ αὐτῶν περὶ τούτων, νομοθετήσουσι καὶ αὐτοὶ πῶς μὲν ὀφείλει τὸ βάπτισμα γίνεσθαι, ὡς οὐκ ἀρεστῶς αὐτοῖς ἄρτι τελουμένου· πῶς δὲ ἡ τῆς θείας μυσταγωγίας ἱερουργία ἐπιτελεσθήσεται· καὶ ἄλλος περὶ ἄλλου, καὶ πάντες περὶ πάντων· οὐ γὰρ στήσεται τὸ κακὸν, ἀρχῆς δοθείσης ἀτόπου, μέχρις ἂν ὑπορύττειν αὐτὸ τὸ τῆς Τριάδος καὶ παραχαράττειν τολμήσουσι τῆς εὐσεβείας μυστήριον· ἀλλ' ὧν ἵνα μὴ ταῦτα γένηται, οὐδείς που νόμος πολιτικὸς οὐδαμῶς οὐδέποτε τοῦ Πνεύματος περιεγένετο· ἀλλ' ὥσπερ τὰ νεκρὰ κυοφορούμενα βρέφη, αὐταῖς ἐναποθνήσκει ταῖς μήτραις, οὕτως καὶ τῶν πολιτικῶν νόμων ὅσοι τοῖς τοῦ Πνεύματος ἀντιφθέγγονται, νεκροὶ καὶ ἀνεβιάτοι αὐτόθεν ἐξ αὐτῆς ἀρχῆς ἐκφέρονται.

In civilibus autem legibus, quanquam non ad harum lancem ecclesiastica res librantur, nihilominus ad illustrandos si placet canones, ea quæ de suffragiis sive electione dicuntur, considerare non est intempestivum. Sic ergo de electione lex : « Quod si ii, qui suffragia conferre debent, intra semestre tempus id minime fecerint, tunc animæ suæ periculo, is ad quem pertinet, episcopum ordinet. » Perspicua sententia est : etenim alii sunt qui suffragia conferunt, alius qui ordinat. Verum hæc de laicis dicta videntur ; namque his lex, contra canonum auctoritatem, suffragia permittit : quæ res tamen firmitatem nullam obtinuit, sed in scriptis otiosa jacet : frustra enim clamitant leges, propterea quod Patres mandata hujusmodi, tanquam aliena et obtrusa, ex Ecclesia repulerunt. Non enim quidquam commune habent spiritus et gladius. Quod si forte de episcopis loquitur lex, nullum hinc præjudicium contra Ecclesiam conflatur, quandoquidem sine episcopali suffragio ordinatio nulla peragitur. Sed hactenus de civilibus legibus. Nam si vel unius episcopi, aut presbyteri aut diaconi electionem non patiuntur Patres a laicis procedere, quomodo hi legem vel doctrinam a laicis proponi tolerarent, quæ electionem atque ordinationum normam præscriberet? Si enim hoc eveniret, jam non spiritaliter, sed humanitus res divinæ administrarentur : siquidem exinde tum electiones omnes tum ordinationes humanis non divinis jussibus fierent. Ex quo alia quoque consectanea deducerentur : fortasse enim posteri nostri ægre ferentes ea quæ in jure ecclesiastico scripta sunt, sive ambitione inflati, sive etiam ob mentis aliquam pravitatem, perturbare et confundere divinos fidei nostræ articulos volent ; captantesque ansam ex iis qui ante ipsos scripserunt, leges et ipsi statuent, quomodo baptisma administrari debeat, ceu si minime ipsis placeret quod hactenus est factitatum : item quo ritu sacræ missæ liturgiam perfici oporteat ; sicque alius alia præscriberet, cunctique de omnibus statuere vellent. Neque enim ullus esset mali finis, si hoc absurdum initium fieret, donec ipsum audacter suffoderent Trinitatis mysterium atque universam delerent religionem. Quamobrem ne talia eveniant, nullam uspiam ullo tempore civilem legem dominari spiritui concessum fuit ; sed veluti emortui conceptui in ipsis exstinguuntur uteris, sic quæcunque civiles leges spiritui contradicunt ; cassæ viribus jam usque ab origine mortuæque pariuntur.

Postremum monitum ad lectorem sit, nihil in Photii *Syntagmate* esse schismaticum, nihil studio partium dictum ; prisci enim tantummodo Ecclesiæ canones recitantur ; ne quis forte imperitus, audito nomine Photii, repente pallescat.

NOTÆ.

(c) Apud nos in *Syntagmate*, p. 49 ex *Novellis*.

Digitized by Google Распознавание текста ABK/FR

PHOTII

PATRIARCHÆ CONSTANTINOPOLITANI

SYNTAGMA CANONUM.

ΤΙΤΛΟΣ Α'.

ΠΕΡΙ ΘΕΟΛΟΓΙΑΣ, ΚΑΙ ΟΡΘΟΔΟΞΟΥ ΠΙΣΤΕΩΣ, ΣΑΙ ΚΑΝΟΝΩΝ, ΚΑΙ ΧΕΙΡΟΤΟΝΙΩΝ.

TITULUS I.

DE THEOLOGIA, ET FIDE ORTHODOXA, ET CANONIBUS ATQUE ORDINATIONIBUS.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ. — Περὶ θεολογίας καὶ ὀρθοδόξου πίστεως. A

Ἀποστόλων κανὼν μθ', ν'.

μθ'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, κατὰ τὴν τοῦ Κυρίου διάταξιν, μὴ βαπτίσει εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, ἀλλ' εἰς τρεῖς ἀνάρχους, ἢ εἰς τρεῖς υἱοὺς, ἢ εἰς τρεῖς παρακλήτους, καθαιρείσθω.

ν'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, μὴ τρία βαπτίσματα μιᾶς μυήσεως ἐπιτελέσει, ἀλλ' ἓν βάπτισμα τὸ εἰς τὸν θάνατον τοῦ Κυρίου διδόμενον, καθαιρείσθω· οὐ γὰρ εἶπεν ὁ Κύριος, Εἰς τὸν θάνατόν μου βαπτίσατε· ἀλλὰ, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. B

Συνόδου Κωνσταντινουπόλεως κανὼν α', ε'.

α'. Μὴ ἀθετεῖσθαι τὴν πίστιν τῶν Πατέρων, τῶν τιη', τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας συνελθόντων, ἀλλὰ μένειν ἐκείνην κυρίαν, καὶ ἀναθεματισθῆναι πᾶσαν αἵρεσιν· καὶ ἰδικῶς, τὴν τῶν Εὐνομιανῶν, εἴτουν Ἀνομοίων· καὶ τὴν τῶν Ἀρειανῶν, εἴτουν Εὐδοξιανῶν· καὶ τὴν τῶν Ἡμιαρείων, εἴτουν Πνευματομάχων· καὶ τὴν τῶν Σαβελλιανῶν, καὶ τὴν τῶν Μαρκελλιανῶν, καὶ τὴν τῶν Φωτεινιανῶν, καὶ τὴν τῶν Ἀπολιναριανῶν.

ε'. Περὶ τοῦ τόμου τῶν Δυτικῶν καὶ τῆς ἐν Ἀντιοχείᾳ, ἀπεδεξάμεθα τοὺς μίαν ὁμολογοῦντας Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος θεότητα.

Συνόδου Ἐφέσου κανὼν ζ'.

ζ'. Τούτων τοίνυν ἀναγνωσθέντων, ὥρισεν ἡ ἁγία C σύνοδος ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προσφέρειν,

1 CAPUT PRIMUM. — *De theologia et fide orthodoxa.*

Apostolorum canones 49, 50.

49. [48] Si quis episcopus vel presbyter ex Domini ordinatione non baptizaverit in nomine Patris, et Filii, et Spiritus sancti, sed in trium principii expertium, vel trium filiorum, vel trium paracletorum, deponatur.

50. [49] Si quis episcopus vel presbyter, non tria unius mysterii baptismata perfecerit, sed unum baptismum, qui datur in mortem Domini, deponatur. Non enim dixit Dominus : In mortem meam baptizate : sed, *Ambulantes docete omnes gentes, baptizantes ipsos in nomine Patris, et Filii, et Spiritus sancti* [1].

Concilii Constantinopolitani canones 1, 5.

1. Trecentorum decem et octo Patrum qui Nicææ convenerunt fidem non abrogari, sed firmam ac stabilem manere oportere, et omnem hæresim anathematizari, et specialiter Eunomianorum, sive Anomœorum, et Arianorum, [2] sive Eudoxianorum, et Semiarianorum, sive Spiritus sancti adversariorum, et Marcellianorum, et Photinianorum, et Apollinaristarum.

5. De libello (1) Occidentalium, etiam eos suscepimus, qui Antiochiæ unam Patris, et Filii, et Spiritus sancti deitatem confitentur.

Concilii Ephesini canon 7.

7. His igitur perlectis, statuit sancta synodus, alteram fidem nemini licere proferre, aut conscribere,

[1] Matth. XXVIII, 19.

NOTÆ.

(1) Definitionem intellige fidei Nicænæ ab episcopis Occid. Sardicæ firmatam, teste Balsamone.

Digitized by Google Распознавание текста ABK/FR

aut componere, præter definitam a sanctis Patribus qui in Nicæa cum Spiritu sancto congregati fuerunt.

Concilii Carthaginensis canon 2.

2. *De Trinitate prædicanda*, universum concilium dixit : Deo propitio, pari professione fides ecclesiastica, quæ per nos traditur in hoc cœtu glorioso, primitus confitenda est ; tunc demum ordo ecclesiasticus singulorum ex consensu omnium est asservandus. Ad corroborandas autem fratrum et coepiscoporum nostrorum nuper promotorum mentes, ea proponenda sunt, quæ a Patribus certa dispositione accepimus, ut Trinitatis, quam nostris in sensibus consecratam retinemus, Patris, et Filii, et Spiritus sancti unitatem, quæ nullam noscitur habere differentiam, sicuti didicimus,ita Dei populos instruamus.Item ab universis episcopis nuper promotis dictum est: Plane sic accepimus, sic tenemus sic docemus, fidem evangelicam cum vestra doctrina sequentes.

Concilii œcumenici VI *canones* 1, 73, 81.

1.Ordo est optimus ei,qui omnem orationem et rem incipit,et a Deo incipere.et in Deum desinere, ut dicit Theologus. Quocirca cum et pietas a nobis clare prædicetur, et Ecclesia, in qua Christus est fundamentum, assidue augeatur,ac promoveatur, ut ea supra cedros Libani extollatur : et nunc sacros canones ordientes,statuimus fidem a Verbi ministris, quique ipsum suis oculis viderunt, et a Deo electi sunt,apostolis traditam, citra ullam innovationem immutabiliterque ac inviolabiliter esse servandam.Præterea autem et trecentorum decem et octo sanctorum Patrum qui Nicææ convenerunt sub Constantino, qui fuit noster imperator, adversus impium Arium,et gentilem ab eo dogmatizantem deitatis diversitatem,vel deorum potius, ut aptius dicam,multitudinem: qui nobis unanimi fidei agnitione consubstantialitatem,in tribus divinæ naturæ consistentibus personis, et revelaverunt, et declararunt, hanc sub ignorantiæ modio absconditam esse non sinentes; sed Patrem, et Filium,et Spiritum sanctum una adoratione fideles adorare aperte docentes; et ab hæreticis ex arena constructa adversus rectam opinionem puerilia lndibria dejicientes et subvertentes. Similiter et eam, quæ sub Theodosio majore,qui fuit noster imperator,a centum quinquaginta sanctis Patribus,qui in hac urbe imperante convenerunt, prædicata est,fidem confirmamus,de Spiritu sancto voces quæ eum Deum esse statuunt,amplectentes, et profanum Macedonium una cum prioribus veritatis inimicis expellentes; ut qui eum qui dominatur,servum esse decernere ausus sit; et insectilem unitatem secare 4 prædonis more voluerit, ut non esset perfectum fidei [G. spei] nostræ mysterium : una etiam cum isto odioso ac detestabili, quique adversus veritatem fuit rabie percitus, etiam Apollinarem ejusdem iniquitatis mysten una condemnantes : qui Domi-

ἤγουν συγγράφειν ἢ συντιθέναι, παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν ἁγίων Πατέρων τῶν ἐν τῇ Νικαέων συναχθέντων σὺν ἁγίῳ Πνεύματι.

Συνόδου Καρθαγέννης κανὼν β'.

β'. Περὶ κηρυκτέας τῆς ἁγίας Τριάδος, σύμπασα ἡ σύνοδος εἶπεν · Θέλοντος τοῦ Θεοῦ, ἴσῃ ὁμολογίᾳ ἡ ἐκκλησιαστικὴ πίστις ἡ δι' ἡμῶν παραδιδομένη ἐν ταύτῳ τῇ ἐνδόξῳ συνελεύσει πρωτοτύπως ὁμολογητέα ἐστί. Βεβαιωτέας δὲ τὰς τῶν ἀδελφῶν καὶ συνεπισκόπων ἡμῶν, τῶν ἔναγχος χειροτονηθέντων διανοίας · ταῦτα δεῖ προσθεῖναι ἃ παρὰ τῶν Πατέρων βεβαίᾳ διατυπώσει παρελάβομεν, ὥστε τῆς Τριάδος, τουτέστι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος τὴν ἑνότητα. τὴν μηδεμίαν ἔχειν διαφορὰν γινωσκομένην · ἣν ταῖς ἡμετέραις διανοίαις ἐγκαθιερωθεῖσάν κατέχομεν · καὶ καθὼς ἐμάθομεν, οὕτω τοὺς λαοὺς τοῦ Θεοῦ διδάξωμεν. Ὁμοίως ἀπὸ πάντων τῶν ἐπισκόπων τῶν ἔναγχος προαχθέντων, ἐλέχθη φανερῶς · Οὕτως δεχόμεθα, οὕτως κατέχομεν, οὕτως διδάσκομεν, τῇ πίστει τῇ εὐαγγελικῇ ἅμα τῇ ὑμετέρᾳ διδασκαλίᾳ ἑπόμενοι.

Συνόδου οἰκουμενικῆς ϛ', κανὼν α', ογ', πα'.

α'. Τάξις ἀρίστη παντὸς ἀρχομένου καὶ λόγου καὶ πράγματος, ἐκ Θεοῦ τε ἄρχεσθαι καὶ εἰς Θεὸν ἀναπαύεσθαι, κατὰ τὴν θεολόγον φωνήν · ὅθεν καὶ τῆς εὐσεβείας ὑφ' ἡμῶν ἤδη διαπρυσίως κηρυττομένης, καὶ τῆς Ἐκκλησίας ἐφ' ᾗ Χριστὸς τεθεμελίωται, διηνεκῶς αὐξανούσης καὶ προκοπτούσης, ὡς τῶν τοῦ Λιβάνου κέδρων ταύτην ὑπερεκτείνεσθαι · καὶ νῦν ἀρχὴν τῶν ἱερῶν ποιούμενοι λόγων, χάριτι θείᾳ ὁρίζομεν ἀκαινοτόμητά τε καὶ ἀπαράτρωτα φυλάττειν τὴν παραδοθεῖσαν πίστιν ἡμῖν ὑπό τε τῶν αὐτοπτῶν καὶ ὑπηρετῶν τοῦ Λόγου, τῶν θεοκρίτων ἀποστόλων, ἔτι δὲ καὶ τῶν τιη' ἁγίων καὶ μακαρίων Πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων, ἐπὶ Κωνσταντίνου τοῦ γενομένου ἡμῶν βασιλέως, κατὰ Ἀρείου τοῦ δυσσεβοῦς, καὶ τῆς παρ' αὐτοῦ δογματισθείσης ἐθνικῆς ἑτεροθείας, ἢ πολυθείας εἶπεν οἰκειότερον, οἳ τῇ ὁμογνωμοσύνῃ τῆς πίστεως, τὸ ὁμοούσιον ἡμῖν ἐπὶ τῶν τριῶν τῆς θεαρχικῆς φύσεως ὑποστάσεων, ἀπεκάλυψάν τε καὶ διετράνωσαν · μὴ ἐπικεκρύφθαι τῷ μοδίῳ τῆς ἀγνωσίας τοῦτο παραχωρήσαντες, ἀλλὰ τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα, προσκυνεῖν μιᾷ προσκυνήσει, τοὺς πιστοὺς ἀναφανδὸν ἐκκιδάζαντες, καὶ τήν τε τῶν ἀνίσων βαθμῶν τῆς θεότητος δόξαν, καθελόντες καὶ διασπάσαντες · τά τε ὑπὸ τῶν αἱρετικῶν συστάντα ἐκ ψάμμου κατὰ τῆς ὀρθοδοξίας μειρακώδη ἀθύρματα, καταβαλόντες καὶ ἀνατρέψαντες. Ὡσαύτως δὲ καὶ τὴν ἐπὶ τοῦ μεγάλου Θεοδοσίου τοῦ γενομένου ἡμῶν βασιλέως, ὑπὸ τῶν ἐν ταύτῃ βασιλίδι πόλει συναχθέντων ρν' ἁγίων Πατέρων κηρυχθεῖσαν πίστιν, κρατύνομεν · τὰς θεολόγους περὶ τοῦ ἁγίου Πνεύματος φωνὰς ἀσπαζόμενοι, καὶ τὸν βέβηλον Μανεδόνιον τοῖς προτέροις ἐχθροῖς τῆς ἀληθείας συνεξελαύνοντες, ὡς δοῦλον τὸ δεσπόζον αὐθαδῶς δοξάσαι τολμήσαντα, καὶ σχίσαι τὴν ἄτμητον Τριάδα ληστρικῶς προελόμενον · ὡς ἂν μὴ ἐντελὲς ἡμῖν τὸ τῆς ἐλπίδος εἴη μυστήριον · τῷ βδελυρῷ τούτῳ καὶ κατὰ τῆς ἀληθείας λυττήσαντι,

Digitized by Google Распознавание текста ABK/FR

καὶ Ἀπολινάριον τὸν τῆς κακίας μύστην συγκατα- A κρίνοντες, ὃς ἄνουν τὸν Κύριον ἀνειληφέναι σῶμα, δυσσεβῶς ἐξηρεύξατο. Ἐντεῦθεν καὶ οὗτος ἡμῖν ἀτελῆ τὴν σωτηρίαν γενέσθαι συλλογιζόμενος· ἀλλὰ μὴν καὶ τὰ παρὰ τῶν ἐν τῇ Ἐφεσίων πόλει τὸ πρότερον συναχθέντων, ἐπὶ Θεοδοσίου τοῦ υἱοῦ Ἀρκαδίου, γενομένου ἡμῶν βασιλέως, διακοσίων θεοφόρων Πατέρων ἐκτεθέντα διδάγματα, ὡς κράτος ἀῤῥαγὲς τῆς εὐσεβείας ἐπισφραγίζομεν, ἕνα Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ καὶ σαρκωθέντα κηρύττοντες· καὶ τὴν αὐτὸν ἀσπόρως τεκοῦσαν ἄχραντον ἀεὶ Παρθένον, κυρίως καὶ κατὰ ἀλήθειαν, Θεοτόκον δοξάζοντες· καὶ τὴν ληρῳδῆ τοῦ Νεστορίου διαίρεσιν, ὡς ἀπῳκισμένην θείας μοίρας ἀποδιώκοντες, ἄνθρωπον ἰδικῶς, καὶ Θεὸν ἰδικῶς, τὸν ἕνα Χριστὸν δογματίζοντος, καὶ τὴν Ἰουδαϊκὴν ἀνανεοῦντος δυσσέβειαν· οὐ μὴν ἀλλὰ καὶ B τὴν ἐν Χαλκηδονέων μητροπόλει ἐπὶ Μαρκιανοῦ, καὶ αὐτοῦ γενομένου ἡμῶν βασιλέως, τῶν χλ' θεοκρίτων Πατέρων στηλογραφηθεῖσαν πίστιν, ὀρθοδόξως ἐπικυροῦμεν· ἥτις τὸν ἕνα Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, ἐκ δύο συντεθέντα τῶν φύσεων, καὶ ἐν δύο ταῖς αὐταῖς δοξαζόμενον φύσεσι, μεγαλοφώνως τοῖς πέρασι παραδέδωκε· καὶ Εὐτυχέα τὸν ματαιόφρονα, τὸν δοκήσει τὸ μέγα τῆς οἰκονομίας μυστήριον τελεσθῆναι ἀποφηνάμενον, ὡς ἀποτρόπαιόν τι καὶ μίασμα, τῶν ἱερῶν τῆς Ἐκκλησίας περιβόλων ἀπήλασε· σὺν αὐτῷ δὲ καὶ Νεστόριον καὶ Διόσκορον, τὸν μὲν τῆς διαιρέσεως, τὸν δὲ τῆς συγχύσεως, ὑπερασπιστήν τε καὶ πρόμαχον, τοὺς ἐκ διαμέτρου τῆς ἀσεβείας πρὸς ἓν ἐκπεπτωκότας ἀπωλείας καὶ ἀθεότητος βάραθρον· ἀλλὰ γε καὶ τὰς εὐσεβεῖς C φωνὰς τῶν ῥηξ' θεοφόρων μακαρίων Πατέρων τῶν κατὰ ταύτην τὴν βασιλίδα πάλιν συναγηγερμένων ἐπὶ Ἰουστινιανοῦ τοῦ τῆς εὐσεβοῦς λήξεως γενομένου ἡμῶν βασιλέως, ὡς ὑπὸ τοῦ Πνεύματος ἐξενεχθείσας γινώσκομεν, καὶ τοὺς ὑφ' ἡμᾶς ἐκδιδάσκομεν· οἱ Θεόδωρον τὸν Μοψουεστίας τὸν Νεστορίου διδάσκαλον, Ὠριγένην τε, καὶ Δίδυμον, καὶ Εὐάγριον, τοὺς τὰς Ἑλληνικὰς ἀναπλασαμένους μύθοποιίας, καὶ σωμάτων τινῶν καὶ ψυχῶν ἡμῖν περιόδους καὶ ἀλλοιώσεις ἀναπεμπάσαντας ταῖς τοῦ νοῦ παραφοραῖς τε καὶ ὀνειρώξεσι, καὶ εἰς τὴν τῶν νεκρῶν δυσσεβῶς ἐμπαροινήσαντας ἀναβίωσιν, τά τε γραφέντα παρὰ Θεοδωρήτου κατὰ τῆς ὀρθῆς πίστεως καὶ τῶν ιβ' κεφαλαίων τοῦ μακαρίου Κυρίλλου, καὶ τὴν λεγομένην Ἴβα ἐπιστολὴν, συνοδικῶς ἀνεθεμάτισάν τε καὶ ἐδδελύξαντο· καὶ τὴν ὑπὸ τῆς ἔναγχός γε συν- D αθροισθείσης κατὰ ταύτην τὴν βασιλίδα πόλιν, ἐπὶ τοῦ ἐν θείᾳ τῇ λήξει γενομένου ἡμῶν βασιλέως Κωνσταντίνου ἐκ τῆς ἁγίας συνόδου πίστιν, ἣ μειζόνως τὸ κῦρος ἐδέξατο, δι' ὧν ὁ εὐσεβὴς βασιλεὺς σφραγῖσι τοὺς ταύτης τόμους κατησφαλίσατο, πρὸς τὴν ἐν τῷ παντὶ αἰῶνι ἀσφάλειαν, καὶ αὖθις ὁμολογοῦμεν φυλάττειν ἀπαρεγχείρητον· ἡ δύο φυσικὰς θελήσεις, ἤτοι θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας, ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ, δοξάζειν ἡμᾶς θεοφιλῶς διεσάφησε· τοὺς τὸ εὐθὲς τῆς ἀληθείας δόγμα παραχαράξαντας, καὶ ἓν θέλημα καὶ μίαν ἐνέργειαν, ἐπὶ

num corpus mente et anima non præditum sumpsisse impie eructavit, hinc quoque et iste imperfectam nobis factam salutem ratiocinans. Jam vero et quæ in Ephesiorum civitate a ducentis divinis Patribus sub Theodosio Arcadii filio imperatore nostro expositæ sunt, doctrinas tanquam infractum pietatis robur obsignamus, unum Christum Filium Dei et incarnatum prædicantes; et quæ ipsum sine semine peperit, impollutam semper Virginem, proprie et vere Deiparam decernentes, et ineptam Nestorii divisionem, tanquam a divina sorte semotam persequentes, hominem separatim et Deum separatim unum Christum decernentis, et impietatem Judaicam renovantis. Quin etiam eam, quæ in Chalcedonensium metropoli sub Marciano, qui fuit et ipse imperator noster, a sexcentis triginta descripta est Patribus, fidem orthodoxe confirmamus: quæ unum Christum Filium Dei, ex duabus naturis compositum, et in duabus eisdem naturis creditum, magna ac sublimi voce terrarum finibus tradidit; et stulte ac inepte sentientem Eutychem, qui magnum œconomiæ mysterium apparentia perfectum esse dicebat, tanquam avertendum aliquod portentum tetramque pestem, ex sacris Ecclesiæ ambitibus exturbavit. Una autem cum eo etiam Nestorium et Dioscorum, quorum ille quidem divisionis, hic vero confusionis defensor erat et pugnator: qui quidem ex impietatis diametro ad unum perditionis et abnegationis Dei barathrum decciderant. Sed et 5 centum sexaginta quinque divinorum Patrum in hac civitate imperatrice congregatorum sub Justiniano piæ memoriæ, qui fuit imperator noster, pias voces ut a Spiritu editas cognoscimus, et posteros nostros docemus, qui Theodorum Mopsuestiæ Nestorii magistrum, et Origenem, et Didymum, et Evagrium, qui gentiles fabulas rursus fictas retulerunt, et corporum quorumdam et animarum circuitiones et immutationes seu transmigrationes de integro ruminaverunt, suis quibusdam mentis deliriis ac somniis: et in mortuorum resurrectionem impie ac contumeliose insultarunt: et quæ a Theodoreto scripta sunt adversus rectam fidem et duodecim beati Cyrilli capita, et eam quæ dicitur Ibæ epistolam, synodice anathematizarunt et exsecrati sunt. Porro sextæ quoque sanctæ synodi, quæ in hac civitate imperiali sub divæ memoriæ imperatore nostro Constantino pridem congregata fuerat, fidem, quæ majorem ex eo firmitatem accepit, quod pius imperator eam scriptam suo signaculo muniit ad futuram in omnia sæcula securitatem, non movendam nec agitandam nos servare rursus profitemur; quæ duas naturales voluntates seu volitiones, duasque naturales operationes in incarnata unius Domini nostri Jesu Christi veri Dei œconomia nos pie opinari debere aperte docuit; iis qui rectum veritatis decretum adulterant, et unam voluntatem ac operationem unam in uno Domino nostro Jesu Christo populos docuerant, pia sententia condemnatis, Theodoro,

Digitized by Google Распознавание текста ABK/FR

sacerdotalis ordinis, qui transgressus est eum, inquimus, Pharan, Cyro Alexandriæ, Honorio Romæ, Sergio, 6 Pyrrho, Paulo, Petro, qui in hac a Deo, servata civitate præsederunt; Macario, qui fuit Antiochensium episcopo, Stephano ejus discipulo, et insipiente Polychronio; hac ratione intacto et illibato communi corpore Domini nostri Jesu Christi ab eis servato. Atque, ut semel dicamus, omnium qui in Dei Ecclesia decora ornamentaque fuerunt, et luminaria in mundo, vitæ rationem obtinentia, firmam fidem valere, et usque ad sæculi consummationem inconcussam ac illabefactam permanere sancimus, eorumque scripta ac decreta divinitus tradita: rejicientes omnes et anathematizantes, quos rejecerunt et anathematizarunt, ut veritatis inimicos, et qui adversus Deum inaniter fremuerunt, et iniquitatem in altum meditati sunt. Si quis autem ex omnibus prædicta pietatis decreta non tenet et amplectitur, sicque opinatur et prædicat, sed iis contra adversari conatur, sit anathema, secundum prius expositam declaratorum sanctorum et beatorum Patrum decretum, a Christiano quoque catalogo ut alienus extrudatur et excidat. Nos enim juxta prius definita neque aliquid adjicere, neque quidquam adimere omnino statuimus, vel ullo modo potuimus.

73. Cum crux nobis vivifica salutare ostenderit, nos 7 omnem diligentiam adhibere oportet, ut ei, per quam ab antiquo lapsu salvati sumus, eum quem par est honorem habeamus. Quamobrem et mente, et sermone, et sensu adorationem ei tribuentes, crucis figuras, quæ a nonnullis in solo ac pavimento fiunt, omnino deleri jubemus, ne incedentium conculcatione victoriæ nobis tropæum injuria afficiatur. Eos itaque, qui deinceps crucis signum in solo construunt, segregari decernimus.

81. Quoniam in nonnullis locis didicimus in hymno, quo ter sanctus canitur, additamenti loco dici post illud, Sanctus immortalis, hoc, Qui crucifixus es pro nobis, miserere nostri. Id autem ab antiquis sanctis Patribus, ut a pietate alienum, ex hoc hymno ejectum est cum scelerato hæretico (2), qui hanc vocem innovavit: nos quoque confirmantes ea, quæ a sanctis nostris Patribus prius pie constituta sunt, anathematizamus eos, qui post præsens decretum ejusmodi vocem admittunt in ecclesiis, vel aliquo alio modo sanctissimo hymno adjudgunt. Et si est quidem sacer-

τοῦ ἑνὸς Κυρίου τοῦ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ τοὺς λαοὺς ἐκδιδάξαντας· τῇ τῆς εὐσεβείας ψήφῳ καταδικάσασα· φαμὲν Θεόδωρον τὸν τῆς Φαρὰν, Κύρον τὸν Ἀλεξανδρείας, Ὀνώριον τὸν Ῥώμης (3), Σέργιον, Πύρρον, Παῦλον, Πέτρον, τοὺς ἐν ταύτῃ τῇ θεοφυλάκτῳ προεδρεύσαντας πόλει, Μακάριον, τὸν γενόμενον τῆς Ἀντιοχέων ἐπίσκοπον, Στέφανον τὸν αὐτοῦ μαθητὴν, καὶ τὸν ἄφρονα Πολυχρόνιον· ἐντεῦθεν ἀνέπαφον τηροῦσα τὸ κοινὸν σῶμα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· καὶ συνελόντι φάναι πάντων τῶν ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ διαπρεψάντων ἀνδρῶν, οἳ γεγόνασιν ἐν κόσμῳ φωστῆρες, λόγον ζωῆς ἐπέχοντες τὴν πίστιν κρατεῖν βεβαίαν· καὶ μέχρι συντελείας του αἰῶνος ἀσάλευτον διαμένειν θεσπίζομεν, κἀὶ τὰ αὐτῶν θεοπαράδοτα συγγράμματά τε καὶ δόγματα· πάντας ἀποβαλλόμενοί τε καὶ ἀναθεματίζοντες ὡς τῆς ἀληθείας ἐχθροὺς, καὶ κατὰ Θεοῦ φρυαξαμένους κενὰ, καὶ ἀδικίαν εἰς ὕψος ἐκμελετήσαντας. Εἰ δέ τις τῶν ἁπάντων· καὶ τὰ προειρημένα τῆς εὐσεβείας δόγματα κρατεῖν ἀσπάζεται, καὶ οὕτως δοξάζει τε καὶ κηρύττει, ἀλλ' ἐξ ἐναντίας εἶναι τούτων ἐπιχειρεῖ, ἔστω ἀνάθεμα, κατὰ τὸν ἤδη προεκτεθέντα ὅρον ὑπὸ τῶν προδηλωθέντων ἁγίων καὶ μακαρίων Πατέρων, καὶ τοῦ Χριστιανῶν καταλόγου ὡς ἀλλότριος ἐξωθείσθω καὶ ἐκριπτέσθω. Ἡμεῖς γὰρ οὔτε προστιθέναι τι, οὔτε μὴν ὑφαιρεῖν κατὰ τὰ προορισθέντα, παντελῶς διεγνώκαμεν, ἢ καθ' ὁντιναοῦν δεδυνήμεθα λόγον.

ογ'. Τοῦ ζωοποιοῦ σταυροῦ δείξαντος ἡμῖν τὸ σωτήριον, πᾶσαν σπουδὴν ἡμᾶς τιθέναι χρὴ τοῦ τιμὴν τὴν ἀξίαν ἀποδιδόντι τῷ δι' οὗ σεσωσμεθα τοῦ παλαιοῦ παραπτώματος· ὅθεν καὶ νῷ καὶ λόγῳ καὶ αἰσθήσει, τὴν προσκύνησιν αὐτῷ ἀπονέμοντες, τοὺς ἐν τῷ ἐδάφει τοῦ σταυροῦ τύπους ὑπό τινων κατασκευαζομένους, ἐξαφανίζεσθαι παντοίως προστάσσομεν· ὡς ἂν μὴ τῇ τῶν βαδιζόντων καταπατήσει, τὸ τῆς νίκης ἡμῖν τρόπαιον ἐξυβρίζοιτο· τοὺς οὖν ἀπὸ τοῦ νῦν σταυροῦ τύπον ἐπὶ ἐδάφους κατασκευαζοντας, ὁρίζομεν ἀφορίζεσθαι.

πα'. Ἐπειδήπερ ἔν τισι χώραις μεμαθήκαμεν, ἐν τῷ Τρισαγίῳ ὕμνῳ, ἐν προσθήκης μέρει ἐκφωνεῖσθαι μετὰ τὸ, Ἅγιος ἀθάνατος, ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἐλέησον ἡμᾶς. Τοῦτό τε ὑπὸ τῶν πάλαι ἁγίων Πατέρων, ὡς τῆς εὐσεβείας ἀλλότριον ἐκ τοῦ τοιούτου ἀπηλάθη ὕμνου, σὺν τῷ τὴν τοιαύτην φωνὴν καινουργήσαντι παρανόμῳ αἱρετικῷ· καὶ ἡμεῖς κυροῦντες τὰ περὶ τῶν ἁγίων Πατέρων ἡμῶν πρὶν εὐσεβῶς θεσμοθετηθέντα, ἀναθεματίζομεν τοὺς ἔτι μετὰ τὸν παρόντα ὅρον παραδεχομένους τὴν τοιαύτην οὕτω φωνὴν ἐπ' ἐκκλησίαις, ἢ ἄλλως πως τῷ Τρισαγίῳ ὕμνῳ συνάπτοντας. Καὶ εἰ μὲν ἱερατικός ἐστιν ὁ

NOTÆ.

(3) De qualicunque Honorii in sexta synodo damnatione, diutius non est disputandum post Baronium consecutosque polemicos plurimos. Ego hoc unum adnotabo, quod nempe in libello synodico apud Justellum jur. can. gr. T. II, p. 1205-1209. in tot aliis synodicis damnationibus monothelitarum Sergii, Pyrrhi, et Cyri, Honorii nomen prorsus reticetur; quæ res sine veritatis impulsu fieri tam concorditer a Græcis, Italis Afrisque non potuit.

Digitized by Google Распознавание текста ABK/FR

παραβάτης τῶν ὁρισθέντων, ἀπογυμνοῦσθαι τοῦτον τῆς ἱερατικῆς ἀξίας προστάσσομεν· εἰ δὲ λαϊκὸς ἢ μοναχὸς, ἀφορίζεσθαι.

Βιβλίον Α', τίτ. α', διάταξις α', ε', ϛ', ζ', η'.

ΚΕΦΑΛ. Β'. — Ποίους δεῖ κανόνας κρατεῖν.

Συνόδου Χαλκηδόνος κανὼν α'.

α'. Τοὺς παρὰ τῶν ἁγίων Πατέρων καθ' ἑκάστην σύνοδον ἄχρι τοῦ νῦν ἐκτεθέντας κανόνας, κρατεῖν ἐδικαιώσαμεν.

Συνόδου Καρθαγέννης κανὼν α'.

α'. Ταῦτα οὕτως παρ' ἡμῖν ἔχοντα τὰ ἴσα τῶν ὁρισθέντων, ἅπερ τότε οἱ Πατέρες ἡμῶν ἐκ τῆς ἐν Νικαίᾳ συνόδου μεθ' ἑαυτῶν κατήγαγον· ἧς τὸν τύπον φυλάττοντα τὰ ἑπόμενα καὶ ὁρισθέντα παρ' ἡμῶν, βεβαιωθέντα φυλαχθῶσιν.

Συνόδου οἰκουμενικῆς ϛ', κανὼν β'.

β'. Ἔδοξε δὲ καὶ τοῦτο τῇ ἁγίᾳ ταύτῃ συνόδῳ κάλλιστά τε καὶ σπουδαιότατα, ὥστε μένειν καὶ ἀπὸ τοῦ νῦν βεβαίους καὶ ἀσφαλεῖς, πρὸς ψυχῶν θεραπείαν καὶ ἰατρεῖον παθῶν, τοὺς ὑπὸ τῶν πρὸ ἡμῶν ἁγίων καὶ μακαρίων Πατέρων λεχθέντας καὶ κυρωθέντας, ἀλλὰ μὴν καὶ παραδοθέντας ἡμῖν, ὀνόματι τῶν ἁγίων καὶ ἐνδόξων ἀποστόλων, πεντε κανόνας. Ἐπειδὴ δὲ ἐν τούτοις τοῖς κανόσιν ἐντέταλται, δέχεσθαι ἡμᾶς τὰς τῶν αὐτῶν ἁγίων ἀποστόλων διὰ Κλήμεντος διατάξεις, αἵστισι πάλαι ὑπὸ τῶν ἑτεροδόξων, ἐπὶ λύμῃ τῆς Ἐκκλησίας, νόθα τινὰ ξένα τῆς εὐσεβείας παρενετέθησαν, τὸ εὐπρεπὲς κάλλος τῶν θείων δογμάτων ἡμῖν ἀμαυρώσαντα, τὴν τῶν τοιούτων διατέξεων προσφόρως ἀποβολὴν πεποιήμεθα πρὸς τὴν τοῦ χριστιανικωτάτου ποιμνίου οἰκοδομὴν καὶ ἀσφάλειαν, οὐδαμῶς ἐγκρίνοντες τὰ τῆς αἱρετικῆς ψευδολογίας κυήματα, καὶ τῇ γνησίᾳ τῶν ἀποστόλων καὶ ὁλοκλήρῳ διδαχῇ παρενείροντες. Ἐπισφραγίζομεν δὲ καὶ τοὺς λοιποὺς πάντας ἱεροὺς κανόνας, ὑπὸ τῶν ἁγίων καὶ μακαρίων Πατέρων ἡμῶν ἐκτεθέντας, τουτέστι τῶν τε ἐν Νικαίᾳ συναθροισθέντων τιη' ἁγίων Πατέρων, καὶ τῶν ἐν Ἀγκύρᾳ, ἔτι μὴν καὶ τῶν ἐν Νεοκαισαρείᾳ, ὡσαύτως καὶ τῶν ἐν Γάγγραις, πρὸς δὲ καὶ τῶν ἐν Ἀντιοχείᾳ τῆς Συρίας, ἀλλὰ μὴν καὶ τῶν ἐν Λαοδικείᾳ τῆς Φρυγίας, ὡσαύτως καὶ τῶν ἐν Σαρδικῇ, ἔτι μὴν καὶ τῶν ἐν Καρθαγέννῃ, προσέτι καὶ τῶν ρν' τῶν ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι συνελθόντων πόλει, ἐπὶ Νεκταρίου τοῦ τῆς βασιλίδος ταύτης πόλεως προέδρου, καὶ Τιμοθέου τοῦ γενομένου Ἀλεξανδρείας ἀρχιεπισκόπου· ἀλλὰ μὴν καὶ τοὺς Διονυσίου ἀρχιεπισκόπου γενομένου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως, καὶ Πέτρου ἀρχιεπισκόπου τῆς αὐτῆς Ἀλεξανδρέων καὶ μάρτυρος, Γρηγορίου ἐπισκόπου γενομένου Νεοκαισαρείας τοῦ θαυματουργοῦ, Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας, Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, Γρηγορίου ἐπισκόπου Νύσσης, Γρηγορίου τοῦ θεολόγου, Ἀμφιλοχίου τοῦ Ἰκονίου, Τιμοθέου ἀρχιεπισκόπου γενομένου Ἀλεξανδρείας τοῦ προτέρου,

dotali dignitate privari jubemus: sin autem laicus vel monachus, segregari.

Liber. I, tit. II, constitutio 1, 5, 6, 7, 8.

CAP. II. — *Quales canones oporteat auctoritatem retinere.*

Chalcedonensis concilii canon 1.

1. Qui a sanctis Patribus in unaquaque synodo hucusque expositi sunt, observari canones æquum censuimus.

Concilii Carthaginensis canon 1.

1. *Aurelius episcopus dixit* (3*): Hæc ita apud nos habentur exemplaria statutorum, quæ tunc Patres nostri de concilio Nicæno secum detulerunt: cujus formam servantes, hæc quæ sequuntur constituta, firmata a nobis custodientur.

Concilii œcumenici VI, *canon* 2.

2. Hoc quoque huic sanctæ synodo pulcherrime et honestissime placuit, ut ab hoc nunc tempore deinceps ad animarum medelam et perturbationum curationem firmi stabilesque maneant, qui a sanctis Patribus qui nos præcesserunt, suscepti ac confirmati sunt, atque adeo nobis etiam traditi sunt, sanctorum et gloriosorum apostolorum nomine octoginta quinque canones. Quoniam autem in his nobis canonibus præceptum est, ut eorumdem sanctorum apostolorum per Clementem constitutiones susciperemus quibus jam olim ab iis qui fide aliena sentiunt ad labem Ecclesiæ aspergendam, adulterina quædam et a pietate aliena introducta sunt, quæ divinorum nobis decretorum elegantem ac decoram speciem obscurarunt, has constitutiones ad christianissimi gregis ædificationem ac securitatem conducibiliter rejecimus, hæreticæ falsitatis fetus nequaquam admittentes, et germanæ ac integræ apostolorum doctrinæ inserentes. Obsignamus etiam reliquos omnes canones, qui a sanctis et beatis nostris Patribus expositi sunt, id est, a trecentis decem et octo sanctis ac deiferis Patribus, qui Nicææ convenerunt; iisque qui Ancyræ; et iis etiam qui Neocæsareæ; similiter et qui Gangris; præterea et iis qui in Antiochia Syriæ; atque iis etiam qui in Laodicea Phrygiæ: præterea autem 9 et centum quinquaginta Patribus, qui in hac a Deo conservanda et imperiali civitate convenerunt; et ducentis, qui in Ephesiorum metropoli prius coacti sunt: et sexcentis triginta sanctis et beatis Patribus, qui Chalcedone: similiter et iis qui Sardicæ: et qui Carthagine, et qui rursus in hac Dei cultrice et imperatrice urbe convenerunt sub Nectario, qui imperanti huic civitati præsidebat; et Theophilo qui fuit Alexandriæ archiepiscopus. Quin etiam canones Dionysii, qui fuit archiepiscopus magnæ Alexandrinorum civitatis: et Petri, qui fuit Alexandriæ archiepiscopus et martyr: Gregorii Neocæsareæ episcopi Thaumaturgi: Athanasii Alexandrini ar-

NOTÆ.

(3*) In ms Aurelius.

Digitized by Google Распознавание текста ABK/FR

chiepiscopi; Basilii archiepiscopi Cæsareæ Cappadociæ: Gregorii episcopi Nyssæ, Gregorii Theologi, Amphilochii Iconii, Timothei prioris, archiepiscopi Alexandricæ; Theophili archiepiscopi ejusdem Alexandriæ: Cyrilli ejusdem Alexandriæ archiepiscopi, et Gennadii, qui fuit patriarcha hujus a Deo servandæ et imperantis civitatis. Præterea vero et a Cypriano, qui Afrorum regionis fuit archiepiscopus et martyr, et synodo quæ sub ipso fuit, emissum canonem, qui in prædictorum præsulum locis solus, secundum traditam eis consuetudinem, servatus est. Et nulli licere prius declaratos canones adulterare, vel non admittere, vel alios præter hic propositos recipere canones, a quibusdam falsa adjecta inscriptione compositos, qui veritatem cauponari conati sunt. Si quis autem, quod prædictorum canonum aliquem innovare vel subvertere conetur, convictus fuerit, reus erit secundum eum canonem, ut ipse pronuntiat canon, pœnam luens, et per ipsum in eo, in quo offendit, medelam suscipiens.

Θεοφίλου, ἀρχιεπισκόπου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως, καὶ Κυρίλλου, καὶ Γενναδίου πατριάρχου γενομένου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως, ἔτι μὴν καὶ τὸν ὑπὸ Κυπριανοῦ τοῦ γενομένου ἀρχιεπισκόπου τῆς Ἀφρῶν χώρας καὶ μάρτυρος, καὶ τῆς κατ' αὐτὸν συνόδου ἐκτεθέντα κανόνα· ὃς ἐν τοῖς τῶν προειρημένων προέδρων τόποις καὶ μόνον, κατὰ τὸ παραδοθὲν αὐτοῖς ἔτος ἐκράτησε, καὶ μηδενὶ ἐξεῖναι τοὺς προδηλωθέντας παραχαράττειν κανόνας ἢ ἀθετεῖν, ἢ ἑτέρους παρὰ τοὺς προκειμένους παραδέχεσθαι κανόνας, ψευδεπιγράφως ὑπό τινων συντεθέντας, τῶν τὴν ἀλήθειαν καπηλεύειν ἐπιχειρησάντων. Εἰ δέ τις ἀλῷ κανόνα τινὰ τῶν εἰρημένων καινοτομῶν, ἢ ἀνατρέπειν ἐπιχειρῶν, ὑπεύθυνος ἔσται κατὰ τὸν τοιοῦτον κανόνα· ὡς αὐτὸς διαγορεύει, τὴν ἐπιτιμίαν δεχόμενος, καὶ δι' αὐτοῦ ἐν ᾧπερ πταίει θεραπευόμενος.

Concilii Nicæni II *canones* 1, 2.

1. Iis qui sacerdotalem dignitatem sortiti sunt, testimonia et ad recte se gerendum instituta sunt canonicarum constitutionum descriptiones. 10 Quas cum diviniloquo David lubenter recipientes, ad Dominum cantamus, dicentes: *In via mandatorum tuorum lætatus sum, tanquam in omnibus divitiis* [2]: et, *Mandasti justitiam testimonia tua in sæculum* [3]:— *Intellectum da mihi, et vitam* [4]. Et si in sæculum nos jubet vox prophetica testimonia Dei servare, et in eis vivere, liquet ea nequaquam concutienda, nullaque ratione labefactanda permanere: nam et venerandus Moyses sic ait: *Eis non licet addere, nec eis licet detrahere* [5]. Et divinus apostolus Petrus in iis glorians exclamat: *Ad quæ angeli declinare desiderant* [6]. Atque etiam dicit Paulus: *Etiamsi nos vel angelus annuntiet vobis aliud, quam vobis annuntiavimus, sit anathema* [7]. Cum hæc ergo ita se habeant, et sint nobis testata, iis exsultantes, ut si quis multa spolia invenerit, divinos canones libenter amplectimur, eorumque constitutionem integram et illabefactabilem confirmamus, quæ edita fuerunt a sancti Spiritus tubis, omni ex parte celebrandis apostolis, et sex sanctis universalibus synodis, iisque quæ ad ejusmodi decretorum traditionem provinciatim coactæ fuerunt, et nostris sanctis Patribus. Ex uno enim omnes eodemque Spiritu illuminati, quæ erant utilia decreverunt: et quos anathemati quidem transmittunt, nos quoque anathematizamus: quos vero depositioni, nos quoque deponimus: quos autem segregationi, nos itidem segregamus: quos autem pœnæ tradunt, nos quoque similiter subjicimus. *Ab avaritia* enim *alieni mores sint, præsentibus contenti* [8], is qui tertium cœlum conscendit, et arcana verba audivit, Paulus divinus apostolus aperte vociferatur.

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν α', β'.

α'. Τοῖς τὴν ἱερατικὴν λαχοῦσιν ἀξίαν, μαρτύριά τε καὶ κατορθώματα, αἱ τῶν κανονικῶν διατάξεων ὑποτυπώσεις εἰσίν· ἃς δεχόμενοι ἀσμένως, μετὰ τοῦ θεοφάντορος Δαβὶδ ᾄδομεν πρὸς τὸν Δεσπότην Θεὸν λέγοντες· Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ· καί, Ἐνετείλω καὶ δικαιοσύνην τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα. Συνέτισόν με καὶ ζῆσόν με· καὶ εἰς τὸν αἰῶνα ἡ προφητικὴ φωνὴ ἐντέλλεται ἡμῖν φυλάττειν τὰ μαρτύρια τοῦ Θεοῦ, καὶ ζῆν ἐν αὐτοῖς, δῆλον ἀκράδαντα καὶ ἀσάλευτα διαμένουσιν· ὅτι καὶ ὁ θεόπτης Μωυσῆς οὕτω φησίν· Ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφαιρεῖν· καὶ ὁ θεῖος ἀπόστολος Πέτρος ἐν αὐτοῖς ἐγκαυχώμενος βοᾷ· Εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι· καὶ ὁ Παῦλος φησι· Κἂν ἡμεῖς ἢ ἄγγελος εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Τούτων οὖν οὕτως ὄντων καὶ διαμαρτυρομένων ἡμῖν, ἀγαλλιώμενοι ἐπ' αὐτοῖς, ὡς εἴ τις εὕροι σκύλα πολλά, ἀσπαζόμεθα τοὺς θείους κανόνας ἐνστερνιζόμεθα, καὶ ὁλόκληρον τὴν αὐτῶν διαταγὴν καὶ ἀσάλευτον κρατύνομεν, τῶν τε ἐκτεθέντων ὑπὸ τῶν ἁγίων σαλπίγγων τοῦ Πνεύματος πανευφήμων ἀποστόλων, τῶν τε ἐξ ἁγίων οἰκουμενικῶν συνόδων, καὶ τῶν τοπικῶς συναθροισθεισῶν ἐπὶ ἐκδόσει τοιούτων διαταγμάτων, καὶ τῶν ἁγίων Πατέρων ἡμῶν· ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ Πνεύματος αὐγασθέντες, ὥρισαν τὰ συμφέροντα. Καὶ οὓς μὲν τῷ ἀναθέματι παραπέμπουσι, καὶ ἡμεῖς ἀναθεματίζομεν· οὓς δὲ τῇ καθαιρέσει, καὶ ἡμεῖς καθαιροῦμεν· οὓς δὲ τῷ ἀφορισμῷ, καὶ ἡμεῖς ἀφορίζομεν, οὓς δὲ ἐπιτιμίῳ παραδιδόασι, καὶ ἡμεῖς ὡσαύτως ὑποβάλλομεν. Ἀφιλάργυρος γὰρ ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν, ὁ βεβηκὼς εἰς τρίτον οὐρανόν, καὶ ἀκούσας ἄρρητα ῥήματα, Παῦλος ὁ θεῖος ἀπόστολος, διαῤῥήδην βοᾷ.

[2] Psal. CXVIII, 14. [3] ibid. 138. [4] ibid. 144, [5] Deut. IV, 2. [6] I Petr. I, 12. [7] Galat. I, 8. [8] Hebr. XIII, 1 seq.

Digitized by Google Распознавание текста ABK/FR

Ὅτι δεῖ τὸν χειροτονούμενον ἐπίσκοπον ἀσφαλῶς συντάσσεσθαι, τοὺς κανόνας φυλάττειν· εἰ δὲ μή γε, μὴ χειροτονεῖσθαι.

β'. Ἐπειδήπερ ψάλλοντες συντασσόμεθα τῷ Θεῷ, Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου· πάντας μὲν Χριστιανοὺς τοῦτο φυλάττειν σωτήριον, κατ' ἐξαίρετον δὲ τοὺς τὴν ἱερατικὴν ἀμπεχομένους ἀξίαν. Ὅθεν ὁρίζομεν πάντα τὸν προάγεσθαι μέλλοντα εἰς τὸν τῆς ἐπισκοπῆς θρόνον, πάντως ψαλτῆρα γινώσκειν· ἵνα ὡς ἐκ τούτου, καὶ πάντα τὸν κατ' αὐτὸν κληρον, οὕτω νουθετῇ μυεῖσθαι· ἀνακρίνεσθαι δὲ ἀσφαλῶς ὑπὸ τοῦ μητροπολίτου, εἰ προθύμως ἔχει ἀναγινώσκειν, ἐρευνητικῶς καὶ οὐ παροδευτικῶς, τούς τε ἱεροὺς κανόνας, τὸ ἅγιον Εὐαγγέλιον, τήν τε τοῦ θείου Ἀποστόλου βίβλον, καὶ πᾶσαν τὴν θείαν Γραφήν· καὶ κατὰ τὰ θεῖα ἐντάλματα ἀναστρέφεσθαι, καὶ διδάσκειν τὸν κατ' αὐτὸν λαόν. Οὐσία γὰρ τῆς καθ' ἡμᾶς ἱεραρχίας ἐστὶ τὰ θεοπαράδοτα λόγια, ἤγουν ἡ τῶν θείων Γραφῶν ἀληθινὴ ἐπιστήμη, καθὼς ὁ μέγας ἀπεφήνατο Διονύσιος. Εἰ δὲ ἀμφισβητοίη καὶ μὴ ἀσμενίζοι οὕτω ποιεῖν τε καὶ διδάσκειν, μὴ χειροτονεῖσθαι· ἔφη γὰρ προφητικῶς ὁ Θεός· Σὺ ἐπέγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι.

A 11 *Quod ordinandus episcopus certo debeat promittere se canones servaturum, sin minus non promoveatur.*

2. Quoniam psallentes Deo spondemus: *In justificationibus tuis meditabor, non obliviscar sermones tuos* [10]: omnes quidem Christianos salutare est hoc servare, eos autem præcipue qui sacerdotalem dignitatem obtinent. Quamobrem decernimus quemlibet, qui ad episcopalem gradum est provehendus, psalterium omnino nosse, ut ex eo omnem quoque suum clericum ita institui moneat. A metropolitano autem bene examinari, an ad sacros canones diligenter, ac cum perscrutatione, non autem obiter cursimque legendos, prompto paratoque sit animo, et sacrum etiam Evangelium, et librum divini Apostoli, omnemque B divinam Scripturam, et in divinis præceptis versari, et populum suum docere. Nostræ enim hierarchiæ substantia sunt eloquia divinitus tradita, divinarum scilicet Scripturarum vera scientia, sicut magnus ait Dionysius [11]. Si quis autem dubius animi fuerit, et non lubenter hæc facere et docere voluerit, non ordinetur. Prophetice enim dicit Deus: *Tu repulisti scientiam, et ego te repellam, ne sis mihi sacerdos* [12].

***Canones hi duo in margine adjecti erant a recentiore manu, etsi ob attonsam membranam aliquantum mutili. Hos nunc restituimus ex Leunclavio* Jur. Gr. Rom. 108-109. *ubi jacent in corpore decreti synodalis* περὶ ἑνώσεως.**

Συνόδου τῆς ἑνώσεως κανὼν δ', ζ'.

Concilii unionis canones 4, 7.

δ'. Ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ τὴν διδασκαλίαν καὶ ὑποτύπωσιν τῶν ἁγίων καὶ μακαρίων Πατέρων καινοτομηθέντα καὶ πραχθέντα ἢ μετὰ τοῦτο πραχθησόμενα, ἀνάθεμα. C

4. Quæcunque contra traditionem Ecclesiæ, doctrinam et formulas sanctorum ac beatorum Patrum innovabantur vel reapse per sive est citum habebant anathema sit.

ζ'. Τοῖς ἐν καταφρονήσει τιθεμένοις τοὺς ἱεροὺς καὶ θείους κανόνας τῶν μακαρίων Πατέρων ἡμῶν οἳ καὶ τὴν ἁγίαν Ἐκκλησίαν ὑπερείδουσι, καὶ ὅλην τὴν Χριστιανικὴν πολιτείαν κοσμοῦντες πρὸς θείαν ὁδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα.

7. Quicunque sacros ac divinos canones a beatis Patribus transmissos spernat, negantes illos esse fulcra sanctæ Ecclesiæ et duces Christianorum ad Dei timorem, anathema sit.

Ita concluditur fragmentum a Leunclavio loc. dict. recitatum. In codice autem Vat. sequitur synodi clausula inedita quæ ita se habet.

Τούτων οὕτως διωρισμένων πρὸς ἀσφάλειαν τῆς ἁγίας Ἐκκλησίας, τοῦ ἀμέτοχον εἶναι τὸ εὐσεβὲς τῶν Χριστιανῶν πλήρωμα τῶν ἐξ ἀθεμίτων γάμων ῥύπων, δεόμεθα τῆς σῆς ἀγαθότητος, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἔτι καὶ διαπαντὸς πᾶν σκάνδαλον, πᾶσαν διαμερισμοῦ αἰτίαν, τῆς σῆς ἐξελαύνειν Ἐκκλησίας, καὶ συντηρεῖν αὐτῇ τὴν εἰρηναίαν κατάστασιν, πρεσβείαις τῆς Δεσποίνης ἡμῶν καὶ ἀχράντου Μητρὸς, D τῶν πανιέρων σου μαθητῶν καὶ ἀποστόλων, δι' ὧν ἐν πάσῃ τῇ οἰκουμένῃ τὴν σὴν κατεφύτευσας εἰρήνην, καὶ πάντων οἷς ἐξ αἰῶνος εὐαρεστούμενος ὤφθης ἁγίοις. Ἀμήν.

Quibus ita definitis ad securitatem sanctæ Ecclesiæ, et ut pietatis perfectione arceatur nequitia nuptialium sordium; precamur bonitatem tuam, Christe Deus noster, ut deinceps omne prorsus scandalum, omnemque dissidii causam ab Ecclesia tua tollas, et conserves illi pacificam constitutionem, intercedente gloriosissima Domina nostra et sublimi Matre tua, ac sacratissimis discipulis tuis et apostolis, per quos in omni terra pacem tuam implantasti, cum omnibus sanctis illis, in quibus a sæculis visus es tibi complacuisse. Amen.

Ἡ τρίτη διάταξις τοῦ β' τίτλου τῶν Νεαρῶν, τοὺς τῶν τεσσάρων συνόδων κανόνας θέλει κρατεῖν, καὶ τὰ δόγματα αὐτῶν, ὡς τὰς θείας Γραφάς. Ἐν δὲ τῷ β,

Textus. Constitutio 3, tit. 2, Novellarum, septem conciliorum canones, eorumque placita, tanquam sacras Scripturas vult valere. Verum in

10 Psal. 11 *De eccles. Hier.* cap. 1. 12 Osee IV, 6.

Digitized by Google Распознавание текста ABK/FR

2 lib. Codicis, tit. 3, constit. 14, et in 1 et 4 constitutione, tit. 1, Novellarum, partim canones ut leges valere, partim leges sequi canones [*traditur*.] Et lib. 1, tit. 2, const. 12, pragmaticas formas, quæ canonibus adversantur, irritas esse [*habet*].

12 CAP. III.— *Quod ecclesiastica consuetudo, etiamsi non scripta, instar legis servanda sit; et quod minime necesse sit Mosaicam legem retinere.*

Concilii œcumenici VI *canon* 82.

82. In nonnullis venerabilium imaginum picturis, agnus qui digito Præcursoris monstratur, depingitur, qui ad gratiæ figuram assumptus est, verum nobis agnum per legem Christum Deum nostrum præmonstrans. Antiquas ergo figuras et umbras, ut veritatis signa et characteres Ecclesiæ traditos, amplectentes, gratiam et veritatem præponimus, eam ut legis implementum suscipientes. Ut ergo quod perfectum est, vel colorum expressionibus omnium oculis subjiciatur, ejus qui tollit peccata mundi, Christi Dei nostri humana forma characterem etiam in imaginibus deinceps pro veteri agno erigi ac depingi jubemus : ut per ipsum Dei Verbi humiliationis celsitudinem mente comprehendentes, ad memoriam quoque ejus in carne conversationis, ejusque passionis et salutaris mortis deducamur, ejusque quæ ex eo facta est mundo redemptionis.

Sancti Basilii ad Diodorum Tarsensem de his qui duas sorores ducunt, vel de illis quæ duobus fratribus matrimonio junguntur.

Venerunt nobis litteræ nomine Diodori inscriptæ, at in reliquis quemvis alium potius decentes quam Diodorum. Videtur enim astutus aliquis personam tuam 13 induens, sic sibi voluisse auctoritatem apud auditores comparare. Qui quidem ab aliquo interrogatus, an sibi liceret mortuæ uxoris sororem in matrimonium ducere, interrogationem non per horruit, sed placide etiam audivit, ac lascivam libidinem fortiter prorsus et pugnaciter adjuvit. Quod si adessent litteræ, eas ad te misissem, satisque haberes facultatis et ad tuam et ad veritatis defensionem. Sed quia qui illas ostenderat, rursus abstulit, et contra nos, qui id ab initio prohibuimus, vel tropæum quoddam circumtulit, licentiam se habere dictitans scripto mandatam ; nunc ad te scripsi, ut duplici manu spuriam illam epistolam oppugnemus ; nec quidquam ei roboris relinquamus, ne facile possit legentibus nocere. Primum itaque, quod in ejusmodi rebus maximum est, morem nostrum objicere possumus, ut vim legis habentem, eo quod nobis a viris sanctis traditæ sint regulæ. Mos autem ille est ejusmodi, ut si quis impuritatis vitio aliquando victus in illicitam duarum sororum conjunctionem inciderit, neque id matrimonium existimetur, neque omnino in Ecclesiæ

A βιβλίῳ τοῦ Κώδικος, τίτ. γ', διατάξει ιδ' καὶ ἡ α' καὶ ἡ δ' διάταξις τοῦ α' τίτλου τῶν Νεαρῶν· πῇ μὲν, ὅτι οἱ κανόνες ὡς νόμοι κρατοῦσι, πῇ δὲ, ὅτι τοῖς κανόσιν οἱ νόμοι ἀκολουθοῦσι· καὶ βιβλίῳ α', τίτλῳ β', διατάξει ιβ' ὅτι οἱ τοῖς κανόσιν ἐναντιούμενοι πραγματικοὶ, ἄκυροι εἰσιν.

ΚΕΦΑΛ. Γ'. — Περὶ τοῦ φυλάττεσθαι τὸ ἄγραφον ἐκκλησιαστικὸν ἔθος, ὡς νόμον· καὶ ὅτι οὐκ ἔχομεν ἀνάγκην φυλάττειν τὰ τοῦ Μωσαϊκοῦ νόμου.

Συνόδου οἰκουμενικῆς ϛ' κανὼν πβ'.

πβ'. Ἐν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς, ἀμνὸς δακτύλῳ τοῦ Προδρόμου δεικνύμενος ἐγχαράττεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν δια νόμου προϋποφαίνων ἀμνὸν, Χριστὸν τὸν B Θεὸν ἡμῶν. Τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιὰς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα τῇ Ἐκκλησίᾳ παραδεδομένους κατασπαζόμενοι, τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξαμένοι. Ὡς ἂν οὖν τέλειον κἀν ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνοῦ Χριστοῦ Θεοῦ ἡμῶν κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα, καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ, ἀναστηλοῦσθαι ὁρίζομεν· δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ Θεοῦ Λόγου κατανοοῦντες, καὶ πρὸς μνήμην τῆς ἐνσάρκου πολιτείας, τοῦ τε πάθους αὐτοῦ τοῦ καὶ σωτηρίου θανάτου χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως.

Τοῦ ἁγίου Βασιλείου πρὸς Διόδωρον τὸν Ταρσοῦ C κατὰ τῶν δύο ἀδελφὰς γαμούντων, ἢ ἀδελφοῖς δυσὶ γαμουμένων.

Ἀφίκετο ἡμῖν γράμματα τὴν ἐπιγραφὴν ἔχοντα Διοδώρου, τὰ δ' ἐφεξῆς ἄλλου τινὸς πρέποντα εἶναι μᾶλλον, ἢ Διοδώρου. Δοκεῖ γάρ μοί τις τῶν τεχνικῶν, τὸ σὸν πρόσωπον ὑποδὺς, οὕτως ἑαυτὸν ἀξιόπιστον ἐθελῆσαι ποιῆσαι τοῖς ἀκροωμένοις· ὃς γε ἐρωτηθεὶς ὑπό τινος, εἰ θεμιτὸν αὐτὸν πρὸς γάμον ἀγαγέσθαι τῆς γυναικὸς τελευτησάσης τὴν ἀδελφὴν, οὐκ ἔφριξε τὴν ἐρώτησιν, ἀλλὰ καὶ πρᾴως ἤνεγκε τὴν ἀκοὴν, καὶ τὸ ἀσελγὲς ἐπιθύμημα πάνυ γενναίως αὐτῷ καὶ ἀγωνιστικῶς συγκατέπραξεν. Εἰ μὲν οὖν παρῆν μοι τὸ γράμμα, αὐτὸ ἂν ἀπέστειλα, καὶ ἐξήρκεις ἂν σαυτῷ τε ἀμῦναι καὶ τῇ ἀληθείᾳ. Ἐπεὶ δὲ ὁ δείξας πάλιν ἀφείλετο, καὶ ὥσπερ τι τρόπαιον καθ' ἡμῶν περιέφερε κεκωλυκότων τὸ ἐξ ἀρχῆς, ἔγγραφον ἔχειν λέγων τὴν ἐξουσίαν, ἐπέστειλα νῦν σοι. Ὥστε διπλῇ τῇ χειρὶ ἡμᾶς ἐλθεῖν ἐπὶ τὸν νόθον ἐκεῖνον λόγον, καὶ μηδεμίαν αὐτῷ ἰσχὺν καταλιπεῖν· ἵνα μὴ ἔχῃ βλάπτειν ῥᾳδίως τοὺς ἐντυγχάνοντας· πρῶτον μὲν οὖν ὃ μέγιστον ἐπὶ τῶν τοιούτων ἐστὶ, τὸ παρ' ἡμῖν ἔθος ὃ ἔχομεν προβάλλειν, νόμου δύναμιν ἔχον, διὰ τὸ ὑφ' ἁγίων ἀνδρῶν τοὺς θεσμοὺς ἡμῖν παραδοθῆναι. Τοῦτο δὲ τοιοῦτόν ἐστιν, ἐάν τις πάθει ἀκαθαρσίας ποτὲ κρατηθεὶς ἐκπέσῃ πρὸς δυοῖν ἀδελφῶν ἄθεσμον κοινωνίαν, μήτε γάμον ἡγεῖσθαι τοῦτο, μήθ' ὅλως εἰς Ἐκκλησίας πλήρωμα παραδέ-

Digitized by Google Распознавание текста ABK/FR

χέσθαι πρότερον· ἢ διαλῦσαι αὐτοὺς ἀπ' ἀλλήλων. Ὥστε εἰ καὶ μηδὲν ἕτερον εἰπεῖν ἦν, ἐξήρκει τὸ ἔθος πρὸς τὴν τοῦ κακοῦ φυλακήν. Ἐπεὶ δὲ ὁ τὴν ἐπιστολὴν γράψας, ἐπιχειρήματι κιβδήλῳ κακὸν τοσοῦτον ἐπειράθη τῷ βίῳ ἐπαγαγεῖν, ἀνάγκη μηδὲ ἡμᾶς τῆς ἐκ τῶν λογισμῶν βοηθείας ὑφέσθαι. Καί τοί γε ἐπὶ τῶν σφόδρα ἐναργῶν, μείζων ἐστὶ τοῦ λόγου ἡ παρ' ἑκάστου πρόληψις. Γέγραπται, φησίν, ἐν τῷ Λευϊτικῷ· Γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ· ἀντίζηλον ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς ἐπ' αὐτῇ, ἔτι ζώσης αὐτῆς. Δῆλον δὲ ἐκ τούτου εἶναί φησίν, ὅτι συγχωρεῖται λαμβάνειν τελευτησάσης. Πρὸς δὴ τοῦτο πρῶτον μὲν ἐκεῖνο ἐρῶ, ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λέγει· ἐπεὶ οὕτω γε καὶ περιτομῇ καὶ σαββάτῳ καὶ ἀποχῇ βρωμάτων ὑποκειησόμεθα. Οὐ γὰρ ὅτι ἐάν μέν τι εὕρωμεν συντρεχον ἡμῶν ταῖς ἡδοναῖς, τῷ ζυγῷ τῆς δουλείας τοῦ νόμου ἑαυτοὺς ὑποθήσομεν. Ἐὰν δέ τι φανῇ βαρὺ τῶν νομίμων, τότε πρὸς τὴν ἐν Χριστῷ ἐλευθερίαν ὁ ποδραμούμεθα. Πρωτόθημεν εἰ γέγραπται λαμβάνειν γυναῖκα ἐπ' ἀδελφῇ· εἴπομεν ὅπερ ἀσφαλὲς ἡμῖν καὶ ἀληθὲς, ὅτι οὐ γέγραπται. Τὸ δὲ ἐκ τῆς τοῦ ἀκολούθου ἐπιφορᾶς τὸ σιωπηθὲν συλλογίζεσθαι, νομοθετοῦντος ἐστὶν, οὐ τὰ τοῦ νόμου λέγοντος· ἐπεὶ οὕτως γε ἐξέσται τῷ βουλομένῳ κατατολμῆσαι, καὶ ἔτι ζώσης τῆς γυναικὸς, λαμβάνειν τὴν ἀδελφήν. Τὸ γὰρ αὐτὸ τοῦτο σόφισμα, καὶ ἐπ' ἐκείνου ἁρμόζει. Γέγραπται γὰρ, φησὶν, Οὐ λήψῃ ἀντίζηλον· ὡς τήν γε ἔξω τοῦ ζήλου, λαβεῖν οὐκ ἐκώλυεν· ὁ δὴ συνηγορῶν τῷ πάθει, ἀζηλότυπον εἶναι διορίεται τὸ ἦθος τῶν ἀδελφῶν. Ἀνῃρημένης οὖν τῆς αἰτίας, δι' ἣν ἀπηγόρευσε τὴν ἀμφοτέρων συνοίκησιν, τί τὸ κωλῦον ἔσται λαμβάνειν τὰς ἀδελφάς; Ἀλλ' οὐ γέγραπται ταῦτα, φήσομεν· ἀλλ' οὐδὲ ἐκεῖνα ὥρισται· ἡ δὲ ἔννοια τοῦ ἀκολούθου ὁμοίως ἀμφοτέροις τὴν ἄδειαν δίδωσιν. Ἔδει δὲ μικρὸν ἐπὶ τὰ κατόπιν τῆς νομοθεσίας ἐπαναδραμόντα, ἀπηλλάχθαι πραγμάτων· ἔοικε γὰρ οὐ πᾶν εἶδος ἁμαρτημάτων περιλαμβάνειν ὁ νομοθέτης, ἀλλ' ἰδίως ἀπαγορεύειν τὰ τῶν Αἰγυπτίων, ὅθεν ἀπῆρεν ὁ Ἰσραὴλ, καὶ τὰ τῶν Χαναναίων, πρὸς οὓς μεθίστατο· ἔχει γὰρ οὕτως ἡ λέξις· Κατὰ τὰ ἐπιτηδεύματα τῆς Αἰγύπτου, ἐν ᾗ παρῳκήσατε ἐπ' αὐτῆς, οὐ ποιήσετε· καὶ τὰ ἐπιτηδεύματα γῆς Χαναὰν εἰς ἣν ἐγὼ εἰσάξω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε, καὶ τοῖς νομίμοις αὐτῶν οὐ πορεύεσθε· ὥστε τοῦτο εἰκός που τὸ εἶδος τῆς ἁμαρτίας, μὴ ἐμπολιτεύεσθαι τότε παρὰ τοῖς ἔθνεσι. Διὸ μηδὲ τῆς ἐπ' αὐτῷ φυλακῆς προσδεηθῆναι τὸν νομοθέτην, ἀλλ' ἀρκεσθῆναι τῷ ἀδιδάκτῳ ἔθει, πρὸς τὴν τοῦ μύσους διαβολήν. Πῶς οὖν τὸ μεῖζον ἀπαγορεύσας, τὸ ἔλαττον ἐσιώπησεν; Ὅτι ἐδόκει πολλοὺς τῶν φιλοσάρκων πρὸς τὸ ζώσαις ἀδελφαῖς συνοικεῖν, τὸ ὑπόδειγμα βλάπτειν τοῦ πατριάρχου. Ἡμᾶς δὲ τί χρὴ ποιεῖν; τὰ γεγραμμένα λέγειν, ἢ τὰ σιωπηθέντα προσεργάζεσθαι; Αὐτίκα τὸ μὴ δεῖν μιᾷ ἑταίρᾳ κεχρῆσθαι πατέρα καὶ υἱὸν, ἐν μὲν τοῖς νόμοις τούτοις οὐ γέγραπται· παρὰ δὲ τῷ προφήτῃ μεγίστης κατηγορίας ἠξίωται· Υἱὸς γὰρ, φησὶ, καὶ πατὴρ πρὸς τὴν

Textus. Tit. 1. Novellarum const. 12 et 17, in quibus etiam de objectione adversus ordinationem clericorum et præsulum [tractatur.] Prima namque const. tit. 1 Novellarum, jubet episcoporum ordinationes coram omni populo ecclesiæ fieri, insuper et quemcunque contradicendi facultatem habere. Et si quidem ante ordinationem contradictio fiat, ne prius ordinatio procedat, quam examinatione habita omnino illum innocentem esse constet. Si vero ante examinationem ordinatus [quisquam] sit, is una cum eo qui ordinavit, sacerdotio excidat. At si qui ante ordinationem contradixit, calumniandi animo eum id fecisse appareat, aut [reum] non damnet ac convincat, ab eo qui ordinationi præest, in perpetuum a sancta communione segregetur, atque ordinatio peragatur. Secunda [autem] const. ejusdem tit. ait : Si contradictio fiat ob [talem] causam, quæ secundum leges aut canones ordinationem impedire possit ; et : Quod utraque parte præsente, aut ubi accusator ad tres menses accusationem adimplere distulerit, examinatio fieri [debeat] ; et : Quod si accusator aut non probet, aut aufugiat, ejiciatur extra provinciam, in qua habitat. At si ordinatio ante examinationem fiat, ordinatus [sacerdotio 48 expellatur : ordinator autem in annum a sacro ministerio arceatur, universaque ipsius substantia ejus Ecclesiæ applicetur. Atque eadem [hæc] constitutio, etiam in ordinatione clericorum eadem vult obtinere. Constit. autem 17 ejusdem tit. dicit : Si quis quacunque de causa ordinandum accuset, primum accusator, si criminationem persequetur, examinator: sin desi-

ΚΕΦΑΛ. Η. Περὶ τῆς γινομένης ἀντιλογίας ἐπὶ τῇ χειροτονίᾳ τοῦ ἐπισκόπου.

Συνόδου Ἀντιοχείας κανὼν ιθ'.

ιθ'. Ἐπίσκοπον μὴ χειροτονεῖσθαι, κ. τ. λ.

Συνόδου Καρθαγένης κανὼν ν.

Πόσοι ἐπίσκοποι προστεθῆναι ὀφείλουσι τῷ ἀριθμῷ τῶν χειροτονούντων, ἐὰν περὶ τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἀντιλογία γένηται.

ν'. Ἐκεῖνο δὲ ὁρίσαι δεῖ · ὥστε ἐάν ποτε πρὸς ἐπιλογὴν ἐπισκόπου συνέλθωμεν, καὶ ἀναφυῇ τις ἀντιλογία, ἐπειδὴ τὰ τοιαῦτα παρ' ἡμῖν ἐτρακταῖσθησαν, τολμηρὸν εἶναι λοιπὸν τρεῖς μόνους πρὸς τὸ καθᾶραι τὸν χειροτονηθησόμενον εὑρηθῆναι · ἀλλὰ τῷ προλεχθέντι ἀριθμῷ προστεθῆ εἷς καὶ δύο · καὶ ἐπὶ αὐτοῦ τοῦ λαοῦ αὐτοῦ οὗ μέλλει χειροτονεῖσθαι, ἐξετασθῶσι πρῶτον τὰ πρόσωπα τῶν ἀντιλεγόντων · ἐς ὕστερον γὰρ, καὶ τὰ προτεθειμένα συζευχθῶσι · καὶ ὅτε καθαρὸς φανείη ἐπὶ δημοσίας προσόψεως, εἶθ' οὕτως χειροτονηθείη · ἐὰν τοῦτο ἀποδέχηται ἡ ὑμετέρα ἁγιωσύνη, τῇ ὁμονοητικῇ ἀποκρίσει τοῦ ὑμετέρου ἀξιώματος βεβαιωθείη.

Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη, Πάνυ ἀρέσκει.

Τίτλος α' τῶν νεαρῶν, διάτ. α', β', ιζ', ἐν οἷς καὶ περὶ ἀντιλογίας χειροτονίας κληρικῶν καὶ ἡγουμένων · ἡ μὲν γὰρ α' διάταξις, τοῦ α' τίτ · τῶν νεαρῶν παρακελεύεται τὰς τῶν ἐπισκόπων χειροτονίας, ἐπὶ παντὸς τοῦ λαοῦ τῆς ἐκκλησίας γίνεσθαι, πρὸς τὸ ἄδειαν ἔχειν πάντα τὸν βουλόμενον ἀντιλέγειν · καὶ εἴ γε πρὸ τῆς χειροτονίας γένοιτο ἡ ἀντίῤῥησις, μὴ πρότερον χειποτονεῖσθω, πρὶν ἂν ἡ ἐξέτασις γένηται, καὶ φανῇ πανταχόθεν ἀνεύθυνος · εἰ δὲ πρὸ τῆς ἐξετάσεως χειροτονηθείη, καὶ τῆς ἱερατείας ἐκπεσεῖται σὺν αὐτῷ τῷ χειροτονήσαντι. Εἰ μέν τοι ὁ πρὸς τὴν χειροτονίαν ἀντειπὼν, συκοφάντης φανείη, ἢ μὴ ἐπεξέλθοι, χωριζέσθω διηνεκῶς τῆς ἁγίας κοινωνίας, παρὰ τοῦ τὴν χειροτονίαν ποιοῦντος · ἡ δὲ χειροτονία γινέσθω · ἡ δὲ β' διάταξις τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι ἐάν ἡ ἀντίῤῥησις ἐπὶ αἰτίᾳ γένηται, ἐμποδίσαι τῇ χειροτονίᾳ δυναμένῃ κατὰ τοὺς νόμους ἢ τοὺς κανόνας · καὶ ὅτι παρόντος ἑκατέρου μέρους, ἡ ἐξέτασις γίνεται ἡ τοῦ κατηγόρου, ἐπὶ τρεῖς μῆνας ὑπερτιθεμένου πληρῶσαι τὴν κατηγορίαν · καὶ ὅτι μὴ δείκνυς ὁ κατήγορος ἢ ἀποφεύγων, ἐκβάλλεται τῆς ἐπαρχίας ἐν ᾗ οἰκεῖ. Γινομένης δὲ τῆς χειροτονίας πρὸ τῆς ἐξετάσεως, ὁ μὲν χειροτονηθεὶς ἐξωθεῖται · ὁ δὲ χειροτονήσας, ἐπὶ ἐνιαυτὸν κωλύεται τῆς θείας λειτουργίας, καὶ πᾶσα ἡ οὐσία αὐτοῦ προσκυροῦται τῇ κατ' αὐτὸν Ἐκκλησίᾳ. Ἡ αὐτὴ δὲ διάταξις θέλει τὰ αὐτὰ κρατεῖν καὶ ἐπὶ ταῖς χειροτονίαις τῶν κληρικῶν · ἡ δὲ ιζ' διάταξις τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι τινὸς κατηγοροῦντος, ἐφ' οἱαδήποτε αἰτίᾳ, τοῦ μέλλοντος χειροτονεῖσθαι, γινέσθω πρότερον ἡ ἐξέτασις, τοῦ κατηγόρου ἐπεξιόντος. Εἰ δὲ ἀπολειφθῇ, ἢ ἀναβάλλεται, ποιείτω τὴν ζήτησιν ὁ μέλλων

[52] Concilium Afric. cap. 17.

NOTÆ.

(16) Conç. Carthag. III, cap. 40. Et Ferrandus cap. 5, ex Conc. Carthag., tit. 1.

Digitized by Google Распознавание текста ABK/FR

χειροτονεῖν, εἶσω τριῶν μηνῶν· καὶ ἐὰν ἀνεύθυνος φανῇ, παρόντος ἢ ἀπολειφθέντος τοῦ κατηγόρου, χειροτονείσθω· καὶ ὁ κατήγορος, εἰ μὲν κληρικός ἐστιν ἐκβάλλεται τοῦ βαθμοῦ αὐτοῦ· εἰ δὲ λαϊκός, σωφρονίζεται. Τῆς δὲ χειροτονίας γινομένης πρὸ ἐξετάσεως, τῆς ἱερωσύνης ὁ χειροτονηθεὶς καὶ ὁ χειροτονήσας ἐκβάλλονται. Λέγει δὲ τὰ αὐτὰ κρατεῖν καὶ ἐπὶ χειροτονίᾳ ἐπισκόπων, καὶ κληρικῶν, καὶ ἡγουμένων.

ΚΕΦΑΛ. Θ. — Περὶ τοῦ χρόνου οὗ ἐντὸς δεῖ τοὺς ἐπισκόπους χειροτονεῖσθαι.

Συνόδου Χαλκηδόνος κανὼν κε'.

κε'. Ἐπειδήπερ τινὲς τῶν μητροπολιτῶν ὡς περιηχήθημεν, ἀμελοῦσι τῶν ἐγκεχειρισμένων αὐτοῖς ποιμνίων, καὶ ἀναβάλλονται τὰς χειροτονίας τῶν ἐπισκόπων, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ἐντὸς τριῶν μηνῶν γίνεσθαι τὰς χειροτονίας τῶν ἐπισκόπων· εἰ μή ποτε ἄρα ἀπαραίτητος ἀνάγκη, παρασκευάσοι ἐπιταθῆναι τὸν τῆς ἀναβολῆς χρόνον. Εἰ δὲ μὴ τοῦτο ποιήσοι, ὑποκεῖσθαι αὐτὸν ἐκκλησιαστικῷ ἐπιτιμίῳ, τὴν μέν τοι πρόσοδον τῆς χηρευούσης ἐκκλησίας σῴαν παρὰ τῷ οἰκονόμῳ τῆς αὐτῆς ἐκκλησίας φυλάττεσθαι.

Συνόδου ἕκτης κανὼν ιδ'.

ιδ'. Ὁ τῶν ἁγίων καὶ θεοφόρων ἡμῶν Πατέρων κρατείτω κανὼν καὶ ἐν τούτῳ, ὥστε πρεσβύτερον πρὸ λ' ἐτῶν, μὴ χειροτονεῖσθαι, κἂν πάνυ ᾖ ἄξιος ὁ ἄνθρωπος, ἀλλ' ἀποτηρεῖσθαι. Ὁ γὰρ Κύριος Ἰησοῦς Χριστὸς ἐν τῷ τριακοστῷ ἔτει ἐβαπτίσθη, καὶ ἤρξατο διδάσκειν· ὁμοίως μήτε διάκονον πρὸ τῶν κ' ἐτῶν, ἢ διακόνισσαν πρὸ τῶν μ' χρόνων χειροτονεῖσθαι.

Ἡ β' διάταξις τοῦ α' τιτ. τῶν νεαρῶν φησιν, ὅτι ἐὰν ὑπέρθωνται οἱ τῆς πόλεως ἐπὶ ἓξ μῆνας ψηφίσασθαι τὸν ἐπίσκοπον, ποιείτω τὴν χειροτονίαν ᾧ τινι ἁρμόζει, κινδύνῳ τῆς ἑαυτοῦ ψυχῆς, τῶν ἄλλων πάντων παραφυλαττομένων.

ΚΕΦΑΛ. Ι. — Περὶ τοῦ μὴ χειροτονεῖσθαί τινα ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, πρὶν ἢ πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ, Χριστιανοὺς ὀρθοδόξους ποιήσει.

Συνόδου Καρθαγένης κανὼν λζ'.

λζ'. Ὥστε ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους μὴ χειροτονεῖσθαι, πρὶν ἢ πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτῶν, Χριστιανοὺς ὀρθοδόξους ποιήσουσιν.

Καὶ ἡ η' διάταξις τοῦ ε' τίτ. τοῦ α' βιβλίου, καὶ ἡ τοῦ ια' τίτ., τιμωροῦνται τοὺς Σαμαρείτας καὶ Ἕλληνας βαπτιζομένους καὶ μὴ προτάγοντας τὰς γαμετὰς αὐτῶν καὶ παῖδας καὶ τοὺς ἐν τοῖς οἴκοις αὐτῶν, τῷ ἁγίῳ βαπτίσματι.

ΚΕΦΑΛ. ΙΑ'. Περὶ τῶν ἀπὸ λαϊκῶν γινομένων ἐπισκόπων.

Συνόδου Σαρδικῆς κανὼν ι'.

ι'. Ἅπαντες οἱ ἐπίσκοποι ἀπεκρίναντο ἀρέσκειν αὐτοῖς, καὶ πρεπωδεστάτην εἶναι τὴν συμβουλὴν ταύτην. Ὅσιος ἐπίσκοπος εἶπε, Καὶ τοῦτο ἀναγκαῖον εἶναι νομίζω· εἰ μετὰ πάσης ἀκριβείας καὶ ἐπιμελείας ἐξετάζοιτο, ὥστε ἐάν τις πλούσιος ἢ σχολαστικὸς, εἴτε πένης, ἐὰν ἄξιος ᾖ, ἐκλεγῇ ἐπίσκοπος. Ἐὰν δὲ ἐπιτηδείως μὴ ἐξετασθῇ, ἀλλὰ σπουδῇ τινι καὶ ἀμελείᾳ, ἐπιτρέπεται τοῖς ἐπισκόποις τῆς ἐπαρχίας, ἢ τοῖς ἐγγὺς, ἢ τοῖς ἐν τῇ πόλει, ἐὰν ἄξιος ᾖ, ἐκλεγῆναι ἐπίσκοπον.

stat, aut differat, ordinaturus intra tres menses præsente aut absente accusatore appareat, [ipsum] ordinato. Accusator autem si clericus sit, gradu ejicitor : si laicus, castigator. Si ordinatio ante examinationem fiat, sacerdotio et ordinator et ordinatus ejiciuntor. Atque dicit eadem obtinere in ordinatione clericorum, episcoporum, et præsulum [monasteriorum].

CAP. IX. — *Intra quod tempus episcopi ordinandi sint.*

Concilii Chalcedonensis canon 25.

25. Quoniam nonnulli metropolitani, ut sæpe a nobis auditum est, et greges sibi commissos negligunt, et episcoporum ordinationes differunt, sanctæ synodo placuit ut intra tres menses episcoporum ordinationes fiant, nisi inexorabilis utique necessitas effecerit ut dilationis tempus prorogetur. Si autem hoc non fecerint, eos ecclesiasticæ pœnæ subjici. Viduæ vero ecclesiæ reditum, apud ecclesiæ œconomum salvum custodiri.

49 *Concilii œcumenici* VI *canon* 14.

14. Sanctorum divinorumque Patrum nostrorum canon in his quoque valeat, ut presbyter ante triginta annos non ordinetur, etiamsi sit homo valde dignus, sed reservetur 53. Dominus enim Jesus Christus tricesimo anno baptizatus est, et cœpit docere. Simliter nec diaconus ante quadraginta annos ordinetur 54.

Textus. Const. 2, tit. 1 Novellarum ait : Si civitatis [clerici et primores] ultra sex menses episcopum decernere differant, is qui ordinandi jus habet, periculo animæ suæ [episcopum] ordinato : [atque] alia omnia servantur.

CAP. X. — *Quod nemo sit episcopus vel presbyter vel diaconus ordinandus antequam domesticos omnes fecerit orthodoxos.*

Concilii Carthaginensis canon 36.

36. Ut episcopi 55, et presbyteri, et diaconi non ordinentur priusquam omnes qui sunt in domo eorum, Christianos catholicos fecerint.

Textus. Etiam const. 18, tit. 3, lib. I, et const. 10, tit. 2, puniunt Samaritanos et paganos baptizatos, si uxores suas et liberos et quos domi habent, ad sacrosanctum baptisma non adducant.

50 CAP. XI. — *De iis qui de laica conditione fiunt episcopi.*

Concilii Sardicensis canon 10.

10. Omnes episcopi dixerunt eis placere, et esse convenientissimum hoc consilium. Hosius episcopus dixit : Hoc quoque necessarium existimo, ut cum omni cura et diligentia examinetur ; ut si quis ex foro sive dives, sive scholasticus, episcopus fieri

53 Neocæs. can. 11. 54 Chalced. can. 15. 55 Conc. Carthag. III, cap. 18 ; concilium Afric. cap. 3.

Digitized by Google Распознавание текста ABK/FR

dignus habeatur, non prius constituatur, quam lectoris et diaconi et presbyteri ministerium peregerit : ut in unoquoque gradu, si dignus existimatus fuerit, ad episcopatus fastigium per progressionem possit ascendere. Habebit autem uniuscujusque ordinis gradus non minimi scilicet temporis longitudinem, per quod et fides, et morum probitas, et constantia, et moderatio possit cognosci : et ipse divino sacerdotio dignus existimatus, maximum honorem assequetur. Neque enim convenit, neque scientia et bona conversatio hoc recipit, ut temere et leviter ad id accedatur, ut episcopus, vel presbyter, vel diaconus prompte ac facile constituatur. Sic enim merito neophytus existimetur, quandoquidem et beatissimus Apostolus, qui fuit etiam doctor gentium, prohibuisse plane videtur, ne celeres fiant ordinationes [56]. Longissimi enim temporis probatio et conversationem, et uniuscujusque mores non improbabiliter exprimere poterit.

A κὸς, ἀπὸ τῆς ἀγορᾶς ἀξιοῦτο ἐπίσκοπος γίνεσθαι, μὴ πρότερον καθίσταισθαι, ἐὰν μὴ καὶ ἀναγνώστου καὶ διακόνου καὶ πρεσβυτέρου, ὑπηρεσίαν ἐκτελέσοι· ἵνα κατ' ἕκαστον βαθμὸν, ἐάν περ ἄξιος νομισθείη, εἰς τὴν ἀψῖδα τῆς ἐπισκοπῆς κατὰ προκοπὴν διαβῆναι δυνηθείη. Ἔξει δὲ ἑκάστου τάγματος ὁ βαθμὸς οὐκ ἐλαχίστου δηλονότι χρόνου μῆκος· δι' οὗ ἡ πίστις αὐτοῦ, καὶ ἡ τῶν πραγμάτων καλοκαγαθία, καὶ ἡ στερρότης, καὶ ἡ ἐπιείκεια, γνώριμος γενέσθαι δυνήσεται, καὶ αὐτὸς ἄξιος τῆς θείας ἱερωσύνης νομισθεὶς, τῆς μεγίστης ἀπολαύσει τιμῆς. Οὔτε γὰρ προσῆκον ἐστιν, οὔτε ἡ ἐπιστήμη, οὔτε ἡ ἀγαθὴ ἀναστροφὴ, ἐπιδέχεται τολμηρῶς καὶ κούφως ἐπὶ τοῦτο ἰέναι, ὥστε ἢ ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον προχείρως καθίστασθαι. Οὕτω γὰρ ἂν εἰκότως νεόφυτος νομισθείη, ἐπειδὴ μάλιστα καὶ ὁ μακαριώτατος B Ἀπόστολος, ὃς καὶ τῶν ἐθνῶν γεγένηται διδάσκαλος, φαίνεται κωλύσας ταχείας γίνεσθαι τὰς καταστάσεις· Τοῦ γὰρ μηκίστου χρόνου ἡ δοκιμασία, τὴν ἀναστροφὴν καὶ τὸν ἑκάστου τρόπον, οὐκ ἀπεικότως ἐκτυποῦν δυνήσεται.

Συνόδου α' β' συγκροτηθείσης ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κανὼν ιζ'.

51 *Synodi Constantinopolitanæ primæ et secundæ in templo sanctorum apostolorum congregatæ, canon* 17.

17. In omnibus boni ecclesiastici ordinis curam gerentes, hoc quoque definire necessarium duximus, ut nullus deinceps laicus, vel monachus repente ad episcopalem altitudinem eveheretur, sed in ecclesiasticis gradibus primum examinatus, sic episcopatis dignitatis ordinationem susciperet. Etsi enim huc usque quidam ex C monachis et laicis, exigente necessitate, episcopali honore statim digni facti sunt, qui et virtute excellenti fuere, et suam ecclesiam in altum extulere, id tamen quod raro evenit, ecclesiæ legem nequaquam statuentes, decernimus, ut id deinceps minime fiat nisi is qui rite ordinatur, per gradus sacerdotales processerit, in unoquoque ordine tempus præstitutum adimplens.

ιζ'. Ἐν πᾶσι τῆς ἐκκλησιαστικῆς εὐταξίας φροντίζοντες, καὶ τοῦτο ὁρίσαι ἀναγκαῖον ἐθέμεθα· ὥστε τοῦ λοιποῦ, μηδένα τῶν λαϊκῶν ἢ μοναχῶν, ἀθρόως εἰς τὸ τῆς ἐπισκοπῆς ὕψος ἀνάγεσθαι, ἀλλὰ τοῖς ἐκκλησιαστικοῖς βαθμοῖς ἐξεταζόμενον πρότερον, οὕτω τῆς ἐπισκοπῆς τὴν χειροτονίαν ὑποδέχεσθαι. Εἰ γὰρ καὶ μέχρι τοῦ νῦν, ἀπὸ τῶν λαϊκῶν ἢ μοναχῶν τινες, ἀπαιτούσης χρείας, παραυτίκα τιμῆς ἄξιοι γεγόνασιν ἐπισκοπῆς, ἀρετῇ τε διαπρέψαντες, καὶ τὴν κατ' αὐτοὺς ἐκκλησίαν ὑψώσαντες, ἀλλὰ τό γε σπάνιον οὐδαμοῦ νόμον τῆς Ἐκκλησίας τιθέμενοι, ὁρίζομεν τοῦ λοιποῦ μηκέτι τοῦτο γίνεσθαι· εἰ μὴ κατὰ λόγον ὁ χειροτονούμενος, τὸν ἱερατικὸν προέλθοι βαθμὸν, ἐν ἑκάστῳ τάγματι τὸν νενομισμένον χρόνον ἀποπληρῶν.

Textus. Const. 2, tit. I Novellarum, non permittit ex laicorum [statu] confestim [aliquem] episcopum creari : sed [requirit] ut prius clericus fiat, et ad tres menses Scripturas et canones discat. Const. autem ejusdem lib. et tit. vult, ut non minus sex mensibus clericus prius aut monachus fuerit.

Ἡ β' διάταξις τοῦ α' τιτ. τῶν νεαρῶν, οὐ συγχωρεῖ ἀπὸ λαϊκῶν εὐθέως ἐπίσκοπον χειροτονεῖσθαι, ἀλλὰ πρότερον κληρικὸν, καὶ μένειν ἐπὶ τρεῖς μῆνας, τὰς Γραφὰς διδασκόμενον καὶ τοὺς κανόνας· ἡ δὲ α' διάταξις τοῦ αὐτοῦ τιτ. βούλεται αὐτὸν οὐχ ἧττον ἓξ μηνῶν προκληρωθῆναι ἢ προμονάσαι.

CAP. XII. — *Quomodo is qui ex paganitate venerit, vel in morbo vel recenter baptizatus fuerit, vel pravam vitam duxerit, ordinetur episcopus aut clericus.*

ΚΕΦΑΛ. ΙΒ'. — Πῶς ὁ ἔθνικὸς, ἢ ὁ ἐν νόσῳ, ἢ ὁ νεωστὶ βαπτισθεὶς, καὶ ὁ ἐκ φαύλης διαγωγῆς, χειροτονεῖται ἐπίσκοπος ἢ κληρικός.

Apostolorum canon 80.

'Αποστόλων κανὼν π'.

80 [79]. Eum qui ex vita gentili accesserit et baptizatus fuerit, vel ex improba vivendi ratione, non est æquum [52] protinus episcopum fieri. Iniquum est enim, ut qui sui nondum experientiam ostenderit, sit aliorum magister, nisi forte hoc divina gratia fiat.

π'. Τὸν ἐξ ἐθνικοῦ βίου προσελθόντα καὶ βαπτισθέντα, ἢ ἐκ φαύλης διαγωγῆς, οὐ δικαιόν ἐστι παραυτὰ προχειρίζεσθαι ἐπίσκοπον· ἄδικον γὰρ, τὸν μηδέπω πεῖραν ἐπιδειξάμενον, ἑτέρων εἶναι διδάσκαλον· εἰ μή που κατὰ θείαν χάριν τοῦτο γένηται.

Concilii Nicæni canon 2.

Συνόδου Νικαίας κανὼν β'.

2. Quoniam multa, vel necessitate, vel urgenti-

β'. Ἐπειδὴ πολλὰ ἤτοι ὑπὸ ἀνάγκης, ἢ ἄλλως ἐπει-

[56] I Tim. III, 1 seqq. ; V, 9 seqq.

Digitized by Google Распознавание текста ABKAFR

γομένων τῶν ἀνθρώπων, ἐγίνετο παρὰ τὸν κανόνα τὸν ἐκκλησιαστικὸν, ὥστε ἀνθρώπους ἀπὸ ἐθνικοῦ βίου ἄρτι προσελθόντας τῇ πίστει, καὶ ἐν ὀλίγῳ χρόνῳ κατηχηθέντας, εὐθὺς καὶ τὸ πνευματικὸν λουτρὸν ἄγειν, καὶ ἅμα τῷ βαπτισθῆναι προάγειν εἰς ἐπισκοπὴν, ἢ εἰς πρεσβυτέριον, καλῶς ἔδοξεν ἔχειν, τοῦ λοιποῦ μηδὲν τοιοῦτον γίνεσθαι. Καὶ γὰρ καὶ χρόνου δεῖ τῷ κατηχουμένῳ · καὶ μετὰ τὸ βάπτισμα, δοκιμασίας πλείονος. Σαφὲς γὰρ τὸ ἀποστολικὸν γράμμα τὸ λέγον · Μὴ νεόφυτον · ἵνα μὴ τυφωθεὶς, εἰς κρῖμα ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου. Εἰ δὲ προϊόντος τοῦ χρόνου ψυχικόν τι ἁμάρτημα εὑρεθείη περὶ τὸ πρόσωπον, καὶ ἐλέγχοιτο ὑπὸ δύο ἢ τριῶν μαρτύρων, πεπαύσθω ὁ τοιοῦτος τοῦ κλήρου. Ὁ δὲ παρὰ ταῦτα ποιῶν, ὡς ὑπεναντία τῇ μεγάλῃ συνόδῳ θρασυνόμενος, αὐτὸς κινδυνεύσει περὶ τὸν ἴδιον κλῆρον.

A bus alioqui hominibus, præter canonem ecclesiasticum facta sunt, ut homines, qui e vita gentili ad fidem nuper accesserunt,et exiguo tempore catechumeni,id est, initiati fuere,statim ad lavacrum spiritale deducant. Et simul ac baptizati fuerint, ad episcopatum vel presbyteratum provehant,recte habere visum est,ut deinceps nihil tale fiat. Nam et catechumeno tempore opus est,et post baptismum probatione majore. Apertum enim est scriptum apostolicum, quod dicit: *Non Neophytum* [58], id est,recens plantatum: *Ne inflatus in judicium incidat et diaboli loqueum.* Si autem procedente tempore, animale aliquod peccatum circa personam inventum fuerit, et a duobus vel tribus personis convincatur : cesset, quia talis est, a clero. B Qui autem præter hæc facit, ut qui magnæ synodo adversus esse audeat, ipse de clericatu in periculum veniet.

Συνόδου Νεοκαισαρείας κανὼν ιβ'.

ιβ'. Ἐὰν νοσῶν τις φωτισθῇ, εἰς πρεσβυτέριον ἄγεσθαι οὐ δύναται. Οὐκ ἐκ προαιρέσεως γὰρ ἡ πίστις αὐτοῦ, ἀλλ' ἐξ ἀνάγκης · εἰ μὴ τάχα διὰ τὴν μετὰ ταῦτα αὐτοῦ σπουδὴν καὶ πίστιν καὶ διὰ σπάνιν ἀνθρώπων.

Concilii Neocæsariensis canon 12

12. Si quis ægrotans [59] fuerit illuminatus, non potest in presbyterum evehi.Fides enim ejus non est ex instituto, sed ex necessitate nisi forte propter consequens ejus studium et fide, hominumque raritatem.

Συνόδου Λαοδικείας κανὼν γ'.

γ'. Περὶ τοῦ μὴ δεῖν πρωσφάτως φωτισθέντα, προσάγεσθαι ἐν τάγματι ἱερατικῷ.

Concilii Laodiceni canon 3.

3. Non oportere eos qui sunt recens illuminati, in ordinem sacerdotalem promoveri.

ΚΕΦΑΛ ΙΓ'. — Πῶς σχολάζων ἐπίσκοπος γίνεται εἰς σχολάζουσαν ἐπισκοπήν.

[53] CAP. XIII. — *Quomodo vacans episcopus vacantem episcopatum occupet.*

Συνόδου Ἀντιοχείας κανὼν ις'.

Concilii Antiocheni canon 16.

ις'. Εἴ τις ἐπίσκοπος σχολάζων, ἐπὶ σχολάζουσαν ἐκκλησίαν ἑαυτὸν ἐπιῤῥίψας, ὑφαρπάζοι τὸν θρόνον δίχα συνόδου τελείας, τοῦτον ἀπόβλητον εἶναι, κἂν εἰ πᾶς ὁ λαὸς ὃν ὑφήρπασεν ἔλοιτο αὐτόν · τελείαν δὲ ἐκείνην εἶναι σύνοδον, ᾗ συμπάρεστι καὶ ὁ τῆς μητροπόλεως ἐπίσκοπος. C 16. Si quis vacans (17) episcopus in vacantem ecclesiam irrumpens,sedem arripuerit absque perfecta synodo,is sit ejectus, etiamsi omnis populus, quem invasit,eum elegerit.Sit autem illa perfecta synodus, cui una quoque adest metropolitanus.

ΚΕΦΑΛ. ΙΔ'. — Πότε δύναται γενέσθαι ἐπίσκοπος ἢ κληρικὸς εὐνοῦχος, ἢ ἄλλως ἐμπαθὴς τὸ σῶμα.

CAP. XIV. — *Quomodo eunuchus vel aliter in corpore vitiatus, fieri episcopus aut clericus possit.*

Ἀποστόλων κανὼν κα' κβ' οζ' οη'.

Apostolorum canones 21, 22, 77, 78.

κα'. Εὐνοῦχος εἰ μὲν ἐξ ἐπηρείας ἀνθρώπων ἐγένετο τις, ἢ ἐν διωγμῷ ἀφῃρέθη τὰ τῶν ἀνδρῶν, ἢ οὕτως ἔφυ, καὶ ἔστιν ἄξιος ἐπισκοπῆς, γινέσθω.

21 [20]. Eunuchus [60] si ex hominum quidem injuria factus sit, vel in persecutione virilibus privatus sit, vel sic natus est, et dignus est, fiat.

κβ'. Ὁ ἀκρωτηριάσας ἑαυτὸν, μὴ γινέσθω κληρικός · αὐτοφονευτὴς γὰρ ἑαυτοῦ, καὶ τῆς τοῦ θεοῦ δημιουργίας ἐχθρός. D

22 [21]. Qui seipsum mutilavit, ne sit clericus : est sui homicida, et Dei opificii hostis.

οζ'. Εἴ τις ἀνάπηρος ἢ τὸν ὀφθαλμὸν, ἢ τὸ σκέλος πεπληγμένος, ἄξιος δέ ἐστιν ἐπισκοπῆς, γινέσθω · οὐ γὰρ λώβη σώματος αὐτὸν μιαίνει, ἀλλὰ ψυχῆς μολυσμός.

77 [76].Si quis [61] vel oculo orbatus,vel femore oblæsus, episcopatu autem dignus sit, fiat. Non enim corporis damnum eum polluit, sed animæ inquinatio.

οη'. Κωφὸς δὲ ὢν τυφλὸς, μὴ γινέσθω ἐπίσκοπος · οὐχ ὡς μεμιαμμένος, ἀλλ' ἵνα μὴ τὰ ἐκκλησιαστικὰ παρεμποδίζοιτο.

78 [77]. Qui autem est surdus et cæcus, ne sit episcopus : non ut pollutus, sed ne ecclesiastica impediantur.

[53] II Tim. III, 6. [59] Distinct. 77 *Si quis in ægritudine.* [60] Distinct. 3. [61] Antioch. c. 23.

NOTÆ.

(19) Hic et sequens canon citantur act. 11 concilii Chalcedonensis, dicunturque 93 et 96 codicis ecclesiastici, de quo plura Justellus qui edidit, aliique.

Digitized by Google Распознавание текста ABKAFR

Concilii Nicæni canon 1.

64 1. Si quis a medicis in morbo excisus, vel a Barbaris exsectus est, is in clero maneat. Si quis autem cum esset sanus, seipsum exsecuit, eum etiam in clero examinatum cessare convenit, et deinceps nullum talem oportet promoveri. Quemadmodum autem hoc manifestum est, quod de iis, qui de industria hoc agant, et se ipsos audent excidere, dictum est : item si aliqui a Barbaris vel dominis castrati sint inveniantur autem et alioqui digni, tales in clerum admittit canon.

Textus. Civilis lex eos qui seipsos aut alios castrant diversimode punit: alias capite, alias [bonorum] publicatione et exsilio, alias talione. Omnino enim in nostra republica neminem eunuchum fieri permittit : sed apud Barbaros solum Barbaros. Si quis tamen apud nos castratus sit, liber fit, si servus fuerit, etiam si propter morbum castratus sit : ut lib. IV cod. tit. 42, const. 1, 2; et lib. XLVIII, tit. 8, digestum 4, 5, 6, 11, et in novella sanctione 142, de his qui eunuchos faciunt.

CAP. XV. — *Dæmoniacus in clerum non recipiatur. Apostolorum canon* 78.

79 [78]. Si quis dæmonem habeat, ne fiat clericus, sed neque cum fidelibus precetur. Purgatus autem recipiatur ; et si sit dignus, fiat.

65 CAP. XVI. — *De eo qui non obtemperat episcopo volenti ipsum ad majorem gradum ordinare.*

Concilii Carthaginensis canon 31.

31. Si qui clerici ab episcopis suis promoti contempserint, nec illic maneant, unde recedere noluerunt.

Item placuit [62], ut quicunque clerici, vel diaconi pro necessitatibus Ecclesiarum non obtemperaverint episcopis suis, volentibus eos ad honorem ampliorem [*mss.* meliorem] in sua ecclesia promovere, nec illic ministrent in gradu suo, unde recedere noluerunt.

Basilii canon 10.

10. Qui jurant se ordinationem non accepturos, ejurantes, ne cogantur pejerare. Etsi enim videtur aliquis esse canon, qui ejusmodi hominibus concedat ; experientia tamen cognovimus eos qui pejerarunt, felices exitus non habere. Consideranda autem sunt et species jurisjurandi, et verba, et animus quo juraverunt, et sigillatim quæ verbis addita fuerunt, adeo ut si nulla prorsus sit rei leniendæ ratio, tales omnino dimittendi sint. Quod autem attinet ad Severi negotium, videlicet ad presbyterum ab ipso ordinatum, videtur nihi res temperamentum ejusmodi habere, si idem et tibi videatur. Agrum illum Misthiæ subjectum, cui ille vir addictus fuit, jube Vasodis subesse. Sic enim nec pejerabit ille a loco non recedens, nec Longinus, secum habens Cyriacum, in causa erit cur deserta

A Συνόδου Νικαίας κανὼν α'.

α'. Εἴ τις ἐν νόσῳ ὑπὸ ἰατρῶν ἐχειρουργήθη, ἢ ὑπὸ βαρβάρων ἐξετμήθη, οὗτος μενέτω ἐν τῷ κλήρῳ· εἰ δέ τις ὑγιαίνων ἑαυτὸν ἐξέτεμε, τοῦτον καὶ ἐν τῷ κλήρῳ ἐξεταζόμενον, πεπαῦσθαι προσήκει· καὶ ἐκ τοῦ δεῦρο, μηδένα τῶν τοιούτων χρῆναι προάγεσθαι· Ὥσπερ δὲ τοῦτο πρόδηλον, ὅτι περὶ τῶν ἐπιτηδευόντων τὸ πρᾶγμα, καὶ τολμώντων ἑαυτοὺς ἐκτέμνειν εἴρηται· οὕτως εἴ τινες ὑπὸ βαρβάρων ἢ δεσποτῶν εὐνουχίσθησαν, εὑρίσκοιντο δὲ ἄλλως ἄξιοι, τοὺς τοιούτους εἰς κλῆρον προσίεται ὁ κανών.

Ὁ πολιτικὸς νόμος τοὺς ἑαυτοὺς ἢ ἑτέρους εὐνουχίζοντας διαφόρως τιμωρεῖται, ποτὲ μὲν κεφαλικῶς, ποτὲ δὲ δημεύσει καὶ ἐξορίᾳ, ποτὲ δὲ ταυτοπαθείᾳ· καθόλου γὰρ ἐν τῇ πολιτείᾳ ἡμῶν, οὐδένα συγχωρεῖ B εὐνουχίζεσθαι· ἀλλὰ παρὰ βαρβάροις μόνοις βαρβάρους. Εἰ δέ τις παρ' ἡμῖν εὐνουχισθῇ, ἐλευθεροῦται, εἴπερ ἦν δοῦλος, κἂν διὰ νόσον εὐνουχισθῇ· ὡς βιβ. δ' τοῦ κωδ. τίτ. μβ' διάτ. α' καὶ β', καὶ βιβ. μη', τιτ. η', διάτ. γ' δ' ε' ς' ια· καὶ ἐν τῇ περὶ τῶν εὐνουχιζόντων ρμβ' νεαρᾷ.

ΚΕΦΑΛ. ΙΕ'. — Περὶ τοῦ δαιμονιζόμενον μὴ κληροῦσθαι.

Ἀποστόλων κανὼν οθ'.

οθ'. Ἐάν τις δαίμονα ἔχῃ, κληρικὸς μὴ γινέσθω, ἀλλὰ μὴ δὲ τοῖς πιστοῖς συνευχέσθω· καθαρισθεὶς δὲ, προσδεχέσθω· καὶ ἐὰν ᾖ ἄξιος, γινέσθω.

ΚΕΦΑΛ ΙΣ'. — Περὶ τοῦ μὴ πειθαρχοῦντος τῷ ἰδίῳ ἐπισκόπῳ, βουλομένῳ χειροτονεῖν αὐτὸν εἰς μείζονα βαθμόν.

C Συνόδου Καρθαγέννης κανὼν λα'.

λα'. Ἐάν τις κληρικὸς ἐκ τῶν ἰδίων ἐπισκόπων προβιβαζόμενος καταφρονῇ, μηδὲ ἐκεῖ μείνῃ ὅθεν ἀναχωρῆσαι οὐκ ἠθέλησεν.

Ὁμοίως ἤρεσεν, ἵνα οἱοιδήποτε κληρικοὶ καὶ διάκονοι, ἐὰν μὴ πειθαρχῶσι τοῖς ἐπισκόποις αὐτῶν, βουλομένοις διὰ τινας ἀναγκαστικὰς αἰτίας τῶν Ἐκκλησιῶν αὐτῶν τούτους πρὸς μείζονας ἀναβιβάσαι τιμὰς ἐν τῇ Ἐκκλησίᾳ αὐτῶν, μηδὲ ἐν ἐκείνῳ τῷ βαθμῷ διακονήσωσιν, ἐξ οὗ ἀναχωρῆσαι οὐκ ἠθέλησαν.

Βασιλείου κανὼν ι'.

ι'. Οἱ ὀμνύοντες μὴ καταδέχεσθαι τὴν χειροτονίαν, ἐξομνύμενοι μὴ ἀναγκαζέσθωσαν ἐπιορκεῖν. Εἰ γὰρ καὶ δοκεῖ τις εἶναι κανὼν ὁ συγχωρῶν τοῖς τοιούτοις, ἀλλὰ πείρᾳ ἐγνώκαμεν, ὅτι οὐκ εὐοδοῦνται οἱ D παρορκήσαντες. Σκοπεῖν δὲ δεῖ καὶ τὸ εἶδος τοῦ ὅρκου, καὶ τὰ ῥήματα, καὶ τὴν διάθεσιν ἀφ' ἧς ὁμωμόκασι, καὶ τὰς κατὰ λεπτὸν ἐν τοῖς ῥήμασι προσθήκας· ὡς ἐὰν μηδεμίᾳ ᾖ μηδαμόθεν παραμυθία, χρὴ παντελῶς ἐᾶν τοὺς τοιούτους. Τὸ μέν τοι κατὰ Σεβῆρον πρᾶγμα, ἤτοι τὸν ὑπὸ τούτου χειροτονηθέντα πρεσβύτερον, τοιαύτην τινά μοι δοκεῖ παραμυθίαν ἔχειν, εἰ καὶ σοὶ συνδοκεῖ· τὸν ἀγρὸν ἐκεῖνον τὸν ἐπικείμενον τῇ Μισθίᾳ, ᾧ ἐπεκηρύχθη ὁ ἄνθρωπος, κέλευσον Οὐασόδοις ὑποτελεῖν. Οὕτω γὰρ κἀκεῖνος οὐ παρορκήσει, μὴ ἀναχωρῶν τοῦ τόπου· καὶ ὁ Λογγῖνος ἔχων τὸν Κυριακὸν μεθ' ἑαυτοῦ, οὐκ ἐρημώσει τὴν Ἐκλη-

63 Carthag. III, cap. 49 et 12, quæst. 3, cap. 1 ; Carthag. III, cap. 49 et 12, quæst. 3, cap. 1.

Digitized by Google Распознавание текста ABK/FR

σίαν, οὐδὲ τὴν ἑαυτοῦ ψυχὴν διὰ τῆς ἀργίας καταδι- A 36 sit ecclesia, neque animam suam per otium
κάσει· καὶ ἡμεῖς δόξομεν μὴ παρὰ κανόνας ποιεῖν τί damnabit. Neque nos aliquid præter canones effi-
συμπεριφερόμενοι τῷ Κυριακῷ, ὁμόσαντι μὲν συμ- cere videbimur, accommodatione utentes in Cyria-
παραμένειν Μινδάνοις, καταδεξαμένῳ δὲ τὴν μετά- cum, qui cum se Mindanis permansurum jurasset,
θεσιν. Ἡ γὰρ ἐπάνοδος φυλακὴ ἔσται τοῦ ὅρκου· τὸ tamen translationem suscepit. Reditus enim erit
δὲ εἶξαι αὐτὸν τῇ οἰκονομίᾳ, εἰς ἐπορκίαν αὐτῷ οὐ jurisjurandi observatio. Œconomiæ autem a dis-
λογισθήσεται, διὰ τὸ μὴ προκεῖσθαι τῷ ὅρκῳ, μηδὲ pensatione si cesserit, id ei perjurii loco non im-
πρὸς βραχὺ ἀναχωρῆσαι Μινδάνων, ἀλλὰ παραμένειν putabitur, quippe quia jurijurando adjectum non
εἰς τὸ ἐφεξῆς. Σεβήρῳ δὲ προφασιζομένῳ τὴν λήθην, est ne paululum quidem Mindanis recessurum, sed
ἡμεῖς συγχωρήσομεν εἰπόντες, ὅτι ὁ τῶν κρυπτῶν deinceps permansurum. Nos autem Severo oblivio-
γνώστης, οὐ περιόψεται τὴν ἑαυτοῦ Ἐκκλησίαν ὑπὸ nem causanti sic ignoscemus, ut eum moneamus,
τοιούτου λυμαινομένην, ποιοῦντος μὲν ἀκανονίσως τὸ occultorum cognitorem suam ipsius Ecclesiam non
ἐξ ἀρχῆς, ὅρκῳ δὲ καταδεσμοῦντος παρὰ τὰ Εὐαγγέ- passurum ab ejusmodi homine labefactari: qui
λια, παρορκεῖν δὲ διδάσκοντος δι' ὧν μετετέθη, ψευ- præter canones ab initio fecit, ne jurejurando con-
δομένου δὲ νῦν δι' ὧν τὴν λήθην σχηματίζεται. tra Evangelia astringit, et perjurium transfe-
Ἐπειδὴ δὲ οὐκ ἐσμὲν καρδιῶν κριταί, ἀλλ' ἐξ ὧν B rendo edocet, ac postremo, dum oblivionem simu-
ἀκούομεν κρίνομεν, δῶμεν τῷ Κυρίῳ τὴν ἐκδίκησιν, lat, mentitur. Sed quoniam cordium judices non
αὐτοὶ δὲ ἀδιακρίτως αὐτὸν δεξώμεθα, συγγνώμην sumus, sed ex iis quæ audimus, judicamus, de-
δόντες ἀνθρωπίνῳ πάθει τῇ λήθῃ. mus Domino vindictam, eumque citra examen su-
spiciamus, humano vitio, oblivioni scilicet, igno-
scentes.

ΚΕΦΑΛ. ΙΖ'. — Περὶ ἐπισκόπου ἢ κληρικοῦ χει- CAP. XVI. — *De episcopo aut clerico ordinato*
ροτονηθέντος καὶ μὴ δεχθέντος ὑπὸ τῆς πα- *quidem, sed qui a suo diœcesi vel parœcia non*
ροικίας, ἢ μὴ καταδεξαμένου, ἢ μὴ δυνηθέντος *recipitur, vel ministerium recipere recusat, vel*
ἀπελθεῖν. *in stationem suam nequit abire.*

Ἀποστόλων κανὼν λς'. *Apostolorum canon* 36.

λς'. Εἴ τις χειροτονηθεὶς ἐπίσκοπος, μὴ καταδέ- 36 [37]. Si quis ordinatus episcopus non suscipiat ministerium [62*], et curam sibi commissam, sit
χοιτο τὴν λειτουργίαν καὶ τὴν φροντίδα τοῦ λαοῦ τὴν segregatus, donec eam susceperit: similiter et
ἐγχειρισθεῖσαν αὐτῷ, τοῦτον ἀφορισμένον τυγχάνειν, presbyter, et diaconus. Sin autem recesserit, nec
ἕως ἂν καταδέξηται· ὡσαύτως καὶ πρεσβύτερος καὶ susceptus fuerit, non sua quidem voluntate, sed C
διάκονος. Εἰ δὲ ἀπελθὼν μὴ δεχθείη οὐ παρὰ τὴν propter 57 populi improbitatem, ipse quidem
ἑαυτοῦ γνώμην, ἀλλὰ παρὰ τὴν τοῦ λαοῦ μοχθηρίαν, maneat episcopus, clericus autem civitatis segre-
αὐτὸς μὲν ἔστω ἐπίσκοπος, ὁ δὲ κλῆρος τῆς πόλεως getur, quod ejusmodi rebellis et insolentis po-
ἀφοριζέσθω, ὅτι τοιούτου λασοῦ ἀνυποτάκτου παιδευ- puli institutores non fuerint.
ταὶ οὐκ ἐγένοντο.

Συνόδου Ἀγκύρας κανὼν ιη'. *Concilii Ancyrani canon* 18.

ιη'. Οἵτινες ἐπίσκοποι καταστασθέντες καὶ μὴ δε- 18. Si qui constituti episcopi, et ab illa paro-
χθέντες ὑπὸ τῆς παροικίας ἐκείνης εἰς ἣν ὠνομά- chia, in quam nominati fuerunt, non suscepti,
σθησαν, ἑτέραις βούλοιντο παροικίαις ἐπιέναι, καὶ alias velint parochias invadere, et iis qui consti-
βιάζεσθαι τοὺς καθεστῶτας, καὶ στάσεις κινεῖν κατ' tuti sunt, vim afferre, et seditiones adversus il-
αὐτῶν, τούτους ἀφορίζεσθαι· ἐὰν μέν τοι βούλοιντο los excitare, eos segregari. Sin autem velint in
εἰς τὸ πρεσβυτέριον καθέζεσθαι, ἔνθα ἦσαν πρότε- presbyterio residere, in quo prius erant presbyte-
ρον πρεσβύτεροι, μὴ ἀποβάλλεσθαι αὐτοὺς τῆς τι- ri, ipsos honore non moveri. Quod si adversus
μῆς. Ἐὰν δὲ διαστασιάζωσι πρὸς τοὺς καθεστῶτας eos, qui illic constituti sunt, episcopos seditiones
ἐκεῖ ἐπισκόπους, ἀφαιρεῖσθαι αὐτοὺς καὶ τὴν τιμὴν excitaverint, honorem quoque presbyterii ab eis
τοῦ πρεσβυτερίου, καὶ γίνεσθαι αὐτοὺς ἐκκηρύκτους. D auferri, et illos abdicatos effici.

Συνόδου Ἀντιοχείας κανὼν ιζ' ιη'. *Concilii Antiocheni canones* 17, 18.

ιζ'. Εἴ τις ἐπίσκοπος χειροθεσίαν ἐπισκόπου λα- 17. Si quis episcopus accepta ordinatione et
βὼν, καὶ ὁρισθεὶς προεστᾶναι λαοῦ, μὴ καταδέξοιτο manuum impositione episcopi, et populo præsse
τὴν λειτουργίαν, μηδὲ ἀπιέναι πείθοιτο εἰς τὴν ἐγχει- jussus, munus non susceperit, nec ut ad sibi con-
ρισθεῖσαν αὐτῷ Ἐκκλησίαν, τοῦτον εἶναι ἀκοινώνη- creditam ecclesiam proficiscatur permoveri pos-
τον· ἕως τ' ἂν ἀναγκασθεὶς καταδέξοιτο, ἢ ὁρίσῃ τι sit, is sit excommunicatus, donec coactus suscipiat, vel perfecta synodus episcoporum provin-
περὶ αὐτοῦ ἡ τελεία σύνοδος τῶν κατὰ τὴν ἐπαρχίαν cialium de ipso aliquid decernat.
ἐπισκόπων.

ιη'. Εἴ τις ἐπίσκοπος χειροτονηθεὶς εἰς παροι- 18. Si quis ordinatus non ierit in parochiam,
κίαν, μὴ ἀπέλθοι εἰς ἣν ἐχειροτονήθη, οὐ παρὰ τὴν ad quam est ordinatus, non sua quidem culpa, sed
ἑαυτοῦ αἰτίαν, ἀλλ' ἤτοι διὰ τὴν τοῦ λαοῦ παραίτη- propter populi recusationem, vel aliquam aliam
σιν ἢ δι' ἑτέραν αἰτίαν οὐκ ἐξ αὐτοῦ γενομένην, causam, quæ a se non oritur is sit et honoris et

62* Conc. Ephesinum.

Digitized by Google Распознавание текста ABK/FR

muneris particeps, dummodo nullam rebus Ecclesiæ, in qua convenit, molestiam afferat. Is autem id suscipiat, quod perfecta provinciæ synodus, eo quod ad se allatum est judicato, statuerit.

58 CAP. XVIII. — *Quod morienti episcopo non licet alium pro se ordinare.*

Apostolorum canon 76.

76 [78]. Quod non oportet episcopum fratri, vel filio, vel alii cognato gratificantem, humana affectione ad episcopatus dignitatem, quem vult, eligere. Episcopatus enim hæredes facere justum non est, ea quæ Dei sunt largientem. Si quis autem hoc fecerit, irrita quidem electio maneat, ipse autem segregatione multetur.

Concilii Antiocheni canon 23.

23. Nec liceat episcopo alium pro se successorem constituere, etiamsi sit in fine vitæ. Si quid autem fiat ejusmodi, irrita sit constitutio. Servetur autem ritus ecclesiasticus, qui continet, non aliter debere fieri, quam cum synodo et judicio episcoporum, qui post defuncti dormitionem potestatem habent dignum provehendi.

CAP. XIX. — *Parvæ urbi vel pago prorsus non detur episcopus.*

Concilii Antiocheni canon 57.

57. Quod non oportet in vicis et pagis episcopos constitui, sed periodeutas, hoc est, circumcursatores: eos autem qui 59 prius constituti fuerunt, nihil agere sine mente episcopi qui est in civitate. Similiter autem et presbyteros nihil agere sine mente episcopi.

Concilii Sardicensis canon 6.

Hosius episcopus dixit: Si contigerit in una provincia, etc., *ut pag.* 481. *Additur hic*: Responderunt omnes: Placet.

CAP. XX. — *Neque in una provincia metropolitani duo, neque in una urbe duo episcopi sint, neque duabus urbibus unus clericus deputetur.*

Concilii Nicæni canon 8.

8. De his 63 qui se catharos, id est puros quandoque nominant ad catholicam autem et apostolicam Ecclesiam accedunt, sanctæ magnæ synodo visum est, ut impositis eis manibus sic in clero maneant. Ante omnia autem hoc in scriptis ipsos profiteri convenit, quod adhærebunt et sequentur catholicæ ecclesiæ decreta, id est quæ et cum digamis communicabunt, et cum iis qui in persecutione lapsi sunt, in quibus et tempus constitutum est, et opportunitas præfinita, ut ipsi sequantur in omnibus Ecclesiæ decreta. Ubi ergo omnes sive in vicis, sive in urbibus, ipsi soli inveniuntur ordinati, qui inveniuntur in clero, erunt in eodem ordine. Si autem catholicæ ecclesiæ episcopo vel presbytero existente accedunt aliqui, clarum est, quod ecclesiæ quidem episcopi dignitatem habebit: qui au-

63 Leon. 14.

A τοῦτον μετέχειν τῆς τιμῆς καὶ λειτουργίας μόνον, μηδὲν παρενοχλοῦντα τοῖς πράγμασι τῆς Ἐκκλησίας ἔνθα ἂν συνάγοιτο· ἐκδέχεσθαι δὲ τοῦτον ὃ ἂν ἡ τῆς ἐπαρχίας τελεία σύνοδος κρίνασα τὸ παριστάμενον ὁρίσῃ.

ΚΕΦΑΛ. ΙΗ'. — Περὶ τοῦ μὴ δύνασθαι τὸν τελευτῶντα ἐπίσκοπον, ἕτερον ἀντ' αὐτοῦ χειροτονεῖν.

Ἀποστόλων κανὼν οϛ'.

οϛ'. Ὅτι μὴ χρὴ τὸν ἐπίσκοπον τῷ ἀδελφῷ ἢ τῷ υἱῷ ἢ ἑτέρῳ συγγενεῖ χαριζόμενον τὸ ἀξίωμα τῆς ἐπισκοπῆς, χειροτονεῖν ὃν βούλεται. Κληρονόμους γὰρ τῆς ἐπισκοπῆς ποιεῖσθαι, οὐ δίκαιον, τὰ τοῦ Θεοῦ χαριζόμενον πάθει ἀνθρωπίνῳ· οὐ γὰρ τὴν τοῦ Θεοῦ Ἐκκλησίαν ὑπὸ κληρονομίαν ὀφείλει τιθέναι. Εἰ δέ τις τοῦτο ποιήσει, ἄκυρος μὲν ἔστω ἡ χειροτο- B νία, αὐτὸς δὲ ἐπιτιμάσθω ἀφορισμῷ.

Συνόδου Ἀντιοχείας κανὼν κγ'.

κγ'. Ἐπίσκοπον μὴ ἐξεῖναι, ἀντ' αὐτοῦ καθιστᾷν ἕτερον ἑαυτοῦ διάδοχον· κἂν πρὸς τῇ τελευτῇ τοῦ βίου τυγχάνῃ· εἰ δέ τι τοιοῦτο γίγνοιτο, ἄκυρον εἶναι τὴν κατάστασιν· φυλάττεσθαι δὲ τὸν θεσμὸν τὸν ἐκκλησιαστικὸν, περιέχοντα μὴ δεῖν ἄλλως γίνεσθαι, ἢ μετὰ συνόδου καὶ ἐπικρίσεως ἐπισκόπων τῶν μετὰ τὴν κοίμησιν τοῦ ἀναπαυσαμένου τὴν ἐξουσίαν ἐχόντων τοῦ προάγεσθαι τὸν ἄξιον.

ΚΕΦΑΛ. ΙΘ'. — Περὶ τοῦ μὴ ἁπλῶς ἐν πόλει βραχείᾳ ἢ κώμῃ γίνεσθαι ἐπίσκοπον.

Συνόδου Λαοδικείας κανὼν νζ'.

νζ'. Ὅτι οὐ δεῖ ἐν ταῖς κώμαις καὶ ἐν ταῖς χώραις καθίστασθαι ἐπισκόπους ἀλλὰ περιοδευτὰς, τοὺς μέν C τοι ἤδη προκατασταθέντας, μηδὲν πράττειν ἄνευ γνώμης τοῦ ἐπισκόπου τοῦ ἐν τῇ πόλει· ὡσαύτως δὲ καὶ τοὺς πρεσβυτέρους, μηδὲν πράττειν ἄνευ γνώμης τοῦ ἐπισκόπου.

Συνόδου Σαρδικῆς κανὼν ϛ'.

Ὅσιος ἐπίσκοπος εἶπεν· Ἐὰν συμβῇ ἐν μιᾷ ἐπαρχίᾳ, κ. τ. λ. Ἀπεκρίναντο πάντες, Ἀρέσκει.

ΚΕΦΑΛ. Κ'. — Περὶ τοῦ μὴ εἶναι ἐν μιᾷ ἐπαρχίᾳ δύο μητροπολίτας, ἢ ἐν μιᾷ πόλει δύο ἐπισκόπους, ἢ ἐν δύο πόλεσιν ἕνα κληρικόν.

Συνόδου Νικαίας κανὼν η'.

η'. Περὶ τῶν ὀνομαζόντων μὲν ἑαυτοὺς καθαροὺς, προσερχομένων δὲ τῇ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ, ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὡστε D χειροθετουμένους αὐτοὺς, μένειν οὕτως ἐν τῷ κλήρῳ, πρὸ πάντων δὲ τοῦτο ὁμολογῆσαι αὐτοὺς ἐγγράφως προσήκει, ὅτι συνθήσονται καὶ ἀκολουθήσουσι τοῖς τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας δόγμασι· τουτέστι καὶ διγάμοις κοινωνεῖν, καὶ τοῖς ἐν τῷ διωγμῷ παραπεπτωκόσιν, ἐφ' ὧν καὶ χρόνος τέτακται καιρὸς ὥρισται· ὥστε αὐτοὺς ἀκολουθεῖν ἐν πᾶσι τοῖς δόγμασι τῆς καθολικῆς Ἐκκλησίας· ἔνθα μὲν οὖν πάντες, εἴτε ἐν κώμαις, εἴτε ἐν πόλεσιν, αὐτοὶ μόνοι εὑρίσκοιντο χειροτονηθέντες, οἱ εὑρισκόμενοι ἐν τῷ κλήρῳ, ἔσονται ἐν τῷ αὐτῷ σχήματι. Εἰ δὲ τοῦ τῆς καθολικῆς Ἐκκλησίας ἐπισκόπου ἢ πρεσβυτέρου ὄντος, προσέρχονταί τινες, πρόδηλον ὡς ὁ μὲν ἐπί-

Digitized by Google Распознавание текста ABK/FR

σκοπος τῆς ἐκκλησίας ἕξει τὸ ἀξίωμα τοῦ ἐπισκόπου· ὁ δὲ ὀνομαζόμενος παρὰ τοῖς λεγομένοις καθαροῖς ἐπίσκοπος, τὴν τοῦ πρεσβυτέρου τιμὴν ἕξει· πλὴν εἰ μὴ ἄρα δοκοίη τῷ ἐπισκόπῳ τῆς τιμῆς τοῦ ὀνόματος αὐτὸν μετέχειν. Εἰ δὲ τοῦτο αὐτῷ μὴ ἀρέσκοι, ἐπινοήσει τόπον ἢ χωρεπισκόπου ἢ πρεσβυτέρου, ὑπὲρ τοῦ ἐν τῷ κλήρῳ ὅλως δοκεῖν εἶναι, ἵνα μὴ ἐν τῇ πόλει δύο ἐπίσκοποι ὦσιν.

Συνόδου Χαλκηδόνος κανὼν ιβ'.

ιβ'. Ἦλθεν εἰς ἡμᾶς, ὡς τινες παρὰ τὰς ἐκκλησιαστικὰς θέσμους προσδραμόντες δυναστείαις, διὰ πραγματικῶν τὴν μίαν ἐπαρχίαν εἰς δύο κατέτεμον ὡς ἐκ τούτου δύο μητροπολίτας εἶναι ἐν τῇ αὐτῇ ἐπαρχίᾳ· ὥρισε τοίνυν ἡ ἁγία σύνοδος τοῦ λοιποῦ, μηδὲν τοιοῦτο τολμᾶσθαι παρὰ τοῦ ἐπισκόπου· ἐπεὶ τὸν τοῦτο ἐπιχειροῦντα, ἐκπίπτειν τοῦ ἰδίου βαθμοῦ· δεδόσθαι δὲ ἤδη πόλεις διὰ γραμμάτων βασιλικῶν τῷ τῆς μητροπόλεως ἐτιμήθησαν ὀνόματι, μόνης ἀπολαυέτωσαν τῆς τιμῆς, καὶ ὁ τὴν Ἐκκλησίαν αὐτῆς διοικῶν ἐπίσκοπος· δηλονότι σωζομένων τῇ κατὰ ἀλήθειαν μητροπόλει τῶν οἰκείων δικαίων.

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν ιε'.

Ὅτι οὐ δεῖ κληρικὸν ἐν δυσὶν ἐκκλησίαις καταττάττεσθαι.

ιε'. Κληρικὸς ἀπὸ τοῦ παρόντος, μὴ καταταττέσθω ἐν δυσὶν ἐκκλησίαις· ἐμπορίας γὰρ καὶ αἰσχροκερδείας ἴδιον τοῦτο, καὶ ἀλλότριον ἐκκλησιαστικῆς συνηθείας. Ἠκούσαμεν γὰρ ἐξ αὐτῆς τῆς Κυριακῆς φωνῆς, ὅτι οὐ δύναται τις δυσὶ κυρίοις δουλεύειν. Ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει· ἕκαστος οὖν, κατὰ τὴν ἀποστολικὴν φωνὴν, ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ ὀφείλει μένειν καὶ προσεδρεύειν ἐν μιᾷ ἐκκλησίᾳ. Τὰ γὰρ δι' αἰσχροκέρδειαν γινόμενα ἐπὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἀλλότρια τοῦ Θεοῦ καθεστήκασι· πρὸς δὲ τὴν τοῦ βίου τούτου χρείαν, ἐπιτηδεύματα εἰσὶ διάφορα· ἐξ αὐτῶν εἴ τις βούλοιτο, τὰ χρειώδη τοῦ σώματος πορίζέσθω. Ἔφη γὰρ ὁ Ἀπόστολος, Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται· καὶ ταῦτα μὲν ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει· ἐν δὲ τοῖς ἔξω χωρίοις διὰ τὴν ἔλλειψιν τῶν ἀνθρώπων, παραχωρείσθω.

Ἡ Ἑλενόποντος δύο μητροπολίτας ἔχει ὡς ἡ κη' νεαρά· ἡ Παφλαγονία διαφόρους, ὡς ἡ κθ' νεαρά· καὶ ἡ Φρυγία Καπατιανὴ, καὶ ἡ δευτέρα Καππαδοκία· οὔτε δὲ δύο πολεών τις εἶναι δύναται ἐπίσκοπος· ἐξήρηται ὁ Τομέως, αὐτὸς γὰρ καὶ τῶν λοιπῶν ἐκκλησιῶν Σκυθίας προνοεῖ· καὶ ἡ Λεοντόπολις Ἰσαυρίας ὑπὸ τὸν ἐπίσκοπόν ἐστιν Ἰσαυροπόλεως, ὡς βιβλ. α' τοῦ κώδ., τιτ. α' διάτ. λε'· οὔτε δὲ ἡγούμενος γίνεται δύο μοναστηρίων, ὡς διάτ. λθ' τοῦ αὐτοῦ τίτλου.

ΚΕΦΑΛ. ΚΑ'. — Περὶ τῶν χειροτονούντων ἐν ταῖς μὴ οὔσαις ὑπ' αὐτοὺς πόλεσιν ἢ ἐπαρχίαις.

Ἀποστόλων κανὼν λέ'.

λε'. Ἐπίσκοπον μὴ τολμᾷν ἔξω τῶν ἑαυτοῦ ὅρων, κ. τ. λ.

tem apud eos, qui cathari dicuntur, nominatur episcopus 60, presbyteri honorem habebit: nisi utique episcopo placeat ipsum nominis honorem impertire. Si autem 64 hoc illi non placeat, vel chorepiscopi, vel presbyteri locum excogitabit, ut esse omnino in clero videatur, ne in civitate duo sint episcopi.

Concilii Chalcedonensis canon 12.

12. Pervenit ad nos 65, quod quidam, cum præterritus ecclesiasticos ad potentatus accessissent, per pragmaticas unam provinciam in duas diviserunt: ut ex eo duo essent metropolitani in eadem provincia. Statuit ergo sacra synodus, ne episcopus deinceps tale quid audeat: quoniam is qui hoc aggreditur, a suo gradu excidit. Quæcunque autem civitates per litteras imperatorias metropolis nomine honoratæ sunt, solo honore fruantur, et qui ejus Ecclesiam administrat episcopus, servato scilicet veræ metropolis suo jure.

Concilii Nicæni secundi canon 15.
Clericus in duabus ecclesiis non collocari debet.

15. Clericus ab hoc deinceps tempore in duabus ecclesiis non collocetur. Hoc enim et negotiationis et turpis lucri proprium, et ab ecclesiastica consuetudine alienum. Ab ipsa enim Domini voce audivimus non posse quempiam duobus dominis servire: *Vel enim unum odio habebit, et alterum diliget: aut unum sustinebit, et alterum contemnet* 66. *Unusquisque ergo*, ut vox est apostolica, *in eo, in quo vocatus est, debet manere, et in una ecclesia assidere* 67. Quæ enim propter turpe lucrum sunt in ecclesiasticis negotiis, ea a Deo sunt aliena. Ad hujus autem vitæ 61 usum sunt diversa studia: ex iis ergo, si quis velit, ea quæ sunt corporis ad usum necessaria comparet. Dixit enim Apostolus: *Usui meo et iis qui mecum sunt subministraverunt manus meæ* 68. Et hoc quidem in hac a Deo custodita civitate. In iis autem quæ extra sunt locis, propter hominum inopiam, permittatur.

Textus. Helenopontus duos metropolitanos habet, ut 28 Novella [tradit]: Paphlagonia multos, ut 29 Novella: [sic] etiam Phrygia Capatiana, et Cappadocia secunda. Neque in duabus civitatibus potest quis esse episcopus. Excipitur episcopus Tomensis. Ille enim reliquarum ecclesiarum Scythiæ curam gerit. [Tum] et Leontopolis Isauriæ sub episcopo Isauropolis est, ut lib. 1 cod. tit. 3. const. 35 [habet]. Neque præsul [quisquam] duorum monasteriorum fit, ut const. 39 ejusdem tit.

CAP. XXI. — *De iis qui ordinationes faciunt in urbibus provinciisve non suis.*

Apostolorum canon 35.

35. Episcopus ne audeat extra suos fines, etc., *ut pag.* 475.

64 Ancyr. 12, Neocæs. Antioch. 10. 65 Distinct. 41. 66 Matth. VI, 24. 67 I Cor. VII, 20. 68 Act. XX, 34.

Digitized by Google Распознавание текста ABK/FR

Condita Antiochæni canones 13, 22.

13. *Nullus episcopus audeat ab una provincia, etc., ut pag.* 475.

Episcopus in aliam civitatem, etc., ut pag. 475.

Concilii Ephesini canon 8.

22. *Qui vero auxi fuerint aut componere fidem alteram, etc., ut pag.* 478.

62 CAP. XXII. — *De iis qui magistratuum patrocinio ecclesias obtinent.*

Apostolorum canon 30.

30 [29]. Si quis episcopus sæcularibus principibus usus per eos ecclesiam adeptus sit, deponatur et segregetur, et omnes qui illi communicant.

Concilii Nicæni secundi canon 3.

3. Omnem electionem quæ fit a magistratibus, *etc., ut pag.* 494.

CAP. XXIII. — *De iis qui ob matrimonium vel concubinatum non fiunt episcopi aut clerici.*

Apostolorum canones 17, 18, 19.

17 [16]. Qui post sanctam [69] baptismum duobus conjugiis fuerit implicitus, vel habuerit concubinam, non potest esse episcopus [70], vel presbyter, vel diaconus, vel omnino ex numero sacerdotali.

18 [17]. Qui viduam accepit [71], vel ejectam, vel meretricem [72], vel servam, vel mimam seu scenicam, non potest esse presbyter, vel episcopus, vel diaconus, vel omnino ex numero sacerdotali.

19 [18]. Qui duas sorores duxit, vel consobrinam, non potest esse clericus.

Concilii œcumenici sexti canones 3, 12.

De presbyteris et clericis.

3. Quoniam vero pius Christique amator imperator noster, hanc sanctam et universalem synodum allocutus est, ut eos 63 qui in clerum relati sunt, aliis divina transmittunt, puros et a culpa ac reprehensione alienos ministros efficiant; et quod intelligentia percipitur, magni Dei, qui est et sacrificium et pontifex, sacrificio dignos; et quæ ex nefariis nuptiis iis inusta sunt probra ac dedecora, repurgent: et præterea qui sunt sanctissimæ Romanorum ecclesiæ exactæ perfectionis canonem servandum proponant; qui vero sub hoc a Deo conservandæ imperantis urbis thono, quod est humanitatis et misericordiæ; utriusque paterne et simul religiose mistis, ut neque quod est mite ac mansuetum, dissolutum: neque quod est austerum, astrictivum relinquamus; et maxime cum ex ignorantia lapsus in non exiguam hominum multitudinem pervadat, decernimus, ut qui duobus quidem matrimoniis implicati fuere, et usque ad decimum quintum præteriti mensis Januarii præteritæ quartæ

A Συνόδου Ἀντιοχείας κανὼν τγ', κδ'.

τγ'. Μηδένα ἐπίσκοπον τολμᾷν ἀφ' ἑτέρας ἐπαρχίας, κ. τ. λ.

κδ'. Ἐπίσκοπον μὴ ἐπιβαίνειν ἀλλοτρίᾳ πόλει, κ. τ. λ.

Συνόδου Ἐφεσίνης κανὼν η'.

Τοὺς δὲ τολμῶντας ἢ συντίθεσθαι πίστιν ἑτέραν, κ. τ. λ.

ΚΕΦΑΛ. ΚΒ'. — Περὶ τῶν διὰ προστασίας ἀρχόντων, γινομένων ἐγκρατῶν ἐκκλησιῶν.

Ἀποστόλων κανὼν λ'.

λ'. Εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς Ἐκκλησίας γένηται, καθαιρείσθω καὶ ἀφορίζέσθω, καὶ οἱ συναπτόμενοι αὐτῷ πάντες.

Συνόδου Νικαίας τὸ δεύτερον κανὼν γ'.

γ'. Πᾶσαν χειροτονίαν γινομένην παρὰ ἀρχόντων, κ. τ. λ.

B ΣΕΦΑΛ. ΚΓ'. — Περὶ τῶν διὰ γάμου ἢ καλλακισμόν, μὴ χειροτονουμένων ἐπισκόπων ἢ κληρικῶν.

Ἀποστόλων κανὼν ιζ' ιη' ιθ'.

ιζ'. Ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα ἢ καλλακὴν κτησάμενος, οὐ δύναται εἶναι ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ιη'. Ὁ χήραν λαβὼν, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνῆς, οὐ δύναται εἶναι ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ιθ'. Ὁ δύο ἀδελφὰς ἀγόμενος ἢ ἀδελφιδῆν, οὐ δύναται εἶναι κληρικός.

C Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν γ', ιβ'.

Περὶ ἱερέων καὶ κληρικῶν.

γ'. Ἐπειδὴ δὲ ὁ εὐσεβὴς καὶ φιλόχριστος ἡμῶν βασιλεὺς τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ προσεφώνησε συνόδῳ, ὥστε τοὺς ἐν κλήρῳ καταλεγομένους, καὶ ἄλλοις τὰ θεῖα διαπορθμεύοντας, καθαροὺς ἀποτῆναι καὶ λειτουργοὺς ἀμώμους, καὶ τῆς νοερᾶς τοῦ μεγάλου Θεοῦ καὶ θύματος καὶ ἀρχιερέως θυσίας ἀξίους, ἀναγκαῖον τε τὰ ἐξ ἀθέσμων γάμων τούτοις ἐπιτριβέντα μύσει· μοὶ τούτῳ τε τῶν μὲν τῆς Ῥωμαίων ἁγιωτάτης Ἐκκλησίας, τὸν τῆς ἀκριβείας τηρηθῆναι κανόνα προτιθεμένων, τῶν δὲ ὑπὸ τὸν τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως θρόνον, τὸν τῆς φιλανθρωπίας καὶ συμπαθείας, εἰς ἓν ἀμφότερα μίξαντες πατρικῶς ὁμοῦ καὶ θεοφιλῶς, ὡς μήτε τὸ πρᾶον ἔκλυτον, μήτε στῦφον τὸ αὐστηρὸν καταλείψοιμεν, καὶ μάλιστα τοῦ ἐξ ἀγνοίας πτώματος εἰς οὐκ ὀλίγων ἀνδρῶν πλῆθος διήκοντος συνορῶμεν, ὥστε τοὺς μὲν δυσὶ γάμοις περιπαρέντας, καὶ μέχρι τῆς πεντεκαιδεκάτου τοῦ διελθόντος Ἰανουαρίου μηνὸς, τῆς παρελθούσης δ' ἰνδικτιῶνος, ἔτους ϛργθ' (19), δουλωθέντας τῇ ἁμαρτίᾳ, καὶ μὴ

69 Dist. 33 *Si quis post.* 70 S. Basil. can. 12, ad Amph. 71 Dist. 4 *Si quis viduam.* 72 Vide leg. 3, de summa Trin.

NOTÆ.

(18) Anni Christi 706. Et sic conditi hi canones mense Septembri vel Octobri ejusdem anni. Vide Theophanem anno 27. Constantini Pogonati, et Alexium Aristinum. *Harduinus.*

(19) Perperam apud Beveregium ϛρθ'. Scilicet tam apud Beveregii Pandectas, quam apud Nomocanonem cum Balsamonis scholiis, numerorum menda non desunt. Reapse autem Trullana synodus non

Digitized by Google Распознавание текста ABBYY FR

ἐκνῆψαι ταύτης προελομένους, καθαιρέσει κανονικῇ ὑπολαβεῖν· τοὺς δὲ τῷ τοιούτῳ μὲν τῆς διγαμίας πάθει περιπεσόντας, πρὸ δὲ τῆς ἡμῶν ἐπιγνώσεως τὸ συμφέρον ἐπεγνωκότας, καὶ τὸ κακὸν ἐξ ἑαυτῶν περικόψαντας, καὶ πόρρω τὴν ξένην τούτην καὶ νόθον συμπλοκὴν ἐκδιώξαντας· ἢ καὶ ὧν αἱ κατὰ δεύτερον γάμον γυναῖκες ἤδη τετελευτήκασιν, ἢ καὶ αὐτοὶ ἐπιστροφὴν εἶδον, μεταμαθόντες τὴν σωφροσύνην, καὶ τῶν πρώην αὐτοῖς παρανομηθέντων ταχέως ἐπιλαθόμενοι, εἴτε πρεσβύτεροι εἴτε διάκονοι ὄντες τυγχάνοιεν, τούτους ἔδοξε πεπαῦσθαι μὲν πάσης ἱερατικῆς λειτουργίας, ἤτοι ἐνεργείας, ἤδη ἐπί ῥητὸν τινα χρόνον ἐπιτιμηθέντας· τῆς δὲ τιμῆς τῆς κατὰ τὴν καθέδραν καὶ στάσιν μετέχειν, ἀρκουμένους τῇ προεδρίᾳ καὶ προσκλαίοντας τῷ Κυρίῳ συγχωρηθῆναι αὐτοῖς τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα. Εὔλογον γὰρ ἕτερον, τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα, ἀνακολουθεῖν· τοὺς μέν τοι γαμετῇ μὲν μιᾷ συναφθέντας, χήρα δὲ ἡ προληφθεῖσα ἐτύγχανεν ἢ ἐκβεβλημένη, ὡσαύτως δὲ καὶ τοὺς μετὰ τὴν χειροτονίαν γάμῳ ἐνὶ παρανόμῳ προσομιλήσαντας, τουτέστι πρεσβυτέρους, καὶ διακόνους, καὶ ὑποδιακόνους, ἤδη ἐπὶ βραχύν τινα χρόνον εἰρχθέντας τῆς ἱερᾶς λειτουργίας, καὶ ἐπιτιμηθέντας, αὖθις αὐτοὺς ἐν τοῖς οἰκείοις ἀποκαταστῆναι βαθμοῖς, μηδαμῶς ἐν ἑτέρῳ μείζονι προκοπτοντας βαθμῷ· προδήλως διαλυθέντος αὐτοῖς τοῦ ἀθέσμου σύνοικεσίου. Ταῦτα δὲ τοῖς καταληφθεῖσι μέχρι τῆς πεντεκαιδεκάτου ὡς εἴρηται τοῦ Ἰανουαρίου μηνὸς, δ' ἰνδικτιῶνος, ἐν τοῖς προδηλωθεῖσι πταίσμασι καὶ μόνον, ἱερατικῶς (1) ἐτυπώσαμεν, ὁρίζοντες ἀπὸ τοῦ παρόντος καὶ ἀνανεούμενοι τὸν κανόνα τὸν διαγορεύοντα, τὸν δυσὶ γάμοιν συμπλακέντα μετὰ τὸ βαπτισμα, ἢ παλλακὴν κτησάμενον, μὴ δύνασθαι εἶναι ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ. Ὡσαύτως δὲ καὶ τὸν χήραν λαβόντα, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνῆς, μὴ δύνασθαι εἶναι ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ιϚ'. Καὶ τοῦτο δὲ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἐν τῇ Ἀφρικῇ καὶ Λιβύῃ καὶ ἑτέροις τόποις, οἱ τῶν ἐκεῖσε θεοφιλέστατοι πρόεδροι, συνοικεῖν ταῖς ἰδίαις γαμεταῖς καὶ μετὰ τὴν ἐπ' αὐτοῖς προελθοῦσαν χειροτονίαν οὐ παραιτοῦνται, πρόσκομμα τοῖς ἄλλοις τιθέντες ἐνταῦθα καὶ σκάνδαλον. Πολλῆς οὖν ἡμῖν σπουδῆς οὔσης, τοῦ πάντα πρὸς ὠφέλειαν τῶν ὑπὸ χεῖρα ποιμνίων διαπράττεσθαι, ἔδοξεν ὥστε μηδαμῶς τι τοιοῦτον ἀπὸ τοῦ νῦν γίγνεσθαι. Τοῦτο δέ φαμεν, οὐκ ἐπ' ἀθετήσει ἢ ἀνατροφῇ τῶν ἀποστολικῶς νενομοθετημένων, ἀλλὰ τῆς σωτηρίας καὶ τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς τῶν λαῶν προμηθούμενοι, καὶ τοῦ μὴ δοῦναι μῶμον τινὰ κατὰ τῆς ἱερατικῆς καταστάσεως. Φησὶ γὰρ ὁ θεῖος Ἀπόστολος· Πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε, ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ

A indictionis (18), anni [*al.* 6197] sexies millesimi centesimi noni, peccato servierunt, et non ab eo resipiscere voluerunt, depositioni canonicæ subjicere; eos autem, qui talis quidem bigamiæ probro ac dedecori implicati fuere, ante nostrum autem decretum id quod utile est agnoverunt, et malum a se absciderunt, et hanc adulterinam et alienam congressionem procul abegerunt; vel eos etiam, quorum uxores in secundis nuptiis jam mortuæ sunt; vel ipsi etiam ad conversionem respexerunt, et continentiam didicerunt, et priorum suarum iniquitatum obliti sunt, sive sint presbyteri, sive diaconi, eos ab omni quidem sacerdotali ministerio 64 sive exercitio jam cessare, præfinito aliquo tempore punitos, honorum autem in cathedra et B statione participare, prima sede contentos; et cum fletu a domino postulantes, ut eis condonetur peccatum ignorantiæ. Neque enim convenit, ut is alteri benedicat, qui debet propria curare vulnera. Eos vero, qui uni quidem uxori copulati sunt, si vidua erat, quæ accepta est: similiter et eos, qui post ordinationem uni matrimonio se applicarunt, hoc est, presbyteros, diaconos, et hypodiaconos, brevi aliquo tempore a sacro ministerio prohibitos, et punitos, rursus propriis gradibus restitui, ad alium gradum nequaquam promovendos, eis nefario videlicet dissoluto conjugio. Hæc autem in his qui deprehensi sunt usque ad decimum quintum, ut dictum est, mensis Januarii quartæ indictionis, in prius declaratis delictis, solum valere statuimus; C abhinc definientes et renovantes canonem 73, qui dicit eum qui duobus matrimoniis post baptismum implicatus fuerit, vel concubinam habuerit, non posse esse episcopum, vel presbyterum, vel diaconum, vel omnino ex sacerdotali catalogo. Similiter et qui viduam accepit, vel dimissam, vel meretricem, vel servam, vel scenicam, non posse esse episcopum, vel presbyterum, vel diaconum, vel omnino ex sacerdotali catalogo.

Reversusque Naaman ad virum Dei cum universo comitatu suo, venit et stetit coram eo, et ait: Vere scio quod non sit Deus alius in universa terra, nisi tantum in Israel. Obsecro itaque ut accipias benedictionem a servo tuo. At ille respondit: Vivit Dominus, ante quem sto, quia non accipiam. Cumque vim faceret, penitus non acquievit [94]. *Et post pauca:* Dixitque Giezi puer viri Dei: Pepercit dominus meus Naaman Syro isti, ut non acciperet ab eo quæ attulit. Vivit Dominus, quia curram post eum, et accipiam ab eo aliquid. Et secutus est Giezi post tergum Naaman [95]. *Et post pauca:* Et dixit Naaman: Accipe talentum argenti; et coegit eum, ligavitque duo talenta argenti in duobus saccis, et duplicia vestimenta [96]. *Et post alia:* Et dixit Elisæus: Unde venit Giezi? Qui respondit: Non ivit servus tuus quoquam. At ille ait: Nonne cor meum in præsenti erat, quando reversus est homo de curru suo in occursum tui? Nunc igitur accepisti 82 argentum, et accepisti vestes: ut emas oliveta, et vineas, et oves, et boves, et servos, et ancillas: sed lepra Naaman adhærebit tibi et semini tuo in sempiternum. Et egressus est ab eo leprosus quasi nix [97].

C

D

Sancti Basilii ex commentario in Isaiam.

Legem igitur *dedit in auxilium, ut dicant: Non sicut verbum hoc, de quo non est munera dare de eo* [98]. Hæc autem lex non se habet sicut hoc ventriloqui verbum. Non enim ad fucum faciendum

[92] Act. VIII, 18-23. [93] III Reg. XIII, 34, 34. [94] IV Reg. V, 15, 16. [95] ibid. 20. [96] ibid. 23. [97] ibid. 25-27. [98] Exod. XX, 12.

Digitized by Google Распознавание текста ABK/FR

excogitata est, uti illa ejus verba : sed veritatis est magistra. Atque illi quidem vaticinantur ob argentum. Hoc namque ridiculum est, quod qui decipiuntur, pecuniam etiam pro mendacii mercede eis solvant. Hoc autem verbum, legis scilicet, tale non est, ut munera dentur pro eo. Nam qui Dei gratiam vendat, nemo est. *Gratis accepistis*, inquit, *gratis date* [99]. Vides quomodo Petrus Simoni pro comparando Spiritus sancti dono pecuniam offerenti succensuerit? *Pecunia* enim *tua*, inquit, *tecum sit in perditionem, quoniam existimasti donum Dei pecuniis parari* [1]. Itaque Evangelii sermo non est sicut verba a ventriloquis vendita. Quam enim possit quis rependere remunerationem Evangelii verbis dignam? Davidem audi animo pendentem, ac dicentem: *Quid retribuam Domino pro omnibus quæ retribuit mihi* [2]? Non est igitur munera dare de eo, quæ ejus dono possint conferri. Unum munus dignum fuerit, si id quod dat custodiatur. Qui tibi hunc thesaurum concessit, dari pretium haud exigit, sed custodiam re data dignam.

ὥσπερ ἐκεῖνα, ἀλλ' ἀληθείας ἐστὶ διδάσκαλος. Κάκεῖνοι μὲ ἐπ' ἀργυρίῳ μαντεύονται· τοῦτο γάρ ἐστι τὸ καταγέλαστον ὅτι καὶ ἀργύριον αὐτοῖς τελοῦσι μισθὸν τοῦ ψεύδους οἱ ἀπατώμενοι. Τοῦτο δὲ τὸ ῥῆμα, τοιοῦτόν ἐστι τοῦ νομοθέτου, οὐκ ἔστι τοιοῦτον ὥστε δῶρα δοῦναι περὶ αὐτοῦ· οὐδεὶς γὰρ τὴν χάριν τοῦ Θεοῦ ἀποδίδοται· Δωρεὰν, φησὶν, ἐλάβετε, δωρεὰν δότε. Ὁρᾷς πῶς ἠγανάκτησε Πέτρος ἐπὶ τῷ Σίμωνι, ἀργύριον ὑπὲρ τῆς τοῦ Πνεύματος χάριτος πρσκομίσαντι ; Τὸ γὰρ ἀργύριόν σου, φησὶ, σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι ἐνόμισας τὴν δωρεὰν τοῦ Θεοῦ διὰ χρημάτων κτᾶσθαι. Οὐκ ἔστιν οὖν ὁ τοῦ Εὐαγγελίου λόγος ὡς τὰ πωλούμενα ῥήματα τῶν ἐγγαστριμύθων. Τί γὰρ ἂν τις δῴη ἄξιον αὐτῶν ἀντάλλαγμα ; Ἄκουε τοῦ Δαβὶδ ἀποροῦντος καὶ λέγοντος· Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι ; Οὐκ ἔστιν οὖν δῶρα δοῦναι περὶ τούτου, ἀνταξια τῆς ἀπ' αὐτοῦ χάριτος. Ἓν δῶρον ἄξιον ἡ φυλακὴ τοῦ δωρηθέντος· ὁ δοὺς σοι τὸν θησαυρὸν, οὐχὶ τιμὴν ἀπαιτεῖ τοῦ δοθέντος, ἀλλὰ φυλακὴν ἀξίαν τοῦ δεδομένου.

83 *Ejusdem ex epistola ad chorepiscopos, quod non oporteat pretio manus imponere.*

Putant se ideo non peccare, quod non ante accipiant, sed post ordinationem accipiant. Accipere autem est quandocunque accipere. Rogo itaque, reditum illum, sive potius viam in gehennam ducentem relinquite, nec manus ejusmodi muneribus contaminantes, indignos vos efficiatis qui mysteria sancta celebretis. *Sic etiam pag.* 522.

Τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ὑφ ἑαυτὸν ἐπισκόπους, ὥστε μὴ χειροτονεῖν ἐπ χρῆμα.

Νομίζουσι μὴ ἁμαρτάνειν τῷ μὴ ἅμα προσλαμβάνειν, ἀλλὰ μετὰ τὴν χειροτονίαν λαμβάνειν. Λαβεῖν δὲ ἐστι τὸ λαβεῖν ὁτεδήποτε. Παρακαλῶ οὖν ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν ἀποθέσθαι· καὶ μὴ τὰς χεῖρας μολύναντας τοιούτοις λήμμασιν, ἑαυτοὺς ἀναξίους ποιήσητε τοῦ ἐπιτελεῖν ἅγια μυστήρια.

Ex vita sancti Joannis Chrysostomi.

Τοῦ βίου τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.

Accessit ad nos episcopos, prolixi sermonis causa, Eusebius accusator sex reliquorum episcoporum, rogans ut ad communionem admitteretur. Contradicunt quidam episcopi, aduntque, calumniator cum esset, non oportere ipsum admitti. Post hæc supplicavit dicens: Quoniam causa ista biennio maxima ex parte examinata est, et ad testium adventum facta est dilatio, rogo pietatem vestram, ut hodie jamjam testes producam. Etsi enim Antoninus mortuus est, qui nummos accepit et ordinavit, attamen supersunt et qui dederunt, et qui ordinati sunt. Justum visum est præsenti synodo rem perquiri. Incipit causa a lectione actorum, quæ prius facta fuerant. Ingressi sunt testes, ingressi et sex illi qui pecuniam dederant, et ordinati fuerant. Et initio quidem negabant. Instantibus autem testibus partim laicis, partim presbyteris, quibus confidere videbantur, necnon mulieribus quibusdam, qui etiam pignorum seu munerum species dicebant, et loca, et tempora, et quantitatem cum eorum conscientia recta non esset, ultro confitentur, levi adhibita necessitate : Dedimus, confessum est, et ordinati sumus: talem putantes **84** esse consuetudinem, ut videremur a curia liberati. Et nunc oramus, si fas est, simus in ministerio Ec-

Προσῆλθεν ὁ τῆς μακρηγορίας ἡμῖν αἴτιος τοῖς ἐπισκόποις πᾶσιν Εὐσέβιος ὁ κατήγορος τῶν ἓξ λοιπῶν ἐπισκόπων, ἀξιῶν δεχθῆναι εἰς κοινωνίαν. Προσαντιλέγουσί τινες τῶν ἐπισκόπων, μὴ δεῖν αὐτὸν δεχθῆναι ὡς συκοφάντην. Ἐπὶ τούτοις ἱκέτευε λέγων· Ἐπειδὴ ἡ δίκη τὸ πλεῖστον μέρος ἐπὶ ἔτη δύο ἐβασανίσθη, εἰς μάρτυρας δὲ γεγένηται ἡ ὑπέρθεσις, δέομαι τῆς ὑμετέρας θεοφιλίας σήμερον παραυτὰ δοῦναί με τοὺς μάρτυρας. Εἰ γὰρ καὶ Ἀντωνῖνος τετελεύτηκεν ἐπίσκοπος, ὁ λαβὼν τὸ χρυσίον καὶ χειροτονήσας, ἀλλ' οὖν γε μένουσιν οἱ δεδωκότες καὶ χειροτονηθέντες. Ἐδικαίωσε τοίνυν ἡ παροῦσα σύνοδος ζητηθῆναι τὸ πρᾶγμα· ἄρχεται ἡ ὑπόθεσις ἐξ ἀναγνωσμάτων τῶν πρώην πραχθέντων ὑπομνημάτων. Εἰσῆλθον οἱ μάρτυρες, καὶ εἰσῆλθον οἱ ἐξ τῶν δεδωκότων καὶ χειροτονηθέντων. Ἐν ἀρχῇ ἠρνοῦντο, ἐπιμενόντων δὲ τῶν μαρτύρων, τῶν μὲν λαϊκῶν, τῶν δὲ πρεσβυτέρων, οἷς ἔδοξε πεθαῤῥηκέναι, τινῶν δὲ καὶ γυναικῶν, καὶ τὰ εἴδη τῶν ἐνεχύρων λεγόντων, καὶ τοὺς τόπους, καὶ τοὺς καιροὺς, καὶ τὴν ποσότητα, οὐ πάνυ καλῶς αὐτῶν διακειμένης τῆς συνειδήσεως, αὐθαίρετοι ὁμολογοῦσι δίχα πολλῆς ἀνάγκης. Ὅτι Δεδώκαμεν καὶ γεγόναμεν· τοιαύτην νομίσαντες ἀκολουθίαν εἶναι, ἵνα δόξωμεν τῆς βουλῆς τῆς δημοσίας ἐλευθεροῦσθαι· καὶ νῦν δεόμεθα, εἰ μέν ἐστιν ὅσιον,

[99] Matth. x, 8. [1] Act. VIII, 28. [2] Psal. CXV. 12.

Digitized by Google Распознавание текста ABK/FR

ἡμᾶς εἶναι ἐν τῇ λειτουργίᾳ τῆς Ἐκκλησίας, ἐπεὶ κἂν τὸ χρυσίον ὃ δεδώκαμεν ἵνα λάβωμεν· τῶν γὰρ γυναικῶν ἡμῶν δεδώκαμέν τινες σκεύη. Ὁ δὲ Ἰωάννης πρὸς ταῦτα ὑπέσχετο τῇ συνόδῳ, ὅτι Τοῦ μὲν βουλευτηρίου ἐγὼ αὐτοὺς σὺν Θεῷ ἀπαλλάσσω ἀξιώσας τὸν βασιλέα, ὑμεῖς δὲ προστάξατε αὐτοὺς λαβεῖν ἃ δεδώκασι, παρὰ τῶν Ἀντωνίνου κληρονόμων. Προσέταξεν ἡ σύνοδος, τὸ μὲν χρυσίον αὐτοὺς λαβεῖν παρὰ τῶν Ἀντωνίνου κληρονόμων, κοινωνεῖν δὲ ἔνδον τοῦ θυσιαστηρίου· εἶναι δὲ ἀπὸ ἱερέων, ἵνα μὴ τούτων συγχωρηθέντων, ἔθος γένηται Ἰουδαϊκὸν ἢ Αἰγύπτιον τοῦ πωλεῖν καὶ ἀγοράζειν τὴν ἱερωσύνην. Φασὶ γὰρ τὸν λυμεῶνα καὶ ψευδώνυμον πατριάρχην τῶν Ἰουδαίων, κατ' ἔτος ἀμείβειν ἢ παρ' ἔτος τοὺς ἀρχισυναγώγους, ἐπὶ συλλογῇ τοῦ ἀργυρίου. Ὁμοίως καὶ τὸν ζηλωτὴν τούτων τὸν Αἰγυπτίων πατριάρχην· ἵνα πληρωθῇ τὸ προφητικόν· Οἱ ἱερεῖς αὐτῆς μετὰ δώρων ἀπεκρίναντο, καὶ οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο.

Ἐκ τῶν κανόνων τῶν χλ' ἁγίων Πατέρων τῶν ἐν Χαλκηδόνι συνελθόντων, κανὼν β'.

β'. Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο, κ. τ. λ.

Ἐκ τῆς ἐγκυκλίου ἐπιστολῆς Γενναδίου Κωνσταντινουπόλεως.

Ἔστι τοίνυν ἀποκήρυκτος, κ. τ. λ. *usque ad* μαμωνᾷ.

Ἐκ τῶν κανόνων τῆς ἁγίας ἕκτης συνόδου, κανὼν κβ'.

κβ'. Τοὺς ἐπὶ χρήμασι χειροτονουμένους, κ. τ. λ.

Ἀκούσωμεν ταῦτα πάντα καὶ ἐνωτισώμεθα, οὐ μόνον ἀρχιερεῖς καὶ ἱερεῖς, καὶ οἱ τῷ κλήρῳ κατηριθμημένοι, ἀλλὰ καὶ πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. Δεῖ γὰρ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μή ποτε παραῤῥῶμεν· ὅτι οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ ἠγοράσθημεν ἐκ τῆς ματαίας παραδότου ἀναστροφῆς, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσφίλου Ἰησοῦ Χριστοῦ. Οὕτως ἡμᾶς δίδαξον, ἄνερ ἱερώτατε, ἕπεσθαι τοῖς γραφικοῖς καὶ εὐαγγελικοῖς καὶ ἀποστολικοῖς κανονικοῖς τε καὶ πατρικοῖς παραγγέλμασι. Πειθόμεθα γὰρ τοῖς ῥήμασι τοῦ στόματος ὑμῶν. Ἐπὶ τῶν ὑψηλῶν ἀνάβηθι, ὕψωσον ἐν ἰσχύϊ τὴν φωνήν σου· πορεύθητι ἐν πλατυσμῷ, κήρυξον μετὰ παῤῥησίας· ὅπως ἐξαρθῇ καὶ εἰς ἀφανισμόν· οἰχήσεται ἡ διὰ χρημάτων χειροθεσία, καὶ πᾶν εἴ τι ταύτῃ διὰ φιλαργυρίαν ἀδικίαν τε καὶ ἐμπορίαν αἰσχροκερδῶς παρέπεται· ταύτης γὰρ μετὰ τῶν συστοιχούντων αὐτῇ ἐξαιρουμένης ἐκ τοῦ περιουσίου λαοῦ, τοῦ τῷ ὀνόματι Χριστοῦ κεκλημένου, καὶ δωρεὰν τυχόντος τῆς ἀπολυτρώσεως, πάντα τὰ τῇ κακίᾳ συνεπόμενα μιάσματα πρόῤῥιζον συνεκτμηθήσονται· καὶ οἱ ἱερεῖς ὡς φοίνιξ ἀνθήσουσι, Χριστοῦ εὐωδίαν τοῖς σωζομένοις ἐμπνέοντες, καὶ τῇ Ἐκκλησίᾳ ἐπινικίως προσᾴδοντες· Περιέτλε Κύριος ἐκ σοῦ τὰ ἀδικήματά σου· ἔτι δὲ καὶ τοὺς δρεπομένους γλυκάζοντες, πληθύνοντές τε αὐτοὺς ἐν γήρει πίονι, τῆς μακαρίας λέγω καὶ ἀκηράτου ζωῆς κληρονόμους ἀναδεικνύοντες,

clesiæ : sin minus, aurum, quod dedimus, recipiamus : quidam enim e nobis uxorum supellectilem dedimus. Ad hæc Joannes synodo pollicitus est : Quod ad curiam quidem attinet, ego eos, Deo juvante, liberabo, exorato imperatore : vos autem mandate, ut ab hæredibus Antonini ipsi accipiant, quæ dederunt. Præcepit synodus, ut aurum acciperent ab hæredibus Antonini, et communicarent intra altare : essent autem jam non sacerdotes, sex ex sacerdotibus, ne, si ista concederentur, mos fieret Judaicus aut Ægyptius, vendendi atque emendi sacerdotium. Dicunt enim pestilentem, et falsum Judæorum patriarcham, singulis annis, aut anno interjecto, synagogæ principes mutare ad corradendam pecuniam, similiter et hujus æmulum, Ægyptiorum patriarcham, ut impleatur illud prophetæ : *Sacerdotes ejus cum muneribus respondebant, et prophetæ ejus cum pecunia vaticinabantur* 3.

Ex canonibus sexcentorum Patrum Chalcedone congregatorum canon 2.

2. Si quis episcopus propter pecunias ordinationem fecerit, etc. *ut pag.* 515.

Ex epistola encyclica Gennadii Constantinopolitani.

Sit ergo, etc., *usque ad* Mammonæ, *ut pag.* 526.

Ex canonibus sanctæ synodi œcumenicæ VI, *canon* 22.

22. Eos qui datis pecuniis ordinantur, etc., *ut p.* 515.

Adegum, auribus mentibusque hæc verba recolamus, sed non solum archipresbyteri ac sacerdotes, clericorumque in numero accensiti, sed omnes terrarum incolæ; idque eo magis quo minus plane confundamur. Non enim vili denariorum pretio post vanam traditoris pœnitentiam, sed pretioso sanguine Jesu Christi, agni innocentissimi et immaculati, redempti sumus. Dignare, vir sanctissime, nobis monstrare viam, qua Scripturarum, evangeliorum, apostolicorum canonum et sanctorum Patrum præceptis insistentes progrediamur. Vestræ namque doctrinæ docilem aurem præbere nobis cordi est. Ascende versus cœlum, alta voce clama; viam insiste a populis tritam; cum omni libertate evangelizato. Sic enim auri fames cum omnibus quæ inde fluunt cupiditatum undis pessum ibit. Fac ut gentes quæ a Christo nomen ducunt et quæ redemptionis beneficio salvæ evaserunt, ab omnibus peccati sordibus abluantur. Sic enim sacerdotes sicut palma florebunt, Christique bonum odorem fidelibus insufflantes Ecclesiam cantu suo replebunt clamantes : *Dominus te a peccatis tuis mundavit.* Sic electi gaudebunt quia senectus eorum felicitatis oleo uncta est, et jam vitæ æternæ beatitudinem prælibat.

3 Mich. III, 11.

Digitized by Google Распознавание текста ABK/FR

Textus. Lege lib. I, tit. 3, const.30, 41; et tit.1 Novellarum,const. 1,2,11,in quibus etiam dicitur de insinuativis,quæ ab episcopis et clericis dantur, et,quod Byzantii[solum]Magpæ ecclesiæ, non vero etiam aliarum [ecclesiarum] clerici hæc collegis suis dant. Qui vero illa dant, non dare amplius, quam unius anni diaria. [Quod etiam] neque curam qualemcunque,neque administrationem ecclesiasticam per[quarumpiam rerum] dationem sumere, vel pauperum domibus,xenodochiis,domuive [cuipiam] sacræ præfici quisquam potest. Quæ vero propter hæc dantur aut promittuntur, ea omnia ecclesiam sacramve domum vindicare. Episcopos autem facultatem habere, ut aut ante aut post ordinationem ecclesiis [quidlibet] offerant.

A Βιβλ. Α', τιτ. α', διάτ. λ', μα'· καὶ τιτ. α' τῶν νεαρῶν διάτ. α', β', ια',ἐν αἷς εἴρηται καὶ περὶ τῶν διδομένων ἐμφανιστικῶν παρὰ ἐπισκόπων καὶ κληρικῶν· καὶ ὅτι ἐν Βυζαντίῳ μόνοι οἱ τῆς Μεγάλης ἐκκλησίας, οὐ μὴν οἱ τῶν ἄλλων κληρικοί, τοῖς αὐτῶν συγκληρικοῖς ταῦτα διδόασιν· οἱ δὲ παρέχοντες, οὐ διδόασι πλέον ἑνὸς ἐνιαυτοῦ διάρια· οὔτε δὲ φρόντισμα οἱονδήποτε, ἢ διοίκησιν ἐκκλησιαστικὴν ἐπὶ δόσει τις δύναται λαβεῖν, ἢ ἐπὶ τῶν πτωχῶν γίνεσθαι, ἢ ξενῶνος, ἢ εὐαγοῦς οἴκου προστῆναι· πάντα δὲ τὰ ἐπὶ τούτῳ διδόμενα ἢ ὑπισχνούμενα, ἡ Ἐκκλησία, ἢ ὁ εὐαγὴς οἶκος, ἐκδικεῖ. Ἐξουσίαν δὲ ἔχουσιν οἱ ἐπίσκοποι, καὶ πρὸ τῆς χειροτονίας, καὶ μετὰ ταῦτα, ταῖς Ἐκκλησίαις αὐτῶν προσφέρειν.

CAP. XXV. — *Ne ordinationes iterentur.*

B ΚΕΦΑΛ. ΚΕ'. Περὶ τοῦ μὴ γίνεσθαι ἀναχειροτονήσεις.

Apostolorum canon 68.

68. Si quis episcopus, vel presbyter, vel diaconus secundam ordinationem ab alio susceperit, deponatur et ipse, et qui ordinavit, nisi utique constiterit, quod ab hæreticis ordinationem habeat. Qui enim ab eis baptizati et ordinati sunt, ut fideles vel clerici sint, fieri non potest (39-21).

Ἀποστόλων κανὼν ξη'.

ξη'. Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, δευτέραν χειροτονίαν δέξεται παρά τινος, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας, εἰ μή γε ἄρα συσταίη, ὅτι παρὰ αἱρετικῶν ἔχει τὴν χειροτονίαν· τοὺς γὰρ περὶ τοιούτων χειροτονηθέντας ἢ βαπτισθέντας, οὔτε πιστοὺς οὔτε κληρικοὺς εἶναι δυνατόν.

Concilii Carthaginensis (22) *canon* 48.

De rebaptizationibus et reordinationibus vel translationibus episcoporum.

Συνόδου Καρθαγέννης κανὼν μη'.

Περὶ ἀναβαπτισμάτων καὶ ἀναχειροτονιῶν ἢ μεταβάσεων ἐπισκόπων.

48. Illud autem suggerimus [4] mandatum nobis, quod etiam in Capuensi plenaria synodo videtur statutum,ut non liceat fieri rebaptizationes, reordinationes, vel translationes episcoporum. Nam Cresconius villæ Rhegiensis episcopus, plebe sua derelicta,Tubiensem (23) invasit Ecclesiam,et usque hodie commonitus, secundum quod statutum fuerat,relinquere eamdem quam invaserat plebem, contempsit.Adversus istum quæ pronuntiata fuerant, confirmata quidem audivimus : sed petimus, secundum quod nobis mandatum est,ut dignemini dare fiduciam,quo jam necessitate ipsa cogente liberum nobis sit rectorem provinciæ secundum 87 statuta gloriosissimorum principum adversus illum adire: ut qui miti admonitione sanctitatis vestræ acquiescere noluit, et emendare illicitum, auctoritate judiciaria protinus excludatur.

C μη'. Ἐκεῖνο δὲ ἀναφέρομεν ἐνταλθὲν ἡμῖν, τὸ καὶ ἐν τῇ συνόδῳ τῇ ἐν Καπύῃ ὁρισθὲν, ὥστε μὴ ἐξεῖναι γίνεσθαι ἀναβαπτίσεις, ἢ ἀναχειροτονήσεις ἢ μετακινήσεις ἐπισκόπων. Κρεσκώνιος οὖν τοῦ Ῥεκένσης ἀγροῦ ἐπίσκοπος καταρρονήσας τοῦ ἰδίου λαοῦ, τῇ τοῦ Βικένη ἐπέδη Ἐκκλησίᾳ· καὶ ἕως τῆς σήμερον πολλάκις ὑπομνησθεὶς κατὰ τὸ ὁρισθὲν καταλιπεῖν τὴν αὐτὴν Ἐκκλησίαν ἣν τινι ἐπῆλθεν, οὐχ εἵλετο. Περὶ τούτου δὲ τὰ προαγγελθέντα βέβαια ἠκούσαμεν, καὶ αἰτοῦμεν κατὰ τὸ ἐνταλὲν ἡμῖν, ἵνα καταξιώσητε δοῦναι παῤῥησίαν ἐπ' ἀδείας ἡμῖν γενέσθαι· ὅτι αὕτη ἡ ἀνάγκη παρασκευάζει τῷ ἄρχοντι τῆς χώρας κατ' ἐκείνου προσελθεῖν, κατὰ τὰς διαστίξεις τῶν ἐνδοξοτάτων βασιλέων· ἵνα ὁ τῇ πράᾳ ὑπομνήσει τῆς ὑμετέρας ἁγιωσύνης πειθαρχῆσαι μὴ θελήσας, καὶ διορθώσασθαι τὸ ἀσυγχώρητον, αὐθεντίᾳ ἀρχοντικῇ παραχρῆμα κωλυθῇ.

Aurelius episcopus dixit : Servata forma disciplinæ non æstimabitur appetitus (24), si a vestra charitate modeste conventus recedere detrectaverit, cum fuerit, suo contemptu et contumacia faciente, etiam auctoritate judiciaria conventus [*al.* convictus].

D Αὐρήλιος ἐπίσκοπος εἶπεν· Φυλαχθέντος τοῦ τύπου τῆς καταστάσεως, μὴ κριθῇ τῆς συνόδου ὑπάρχων, ἐὰν ἐπιεικῶς αἰτηθεὶς παρὰ τῆς ὑμετέρας ἀγαπης ἀποστῆναι παρητήσατο, ἐπειδὴ ἐκ τῆς οἰκείας καταφρονήσεως καὶ μονοτονίας περιῆλθεν εἰς ἀρχοντικὴν ἐξουσίαν.

Honoratus et Urbanus episcopi dixerunt : Hoc ergo omnibus placet? Ab universis episcopis dictum est : Placet, et justum est.

Ὀνωράτος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι εἶπον· Τοῦτο πᾶσι ἀρέσκει· ἀπὸ πάντων ἐπισκόπων ἐλέχθη· Δίκαιόν ἐστιν, ἀρέσκει.

[4] Concilium Afric. can. 15.

NOTÆ.

(39-21) Intelligitur de Cataphrygibus, ut cap. 19 concil. Nic , et 95 sextæ synodi.

(22) Conc. Carthag. III, can. 38 ; Capuense concil. anni 389.

(23) MS. « Tubuniensem... *et* usque in hodie. »

(24) Hoc est, « non æstimabitur ei facta injuria. »

Digitized by Google Распознавание текста ABK/FR

ΚΕΦΑΛ. ΚΣ'. — Περὶ τοῦ μὴ μετιέναι ἐπίσκοπον ἢ κληρικὸν ἀπὸ πόλεως εἰς πόλιν.

Συνόδου Νικαίας κανὼν ιε', ις'.

ιε'. Διὰ τὸν πολὺν τάραχον καὶ τὰς στάσεις τὰς γινομένας, ἔδοξε παντάπασι περιαιρεθῆναι τὴν συνήθειαν τὴν παρὰ τὸν κανόνα εὑρεθεῖσαν ἔν τισι μέρεσιν, ὥστε ἀπὸ πόλεως εἰς πόλιν μὴ μεταβαίνειν, μήτε ἐπίσκοπον, μήτε πρεσβύτερον, μήτε διάκονον. Εἴ δέ τις, μετὰ τὸν τῆς ἁγίας καὶ μεγάλης συνόδου ὅρον, τοιούτῳ τινὶ ἐπιχειρήσειεν, ἢ ἐπιδοίη ἑαυτὸν πράγματι τοιούτῳ, ἀκυρωθήσεται ἐξάπαντος τὸ κατασκεύασμα, καὶ ἀποκατασταθήσεται τῇ Ἐκκλησίᾳ ἢ ὁ ἐπίσκοπος ἢ ὁ πρεσβύτερος ἐχειροτονήθη.

ις'. Ὅσοι ῥιψοκινδύνως, μήτε τὸν φόβον τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν ἔχοντες, μήτε τὸν ἐκκλησιαστικὸν κανόνα εἰδότες, ἀναχωρήσουσι τῆς Ἐκκλησίας πρεσβύτεροι ἢ διάκονοι, ἢ ὅλως ἐν τῷ κανόνι ἐξεταζόμενοι, οὗτοι οὐδαμῶς δεκτοὶ ὀφείλουσιν εἶναι ἐν ἑτέρᾳ ἐκκλησίᾳ· ἀλλὰ πᾶσαν αὐτοῖς ἀνάγκην ἔπεσθαι χρὴ ἀναστρέφειν εἰς τὰς ἑαυτῶν παροικίας, ἢ ἐπιμένοντας ἀκοινωνήτους εἶναι προσήκει. Εἰ δὲ καὶ τολμήσειέ τις ὑφαρπάσα τὸν τῷ ἑτέρῳ διαφέροντα καὶ χειροτονῆσαι ἐν τῇ αὐτοῦ Ἐκκλησίᾳ, μὴ συγκατατιθεμένου τοῦ ἰδίου ἐπισκόπου οὗ ἀνεχώρησεν ὁ ἐν τῷ κανόνι ἐξεταζόμενος, ἄκυρος ἔστω ἡ χειροτονία.

Συνόδου Ἀντιοχείας κανὼν κα'.

κα' Ἐπίσκοπον ἀπὸ παροικίας ἑτέρας εἰς ἑτέραν μὴ μεθίστασθαι, μήτε αὐθαιρέτως ἐπιῤῥίπτοντα ἑαυτὸν, μήτε ὑπὸ λαῶν ἐκβιαζόμενον, μήτε ὑπὸ ἐπισκόπων ἀναγκαζόμενον· μένειν δὲ εἰς ἣν ἐκληρώθη ὑπὸ τοῦ Θεοῦ ἐξ ἀρχῆς ἐκκλησίᾳ, καὶ μὴ μεθίστασθαι αὐτῆς, κατὰ τὸν ἤδη πρότερον περὶ τούτου ἐξενεχθέντα ὅρον.

Συνόδου Χαλκηδόνος κανὼν ε', ι', κ'.

ε'. Περὶ ὧν μεταβαινόντων ἀπὸ πόλεως εἰς πόλιν ἐπισκόπων ἢ κληρικῶν, ἔδοξε τοὺς περὶ τούτων τεθέντας κανόνας παρὰ τῶν ἁγίων Πατέρων ἔχειν τὴν ἰδίαν ἰσχύν.

ι'. Μὴ ἐξεῖναι κληρικὸν ἐν δύο πόλεων κατὰ ταυτὸν καταλέγεσθαι ἐκκλησίαις, ἐν ᾗ τε τὴν ἀρχὴν ἐχειροτονήθη, καὶ ἐν ᾗ προσέφυγεν ὡς μεῖζονι δῆθεν, διὰ δόξης κενῆς ἐπιθυμίαν. Τοὺς δέ γε τοῦτο ποιοῦντας, ἀποκαθίστασθαι τῇ ἰδίᾳ ἐκκλησίᾳ ἐν ᾗ ἐξ ἀρχῆς ἐχειροτονήθησαν, καὶ ἐκεῖ μόνον λειτουργεῖν. Εἰ μέν τοι ἤδη τις μετετέθη ἐξ ἄλλης εἰς ἄλλην ἐκκλησίαν, μηδὲν τοῖς τῆς προτέρας ἐκκλησίας, ἤτοι τῶν ὑπ' αὐτὴν μαρτυρείων ἢ πτωχείων ἢ ξενοδοχείων ἐπικοινωνεῖν πράγμασι· τοὺς δὲ γε τολμῶντας, μετὰ τὸν ὅρον τῆς μεγάλης καὶ οἰκουμενικῆς ταύτης συνόδου, πράττειν τι τῶν νῦν ἀγηγορευμένων, ὥρισεν ἡ ἁγία σύνοδος ἐκπίπτειν τοῦ οἰκείου βαθμοῦ.

κ'. Κληρικοὺς εἰς ἐκκλησίαν τελοῦντας, καθὼς ἤδη ὡρίσαμεν, μὴ ἐξεῖναι εἰς ἄλλης πόλεως τάττεσθαι ἐκκλησίαν, ἀλλὰ στέργειν ἐκείνην ἐν ᾗ λειτουρ-

A CAP. XXVI. — *Ne episcopus vel clericus de una in aliam civitatem transferantur.*

Synodi Nicænæ canones 15, 16.

15. Propter [5] multum tumultum et seditiones quæ fiunt, omnino visum est ut consuetudo, quæ præter canonem in nonnullis partibus invenitur, tollatur: ut a civitate in civitatem nec episcopus, nec presbyter, nec diaconus transeat. Si quis autem post sanctæ et magnæ synodi definitionem tale quidpiam aggressus fuerit, vel se rei ejusmodi dederit, quod factum erit, omnino infirmabitur, et Ecclesiæ restituetur, cui episcopus vel presbyter ordinatus fuerit.

16. Quicunque [6] temere et inconsiderate, nec Dei timorem præ oculis habentes, nec ecclesiasti-
B cum canonem scientes presbyteri vel diaconi, vel 88 quicunque omnino in canone recensentur, ab ecclesiis secesserint, ii in aliena ecclesia nullo modo recipi debent, sed omnino cogendi sunt in suas ipsorum parochias redire: vel si perseverent, eos a communione separatos esse oportet. Sin autem etiam ausus [7] fuerit quispiam eum, qui ad alium pertinet subripere, et ordinare in ecclesia non consentiente proprio episcopo, a quo recessit qui in canone censetur, irrita sit ordinatio.

Concilii Antiocheni canon 21.

21. Episcopus ab alia parochia in aliam ne transeat, nec se sua sponte ingerens, nec a populis vi adactus, nec ab episcopis coactus: maneat autem in ea quam a Deo sortitus est ecclesia,
C et ab ea non recedat, secundum decretum prius de ea re editum.

Concilii Chalcedonensis canones 5, 10, 20.

5. De episcopis, vel clericis, qui a civitate in civitatem transeunt, placuit eos qui editi sunt a sanctis Patribus canones, vires obtinere.

10. Non licere clerico in duarum civitatum ecclesiis eodem tempore in catalogum referri, et in ea in qua a principio ordinatus est, et in ea, in quam tanquam ad majorem, confugit, propter inanis gloriæ cupiditatem: eos autem qui hoc faciunt, propriæ ecclesiæ restitui, in qua ab initio ordinati sunt, ut illic solum ministrent: sed si jam quispiam
D ex alia in aliam ecclesiam translatus est, nihil prioris ecclesiæ vel eorum quæ sub ea sunt martyriorum, vel ptochotrophiorum, vel xenodochiorum rebus communicare. Eos autem qui ausi fuerint post magnæ hujus et universalis synodi definitionem, aliquid eorum 89 quæ sunt prohibita, facere, statuit sancta synodus eos proprio gradu excidere.

20. Clericos in ecclesiis ministerio fungentes, quemadmodum jam statuimus, non licere in alius civitatis ecclesia ordinari: sed illa esse contentos,

[5] Apost. 15; Sardic. 1; Leonis 38. [6] Apost. 15 et 33; Antioch. 3; Chalc. 5 et 20. [7] Apost. 16; Afric. 21; Innoc. 14; Gelas. 23.

Digitized by Google Распознавание текста ABK/FR

in qua ab initio ut ministrarent, digni habiti sunt: præter illos qui amissa sua patria, in aliam ecclesiam necessario transierunt. Si qui autem episcopi post hoc decretum, clericum qui ad alium episcopum pertinet, susceperint, placuit esse excommunicatos, eumque qui susceptus est, et eum, qui suscepit, donec clericus qui migravit, in suam ecclesiam redeat.

Concilii Sardicensis canones 1, 2, 15.

Sancta synodus Sardicæ congregata ex diversis provinciis, definivit quæ sequuntur.

1. Osius urbis Cordubæ (25) episcopus dixit: Non tam mala consuetudo, quam perniciosissima rerum corruptela, est ex ipsis fundamentis penitus exstirpanda: ne cui episcopo liceat a parva civitate in aliam migrare. Ejus enim causæ prætextus est manifestus, propter quem talia tentantur. Nullus enim episcopus adhuc inveniri potuit, qui a majori civitate in minorem transire studuerit. Unde constat eos ardenti plura habendi cupiditate succendi, et magis arrogantiæ servire, ut videantur majorem habere potestatem. Placetne hoc omnibus, ut ejusmodi improbitas acerbius vindicetur? Existimo enim eos ne laicorum quidem debere habere communionem.

Omnes episcopi dixerunt: Placet omnibus.

2. Osius episcopus dixit: Si quis autem adeo 90 insanus, vel audax inveniatur, ut de iis videatur aliquam afferre excusationem, asserens sibi a populo allatas esse litteras; clarum est potuisse paucos aliquos mercede et pretio corruptos in Ecclesia seditionem movere, ut eumdem utique postulent habere episcopum. Omnino ergo has fraudes et artes puniendas esse existimo; ut nemo possit, qui est ejusmodi, ne in fine quidem laica communione dignus haberi. An ergo hæc placeat sententia, respondete.

Responderunt: Placent quæ dicta sunt.

15. Osius episcopus dixit: Hoc quoque omnes definiamus, ut si quis episcopus ex alia parochia velit alienum ministrum sine consensu proprii episcopi in aliquo gradu constituere, irrita et infirma ejusmodi constitutio existimetur. Si qui autem hoc sibi ipsis permiserint, a fratribus et coepiscopis et admoneri et corrigi debent.

Omnes dixerunt: Hoc quoque decretum stet firmum et immobile.

Concilii Carthaginensis canones 54, 90.

Ut alienus clericus minime suscipiatur ab alio (26).

ἄγειν ἐξ ἀρχῆς ἠξιώθησαν· ἐκτὸς ἐκείνων, οἵτινες ἀπολέσαντες τὰς ἰδίας πατρίδας, ἀπὸ ἀνάγκης εἰς ἄλλην ἐκκλησίαν μετῆλθον. Εἰ δέ τις ἐπίσκοπος μετὰ τὸν ὅρον τοῦτον, ἄλλῳ ἐπισκόπῳ προσήκοντα δέξοιτο κληρικὸν, ἔδοξεν ἀκοινώνητον εἶναι καὶ τὸν δεχθέντα καὶ τὸν δεξάμενον· ἕως ἂν ὁ μεταστὰς κληρικὸς εἰς τὴν ἰδίαν ἐπανέλθῃ ἐκκλησίαν.

Συνόδου Σαρδικῆς κανόνων α', β', ιε'.

Ἡ ἁγία σύνοδος ἡ ἐν Σαρδικῇ συγκροτηθεῖσα ἐκ διαφόρων ἐπαρχιῶν ὥρισε τὰ ὑποτεταγμένα.

α'. Ὅσιος ἐπίσκοπος πόλεως Κορδούβης εἶπεν· Οὐ τοσοῦτον ἡ φαύλη συνήθεια, ὅσον ἡ βλαβερωτάτη τῶν πραγμάτων διαφθορὰ, ἐξ αὐτῶν τῶν θεμελίων ἐστὶν ἐκριζωτέα· ἵνα μηδενὶ τῶν ἐπισκόπων ἐξῇ ἀπὸ πόλεως μικρᾶς εἰς ἑτέραν πόλιν μεθίστασθαι. Ἡ γὰρ τῆς αἰτίας ταύτης πρόφασις φανερὰ δι' ἣν τὰ τοιαῦτα ἐπιχειρεῖται. Οὐδεὶς γὰρ πώποτε εὑρεθῆναι ἐπίσκοπος δεδύνηται, ὃς ἀπὸ μείζονος πόλεως εἰς ἐλαχιστοτέραν πόλιν ἐσπούδασε μεταστῆναι· ὅθεν συνέστηκε διαπύρῳ πλεονεξίας τρόπῳ ὑπεκκαίεσθαι τοὺς τοιούτους, καὶ μᾶλλον τῇ ἀλαζονείᾳ δουλεύειν, ὅπως ἐξουσίαν δοκοῦεν μείζονα κεκτῆσθαι. Εἰ πᾶσι τοίνυν τοῦτο ἀρέσκει, ὥστε τὴν τοιαύτην σκαιότητα αὐστηρότερον ἐκδικηθῆναι, ἡγοῦμαι γὰρ μηδὲ λαϊκῶν ἔχειν τοὺς τοιούτους χρῆναι κοινωνίαν.

Ἅπαντες οἱ ἐπίσκοποι εἶπον· Τοῦτο ἀρέσκει πᾶσιν.

β'. Ὅσιος ἐπίσκοπος εἶπεν· Εἰ δέ τις τοιοῦτος εὑρίσκοιτο μανιώδης ἢ τολμηρὸς, ὡς περὶ τῶν τοιούτων δόξαι τινὰ φέρειν παραίτησιν, διαβεβαιούμενον ἀπὸ τοῦ πλήθους ἑαυτὸν κεκομίσθαι γράμματα, δῆλόν ἐστιν ὀλίγους τινὰς δεδυνῆσθαι, μισθῷ καὶ τιμήματι διαφθαρέντας, ἐν τῇ ἐκκλησίᾳ στασιάζειν, ὡς δῆθεν τὸν αὐτὸν ἔχειν ἐπίσκοπον ἀξιοῦντας. Καθάπαξ οὖν τὰς τοιαύτας ῥᾳδιουργίας καὶ τέχνας οὐ δεκτέας, ἀλλὰ μᾶλλον κολαστέας εἶναι νομίζω, ὥστε μηδένα τοιοῦτον μηδὲ ἐν τῷ τέλει λαϊκῆς γοῦν ἀξιοῦσθαι κοινωνίας. Εἰ τοίνυν ἀρέσκει αὕτη ἡ γνώμη, ἀποκρίνασθε.

Ἀπεκρίναντο· Τὰ λεχθέντα ἤρεσεν.

ιε'. Ὅσιος ἐπίσκοπος εἶπε. Καὶ τοῦτο δὲ πάντες ὁρίσωμεν, ἵνα εἴ τις ἐπίσκοπος ἐξ ἑτέρας παροικίας βουληθῇ ἀλλότριον ὑπηρέτην, χωρὶς τῆς συγκαταθέσεως τοῦ ἰδίου ἐπισκόπου, εἴς τινα βαθμὸν καταστῆσαι, ἄκυρος καὶ ἀβέβαιος ἡ κατάστασις ἡ τοιαύτη νομίζοιτο· εἴ τινες δὲ τοῦτο ἐπιτρέψειαν, παρὰ τῶν ἀδελφῶν καὶ συνεπισκόπων ἡμῶν καὶ ὑπομιμνήσκεσθαι καὶ διορθοῦσθαι ὀφείλουσιν.

Ἅπαντες εἰρήκασι· Καὶ οὗτος ὁ ὅρος στήτω ἀσάλευτος.

Συνόδου Καρθαγένης κανόνων νδ', ξ'.

Περὶ τοῦ ἀλλοτρίου κληρικοὺς μηδαμῶς παρ' ἑτέρων ὑποδέχεσθαι ἐπισκόπων.

NOTÆ.

(25) Canones istos, non secus atque Africanos Latine fuisse primum editos docet Dionysius Exiguus in Præfatione ad Stephanum episc. Salonitanum.

(26) Concil. Carthag. III, cap. 44, et Ferrendus cap. 27, ex concil. Carthag. tit. 53.

Digitized by Google Распознавание текста ABK/FR

νδ'. Ἐπιγόνιος ἐπίσκοπος εἶπεν· Ἐν πολλαῖς συνόδοις τοῦτο ὁρισθὲν, καὶ νῦν ἔτι μὴν ἐκ τῆς ὑμετέρας βεβαιωθῆ συνέσεως, μακαριώτατοι ἀδελφοὶ, ὥστε μηδένα ἐπίσκοπον ἰδιοποιεῖσθαι ἀλλότριον κληρικὸν παρὰ τὴν κρίσιν τοῦ προτέρου αὐτοῦ ἐπισκόπου. Ἀναφέρω δὲ Ἰουλιανὸν ἀχαρίστως ἀνεχθέντα περὶ τὰς διὰ τῆς ἐμῆς βραχύτητος εἰς αὐτὸν σωρευθείσας τοσαύτας τοῦ Θεοῦ οὐεργεσίας, καὶ οὕτως προπετῶς καὶ τολμηρῶς διαγενόμενον, ὥστε τὸν ἀπὸ νηπίας ἡλικίας ὑπ' ἐμοῦ βαπτισθέντα, τὸν καὶ διὰ πολλὴν ἔνδειαν ἐξ αὐτοῦ παρατεθέντα μοι, καὶ ἐπὶ πολλὰ ἔτη ἐξ ἐμοῦ τραφέντα καὶ αὐξηθέντα, τὸν ὡς εἶπον ἐν τῇ ἐμῇ ἐκκλησίᾳ τῇ χειρὶ τῆς ἐμῆς μετριότητος βαπτισθέντα, καὶ δεικνύμενον ἐν τῇ τῶν Μαπαλιτῶν παροικίᾳ ἀναγνώστην γενόμενον, καὶ ἐπὶ δύο ἔτη ἐκεῖσε ἀναγινώσκοντα, τοῦτον οὐκ οἶδα ποίᾳ καταφρονήσει τῆς ἐμῆς μετριότητος, ἁφαρπάσαι τὸν αὐτὸν Ἰουλιανὸν, καὶ λέγειν πολίτην τοῦ διαφέροντος αὐτῷ Βαζαριτανοῦ τόπου, καὶ παρὰ τὴν ἐμὴν γνώμην τούτῳ κατακεχρῆσθαι· καὶ γὰρ καὶ διάκονον ταῦτον ἐχειροτόνησε. Τοῦτο εἰ ἔξεστι, γνωσθῇ, ὑμῖν ἡ τοιαύτη ἄδεια, μακαριώτατοι ἀδελφοί· εἰ δὲ μή γε, τὸ οὕτως ἀναιδὲς κωλυθείη, ἵνα μὴ ὁ λεχθεὶς Ἰουλιανὸς ἐπικοινωνῇ ἀλλοτρίοις.

54. Epigonius episcopus dixit: In multis conciliis hoc statutum est[8], etiam nunc hoc confirmandum est a vestra prudentia, beatissimi fratres, ut clericum alienum nullus sibi præripiat episcopus præter ejus arbitrium, cujus fuerit clericus. Dico autem Julianum (27), qui ingratus est Dei beneficiis per meam parvitatem in se collatis, ita temerarium et audacem exstitisse, ut 91 eum qui a me baptizatus est, cum esset puer egentissimus, mihi ab eodem commendatus: cumque multis annis a me aleretur atque incresceret; hunc, ut dixi, baptizatum esse in ecclesia mea per manum parvitatis meæ constat. Idem in diœcesi Mappaliensi lector esse cœperat, imo annis ferme duobus legerat. Nescio quo contemptu humilitatis meæ idem Julianus eum abripuit, quem dicit quasi proprium civem sui loci Vazaritani, me inconsulto usurpare: nam et diaconum illum ordinavit. Hoc si licet; pateat hæc licentia a vobis, beatissimi fratres; sin minus, tam impudens cohibeatur, ne se misceat communioni cujusquam.

Νουμήδιος ἐπίσκοπος εἶπεν· Ἐὰν, μὴ ἐρωτηθείσης μηδὲ αἰτηθείσης τῆς σῆς ἀξίας φανείη τοῦτο πράξας Ἰουλιανὸς, κρίνομεν πάντες ἀδίκως γενόμενον καὶ μὴ ἀξίως. Διὸ εἰ μὴ ὁ αὐτὸς Ἰουλινὸς διορθώσηται τὴν οἰκείαν πλάνην, καὶ μετὴ ἀποθεραπεύσεως τῷ ὑμετέρῳ λαῷ τὸν αὐτὸν ἀποκαταστήσει κληρικὸν, ὃν ἐτόλμησε χειροτονῆσαι, κατὰ τῶν ὁρισθέντων τῇ συνόδῳ πράττων, καὶ χωρισθεὶς ἀφ' ἡμῶν, τῆς οἰκείας μονοτονίας ἀπενέγκῃ τὴν κρίσιν.

Numidius episcopus dixit: Si non postulata, neque consulta tua dignatione id videtur fecisse Julianus, judicamus omnes inique factum atque indigne. Quopropter nisi idem Julianus correxerit errorem suum, et cum satisfactione eumdem clericum, quem fuerat ausus ordinare, revocaverit tuæ plebi, contra statuta concilii faciens, contumaciæ suæ, separatus a nobis, excipiet judicium.

Ἐπιγόνιος ἐπίσκοπος εἶπεν· Ὁ κατὰ τὴν κήραν Πατὴρ, καὶ αὐτῇ τῇ προκοπῇ ἀρχαιότατος ἐπαινετὸς ἀνὴρ, ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Βίκτωρ τὴν αἴτησιν ταύτην γενικὴν βούλεται ἐπὶ πᾶσιν ἐκτελεσθῆναι,

Epigonius episcopus dixit: Ætate Pater, et ipsa promotione antiquissimus, vir laudabilis, frater et collega noster Victor vult hanc petitionem generalem omnibus effici.

ξ'. Ὁμοίως ἤρεσεν Ἵνα ὁστισδήποτε ἐν ἐκκλησίᾳ, κἂν ἅπαξ ἀνέγνω, ὑπ' ἄλλης ἐκκλησίας πρὸς κλήρωσιν μὴ κατέχηται. Καὶ ὑπέγραψαν. Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι Ἐκκλησίᾳ τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα· ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

90. Item placuit[9], ut quicunque in ecclesia vel semel legerit, ab alia ecclesia ad clericatum non teneatur. Et subscripserunt: 92 Arelius episcopus Ecclesiæ Carthaginensis huic decreto consensi, et prælecto subscripsi. Similiter et cæteri episcopi subscripserunt (28).

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ις'. ιη', κ'.

Concilii œcumenici sexti canones 17, 18, 20.

ιζ'. Ἐπειδήπερ διαφόρων ἐκκλησιῶν κληρικοὶ, τὰς ἰδίας ἐν αἷς ἐχειροτονήθησαν ἐκκλησίας καταλιπόντες, πρὸς ἑτέρους συνέδραμον ἐπισκόπους, καὶ γνώμης δίχα τοῦ οἰκείου ἐπισκόπου, ἐν ταῖς ἀλλοτρίαις κατετάγησαν ἐκκλησίοις, ἐκ τούτου τε συνέβη ἀνυποτάκτους αὐτοὺς καταστῆναι, ὁρίζομεν ὥστε ἀπὸ τοῦ νῦν, ἤτοι ἀπὸ τοῦ Ἰανουαρίου μηνὸς τῆς παρελθούσης τετάρτης ἐπινεμήσεως, μηδένα τῶν ἁπάντων κληρικῶν, κἂν ἐν οἱῳδήποτε τυγχάνῃ βαθμῷ, ἄδειαν ἔχειν ἐκτὸς τῆς τοῦ οἰκείου ἐπισκόπου ἐγγράφου ἀπολυτικῆς, ἐν ἑτέρᾳ κατατάττεσθαι ἐκκλησίᾳ· ἐπεὶ ὁ μὴ τοῦτο ἀπὸ τοῦ νῦν παραφυλαττόμενος, ἀλλὰ

77. Quoniam diversarum ecclesiarum[10] clerici propriis in quibus ordinati sunt, relictis ecclesiis, ad alios episcopos se contulerunt, et sine proprii episcopi sententia in alienis ecclesiis constituti sunt, et ex eo ipsos reddit insolentes ac inobedientes evenit: statuimus, ut a mense Januario præteritæ quartæ indictionis, nullus omnino clericus, in quocunque sit gradu, potestatem habeat sine proprii episcopi scripta dimissoria, in aliene ecclesiæ catalogum referri. Qui hoc enim a præsenti nunc tempore non servaverit, sed quod in se est, eum qui illi manus imposuit, dedecore affecerit, depo-

[8] Concilium Afric. cap. 21. [9] Concilium Afric. cap. 57. [10] Chalced. Can. 6, 10, 20.

NOTÆ.

(27) Episcopum Vazaritanum.

(28) Vide August. epist. 240 et 235.

Digitized by Google Распознавание текста ABBYY

natur et ipse, et qui eum præter rationem susA cepit.

18. Eos qui barbaricæ incursionis prætextu, vel aliquo alio modo propter aliquam circumstantiam emigrarunt, clericos, postquam modus ille ac circumstantia cessarit, vel barbaricæ incursiones, propter quas recesserant, rursus in suas jubemus ecclesias reverti, nec eas diu absque justa causa relinquere. Si quis autem non, ut præsens vult canon, adierit, segregetur, donec ad suam ecclesiam redeat. Hoc ipsum autem etiam in eo fiat episcopo, qui illum detinet.

κα'. Τοὺς προφάσει βαρβαρικῆς ἐπιδρομῆς, ἢ ἄλλως πως ἐκ περιστάσεως, μετανάστας γενομένους κληρικοὺς, ἡνίκα δ' ἂν ὁ τρόπος αὐτοῖς ἀποπαύσηται, ἢ αἱ τῶν βαρβάρων ἐπιδρομαὶ, δι' ἃ τὴν ἀναχώρησιν ἐποιήσαντο, αὖθις ἐν ταῖς οἰκείαις ἐκκλησίαις προστάσσομεν ἐπανέρχεσθαι, καὶ μὴ ἐπὶ πολὺ ταύτας ἀπροφασίστως καταλιμπάνειν. Εἰ δέ τις μὴ κατὰ τὸν παρόντα διαγένηται κανόνα, ἀφοριζέσθω μέχρις ἂν πρὸς τὴν οἰκείαν ἐκκλησίαν ἐπαναδράμοι. Τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῷ κατέχοντι αὐτὸν ἐπισκόπῳ γινέσθω.

20. Ne liceat episcopo in alia [11], quæ ad se non pertinet, civitate publice docere. Si qui autem B hoc facere deprehensus fuerit, ab episcopatu desistat, presbyteri autem munere fungatur.

κ'. Μὴ ἐξέστω ἐπισκόπῳ εἰς ἑτέραν τὴν μὴ αὐτῷ προσήκουσαν πόλιν δημοσίᾳ διδάσκειν· εἰ δέ τις φωραθείη τοῦτο ποιῶν, τῆς ἐπισκοπῆς παυέσθω, τὰ δὲ τοῦ πρεσβυτέρου ἐνεργείτω.

93 *Textus.* Const. 9 et 10, tit. 1 Novellarum aiunt, quod in Magnam ecclesiam Constantinopolitanam aliorum ejus ecclesiarum clerici transferantur.

CAP. XXVII. — *De eo qui peccati reus, nihilominus ordinatus fuit.*

Concilii Nicæni canones 9, 10.

9. Si qui citra examinationem [12] promoti sunt presbyteri, vel examinati sua peccata confessi sunt, eisque confessis, præter canonem moti homines manus imposuerunt, eos canon non admittit. Quod est enim a reprehensione alienum, defendit Ecclesia.

10. Quicunque ex iis qui lapsi sunt, vel per ignorantiam, vel scientibus iis qui promoverunt, ordinati sunt, hoc ecclesiastico canoni non præjudicat. Ii enim cogniti deponuntur.

ΚΕΦΑΛ. ΣΖ'. — Περὶ τοῦ ὑποκειμένου ἁμαρτήματι, καὶ χειροτονηθέντος,

Συνόδου Νικαίας κανὼν θ', ι'.

θ'. Εἴτινες ἀνεξετάστως προήχθησαν πρεσβύτεροι, ἢ ἀνακρινόμενοι ὡμολόγησαν τὰ ἡμαρτημένα αὐτοῖς καὶ ὁμολογησάντων αὐτῶν, παρὰ κανόνα κινούμενοι οἱ ἄνθρωποι, τοῖς τοιούτοις χεῖρα ἐπιτεθείκασι, τούτους ὁ κανὼν οὐ προσίεται· τὸ γὰρ ἀνεπίληπτον ἐκδικεῖ ἡ καθολικὴ Ἐκκλησία.

ι'. Ὅσοι προεχειρίσθησαν τῶν παραπεπτωκότων, κατὰ ἄγνοιαν, ἢ καὶ προειδότων τῶν προχειρισαμένων, τοῦτο οὐ προκρίνει τῷ κανόνι τῷ ἐκκλησιαστικῷ· γνωσθέντες γὰρ καθιροῦνται.

Synodi Neocæsariensis canon 9.

Si presbyter, qui corpore prius peccaverat, promotus fuerit, et si ante ordinationem peccasse confessus fuerit, ne offerat, manens in aliis, propter aliud ejus bonæ vitæ studium. Reliqua enim peccata dicunt multi manuum impositione tolli. Quod si ipsa non confiteatur, aperte autem convinci non potuerit, illius quoque ei fiat potestas,

Συνόδου Νεοκαισαρείας κανών.

Πρεσβύτερος ἐὰν προημαρτηκὼς σώματι προαχθῇ, καὶ ὁμολογήσῃ ὅτι ἥμαρτε πρὸ τῆς χειροτονίας, μὴ προσφερέτω, μένων ἐν τοῖς λοιποῖς, διὰ τὴν ἄλλην σπουδήν. Τὰ γὰρ λοιπὰ ἁμαρτήματα ἔφασαν οἱ πολλοὶ καὶ τὴν χειροθεσίαν ἀφιέναι. Ἐὰν δὲ αὐτὸς μὴ ὁμολογῇ, ἐλεγχθῆναι δὲ φανερῶς μὴ δυνηθῇ, ἐπ' αὐτῷ ἐκείνῳ ποιεῖσθαι τὴν ἐξουσίαν.

Basilii canon 27.

27. De presbytero, qui insciens illicitis nuptiis implicatus est, statui quæ oportebat, cathedræ quiD dem participem esse, sed a reliquis muniis abstinere. Nam satis est ejusmodi homini venia. Ut autem alium benedicat, qui propria curare debet vulnera, minime consentaneum. Benedictio enim sanctificationis 94 communicatio est. Quam qui non habet, propterea quod insciens lapsus est, quomodo aliis impertiet? Itaque nec publice nec privatim benedicat, nec corpus Christi distribuat aliis, nec quodvis aliud sacrum munus obeat, sed, honorifica sede contentus, roget cum lacrymis Dominum, ut sibi ignorantiæ peccatum remittatur.

Βασιλείου κανὼν κζ'.

κζ'. Περὶ τοῦ πρεσβυτέρου τοῦ κατὰ ἄγνοιαν ἀθέσμῳ γάμῳ περιπαρέντος, ὥρισα ἃ ἐχρῆν, καθέδρας μὲν μετέχειν, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι· ἀρκετὸν γὰρ τῷ τοιούτῳ ἡ συγγνώμη· εὐλογεῖν δὲ ἕτερον τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα ἀνακόλουθον. Εὐλογία γὰρ ἁγιασμοῦ μετάδοσίς ἐστιν. Ὁ δὲ τοῦτο μὴ ἔχων διὰ τὸ ἐκ τῆς ἀγνοίας παράπτωμα, πῶς ἑτέρῳ μεταδώσει; Μήτε τοίνυν δημοσίᾳ, μήτε ἰδίᾳ εὐλογείτω, μήτε τὸ σῶμα τοῦ Χριστοῦ κατανεμέτω ἑτέροις, μήτε τι ἄλλο λειτουργείτω· ἀλλ' ἀρκούμενος τῇ προεδρίᾳ, προσκλαιέτω τῷ Κυρίῳ συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα.

[11] Apost. can. 14; Antioch. can. 16. [12] Neocæs. 9.

Digitized by Google Распознавание текста ABK/FR

Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κατὼν δ', ε' η'. A

δ'. Περὶ δὲ Πανοὺφ τοῦ καταστάντος διακονου ἐν τῇ Λυκῷ ζητῆσαι· καὶ εἰ μὲν εὑρεθείη οὗτος ἔτι κατηχούμενος τυγχάνων, τὴν ἀδελφιδῆν ἑαυτοῦ πρὸς γάμου κοινωνίαν δεξάμενος, μετὰ δὲ τὸ βάπτισμα εἰς κλῆρον ἀχθείς, μενέτω ἐν τῷ κλήρῳ, εἴ γε κεκοίμηται ἐκείνη, καὶ μετὰ τὸ βάπτισμα οὐ κεκοινώνηκεν αὐτῇ. Εἰ δὲ πιστὸς τυγχάνων τὴν αὐτὴν ἀδελφιδῆν ἑαυτοῦ πρός γάμου κοινωνίαν ἐδέξατο, ἔστω τοῦ κλήρου ἀλλότριος. Οὐ γὰρ πρόκριμα τῷ ἐπισκόπῳ φέρει Ἀπόλλωνι, εἰ ἐξ ἀγνοίας κατέστησεν αὐτόν.

ε'. Περὶ Ἰακὼβ ζητῆσαι· εἰ ἀναγνώστης ὢν, ἐγκλήματι πορνείας ὑπεύθυνος ἐδείχθη, καὶ παρὰ τῶν πρεσβυτέρων ἐξεβλήθη, εἶτα κεχειροτόνηται, οὗτος ἐκβαλλέσθω, ἀκριβοῦς ἐξετάσεως γινομένης, B καὶ μὴ μόνον ἐκ ψιθυρισμῶν ἢ κακολογιῶν ὑποψίας εἰς αὐτὸν γενομένης. Εἰ δὲ μὴ εὑρεθείη ὑπεύθυνος, μενέτω ἐν τῷ κλήρῳ· οὐ γὰρ δεῖ ταῖς ματαίαις διαβολαῖς προσέχειν.

η'. Ἐπειδὴ Ἱέραξ τόνδε ὡσανεὶ ἐπὶ πορνείᾳ διαβαλλόμενον, οὐκ ὀφείλειν ἐν τῷ κλήρῳ εἶναι, ὁ δὲ ἐπίσκοπος Ἀπόλλων διϊσχυρίσατο, τὸ τηνικαῦτα μηδένα κατήγορον ἐν μέσῳ ἐληλυθέναι κατ' αὐτοῦ, ἐξετασθήσεσθαι καὶ οὗτος. Καὶ εἰ μὲν κατήγορός τις ἀναφύεται πίστεως ἄξιος, καὶ τὸ ἔγκλημα ἀποδείκνυται, φερομένων μαρτύρων ἀξιοπίστων, τῆς ἐκκλησίας ἐκβαλλέσθω· εἰ δὲ τοῦ κλήρου ἄξιός ἐστι, καὶ ἐπὶ σωφροσύνῃ μαρτυρεῖται, μενέτω ἐν τούτῳ.

ΚΕΦΑΛ. ΚΗ'. — Περὶ τῆς ἡλικίας τῶν χειροτονουμένων ἀρρένων καὶ θηλειῶν. C

Συνόδου Νεοκαισαρείας κανὼν ια'.

ια'. Πρεσβύτερος πρὸ τῶν λ' ἐτῶν μὴ χειροτονείσθω, ἐὰν καὶ πάνυ εἴη ὁ ἄνθρωπος ἄξιος, ἀλλ' ἀποτηρείσθω. Ὁ γὰρ Κύριος Ἰησοῦς Χριστὸς ἐν τῷ τριακοστῷ ἔτει ἐφωτίσθη καὶ ἤρξατο διδάσκειν.

Συνόδου Χαλκηδόνος κανὼν ιε'.

ιε'. Διακόνισσαν μὴ χειροτονεῖσθαι γυναῖκα πρὸ ἐτῶν τεσσαράκοντα, καὶ ταύτην μετὰ ἀκριβοῦς δοκιμασίας. Εἰ δέ γε δεξαμένη τὴν χειροθεσίαν, καὶ χρόνον τινὰ παραμείνασα τῇ λειτουργίᾳ, ἑαυτὴν ἐπιδῷ γάμῳ, ὑβρίσασα τὴν τοῦ Θεοῦ χάριν, ἡ τοιαύτη ἀναθεματιζέσθω μετὰ τοῦ αὐτῇ συναφθέντος.

Συνόδου Καρθαγέννης κανὼν ις'. D

Ὥστε μηδένα ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον ἔκληψίν τινα λαμβάνειν· καὶ ὥστε τοὺς ἀναγνώστας γαμετὰς λαμβάνειν· καὶ ἵνα οἱ κληρικοὶ γυναικῶν καὶ τόκων ἀπέχωνται· καὶ ποίῳ δεῖ καιρῷ ἢ αὐτοὺς ἢ τὰς παρθένους καθιεροῦσθαι· καὶ περὶ τοῦ μὴ προσκυνεῖν τὸν δῆμον.

ις'. Ὁμοίως ἤρεσεν ἵνα ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι, ἐκλήπτορες μὴ γίνωνται ἢ προκουρά-

Theophili commonitorii canon 4, 5, 8.

4. De Panuph, qui in Lyco diaconus constitutus est, quærere oportet; et si is quidem inventus fuerit, cum esset catechumenus, fratris sui filiam in matrimonii societatem accepisse, post baptismum in clerum promotus, in clero maneat, si illa ex vita migrarit, et post baptismum cum ea rem non habuerit. Sin autem cum esset fidelis eamdem fratris sui filiam in matrimonii societatem duxit, sit a clero alienus. Non est enim episcopo Apollini præjudicium si eum per ignorantiam constituit.

5. De Jacob quærere oportet. Si enim lector erat, et crimini fornicationis fuisse eum obnoxium ostensum sit, et a presbyteris sit ejectus, deinde is est ordinatus, ejiciatur, accurata examinatione facta; non autem ex susurris vel maledictis orta in eum suspicione. Sin autem non fuerit inventus crimini obnoxius, maneat in clero: neque enim vanis calumniis animum adhibere oportet.

8. Quoniam Hierax dicit quemdam non debere esse in clero, ut qui sit fornicationis accusatus; Apollo autem episcopus tunc affirmavit nullum accusatorem adversus eum in medium processisse, hic quoque examinetur; et si aliquis quidem accusator fide dignus exoritur, et crimen probatur productis fide dignis testibus, ecclesia 95 ejiciatur; sin autem dignus est clero, et de ejus continentia testimonium feratur, in eo maneat.

CAP. XXVIII. — *De ordinandorum utriusque sexus ætate.*

Concilii Neocæsariensis canon 11.

11. Presbyter [13] ante triginta annos non ordinetur, etiamsi fuerit homo valde dignus, sed reservetur. Dominus enim Jesus Christus in tricesimo anno baptizatus est [14], et cœpit docere.

Concilii Chalcedonensis canon 15.

15. Diaconissam non esse mulierem ordinandam ante annum quadragesimum, et eam cum accurata examinatione. Si autem postquam ordinatione suscepta ministerio aliquo tempore permansit, seipsam matrimonio tradiderit, Dei gratiæ injuriam faciens, ea una cum illo qui ei conjunctus est, anathematizetur.

Concili Chalcedonensis (29) *canon* 16.

Ut nullus episcopus, presbyter, et diaconus conductor existat, et ut lectores uxores accipiant, et clerici abstineant ab usuris: et quo tempore vel ipsi, vel virgines consecrentur, et de non salutando populo.

16. Item [15] placuit, ut episcopi, presbyteri, et diaconi non sint conductores aut procuratores,

[13] Distinct. 78. [14] Luc. III, 23 [15] Carthag. II, cap. 15.

NOTÆ.

(29) Ferrandus cap. 70, ex concil. Carthag. tit. 24.

Digitized by Google Распознавание текста ABBYY FR

neque ullo turpi negotio et inhonesto victum quærant, quia respicere debent scriptum esse : *Nullus militans Deo implicat se negotiis sæcularibus* [16]. Item [17] (47-30) placuit ut lectores cum ad annos pubertatis 96 pervenerint, cogantur aut uxores ducere, aut continentiam profiteri. Item placuit, ut clericus, si commodaverit pecuniam accipiat (31), si speciem quantam dederit accipiat : et ut ante 25 annos ætatis [18] nec diaconi ordinentur (32), nec virgines (33) consecrentur : et ut lectores populum non salutent.

Concilii œcumenici VI *canones*, 14, 15.

14. Sanctorum divinorumque Patrum nostrorum canon in his quoque valeat, ut presbyter ante triginta annos non ordinetur, etiam si sit homo valde dignus, sed reservetur. Dominus enim Jesus Christus tricesimo anno baptizatus est, et cœpit docere. Similiter nec diaconus ante viginti quinque annos, nec diaconissa ante quadraginta annos ordinetur.

15. Subdiaconus ne minor viginti annis ordinetur. Si qui autem in quovis sacerdoti gradu præter præfinita tempora ordinatus fuerit, deponatur.

Textus. Const. 9, tit. 1, lib. I, cod, non concedit diaconissam fieri, quæ sexagesimum annum non superavit. Constit. vero 1, tit. 1, Novellarum dicit, [satis esse, si] quinquaginta annorum sit. Et si propter necessariam aliquam causam hac ætate [aliqua] minor ordinata fuerit, [illam] in monasterium detrudi vult, in quo viri commercium non habent, nec libera vivendi ratio est. Verum const. 2 ejusdem tit. ecclesiæ diaconissam fieri non vult, quæ quadraginta annis minor sit. Eadem porro const. ait : Ordinandum presbyterum non debere esse minorem annis triginta, diaconum 25, lectorem octodecim, episcopum [denique] triginta quinque. Sed const. 17 ejusdem tit. vult ut episcopus trigesimum annum excesserit.

97 CAP. XXIX. - *De chorepiscoporum creatione, et quando ac quomodo offerant vel tradant res sacras, et quosnam ex eis ordinare liceat nec ne.*

Concilii Ancyrani canon 13.

13. Chorepiscopos non licere presbyteros vel diaconos ordinare, sed neque urbis presbyteros, nisi cum litteris ab episcopo permissum fuerit, in aliena parochia.

Concilii Neocæsariensis canon 13.

13. Vicarii autem presbyteri non possunt in dominico offerre præsente episcopo, vel urbis presbyteris : neque panem dare precationis, neque calicem. Sin autem absint, et solus ad precationem vocatus fuerit, dat.

τορες, μηδὲ ἔκ τινος αἰσχροῦ ἢ ἀτίμου πράγματος τροφὴν πορίζωνται. Ὀφείλουσι γὰρ ἀποβλέπειν εἰς τὸ γεγραμμένον· Οὐδεὶς στρατευόμενος τῷ Θεῷ, ἐμπλέκει ἑαυτὸν πράγμασι κοσμικοῖς· ἤρεσεν ὥστε τοὺς ἀναγνώστας, εἰς τὸν καιρὸν τῆς ἥβης ἐρχομένους ἀναγκάζεσθαι ἢ συμβίους ἀγαγέσθαι, ἢ ἐγκράτειαν ὁμολογεῖν. Ὁμοίως ἤρεσεν ἵνα κληρικὸς, ἐὰν χρήματα δῷ ἐν χρήσει, τὰ χρήματα λάβῃ· ἐὰν δὲ εἶδος, ὅσον δέδωκε λάβῃ, καὶ ἵνα πρὸ τῶν κε' ἐνιαυτῶν, μήτε διάκονοι χειροτονῶνται· ἀλλὰ καὶ οἱ ἀναγνῶσται τὸν δῆμον μὴ προσκυνῶσιν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιδ', ιε'.

ιδ'. Ὁ τῶν ἁγίων καὶ θεοφόρων ἡμῶν Πατέρων κρατείτω κανὼν καὶ ἐν τούτῳ, ὥστε πρεσβύτερον πρὸ λ' ἐτῶν μὴ χειροτονεῖσθαι, κἂν πάνυ ᾖ ἄξιος ὁ ἄνθρωπος, ἀλλ' ἀποτηρεῖσθαι. Ὁ γὰρ Κύριος Ἰησοῦς Χριστὸς ἐν τῷ τριακοστῷ ἔτει ἐβαπτίσθη, καὶ ἤρξατο διδάσκειν· ὁμοίως μήτε διάκονον πρὸ τῶν κε' ἐτῶν, ἢ διακόνισσαν πρὸ τῶν μ' χρόνων χειροτονεῖσθω.

ιε'. Ὑποδιάκονος μὴ ἧττων τῶν κε' χειροτονείσθω ἐνιαυτῶν. Εἰ δέ τις τῶν ἐν οἱῳοῦν ἱερατικῇ καταστάσει παρὰ τοὺς ὁρισθέντας χειροτονηθείη χρόνους, καθαιρείσθω.

Ἡ θ' διάταξις τοῦ α' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. οὐ συγχορεῖ γίνεσθαι διακόνισσαν, τὴν μὴ ὑπερβᾶσαν τὸν ξ' ἐνιαυτόν· ἡ δὲ α' διάτ. τοῦ α' τιτ· τῶν νεαρῶν, ἐτῶν αὐτὴν εἶναι θέλει ν', ὡς εἴ γε, διά τινα αἰτίαν ἀναγκαίαν, ἐλάττον οὖσα ταύτης τῆς ἡλικίας ἐχειροτονήθη, βούλεται μοναστηρίῳ ἐμῶληθῆναι, ἐν ᾧ ἀνδρῶν ἐπιμιξία οὐκ ἔστιν, οὔτε αὐτεξούσιος δίαιτα· ἡ μὲν τοι β' διάτ. τοῦ αὐτοῦ τίτ. οὐ θέλει διακόνισσάν ἐκκλησίας γίνεσθαι, τῶν μ' ἐτῶν ἧττονα. Ἡ αὐτὴ δὲ διατ. φησὶ, τὸν χειροτονούμενον πρεσβύτερον μὴ ὀφείλειν εἶναι ἧττονα τῶν λ' ἐτῶν καὶ κε' τὸν διάκονον, τὸν δὲ ἀναγνώστην ιη', καὶ τὸν ἐπίσκοπον λε'· ἡ δὲ ιζ διάτ. τοῦ αὐτοῦ τίτ. θέλει αὐτὸν ὑπερβεβηκέναι τὰ λ' ἔτη.

ΚΕΦΑΛ. ΚΘ'. — Περὶ ποιήσεως χωρεπισκόπων, καὶ πότε, καὶ πῶς προσφέρουσιν ἢ μεταδιδόασι, καὶ τίνας χειροτονοῦσιν ἢ οὔ.

Συνόδου Ἀγκύρας κανὼν ιγ'.

ιγ'. Χωρεπισκόποις μὴ ἐξεῖναι πρεσβυτέρους ἢ διακόνους χειροτονεῖν· ἀλλὰ μὴν μηδὲ ἐπισκόποις πόλεως, χωρὶς τοῦ ἐπιτραπῆναι ὑπὸ τοῦ ἐπισκόπου μετὰ γραμμάτων, ἐν ἑτέρᾳ παροικίᾳ.

Συνόδου Νεοκαισαρείας κανὼν ιγ'.

ιγ'. Ἐπιχώριοι πρεσβύτεροι ἐν τῷ κυριακῷ τῆς πόλεως προσφέρειν οὐ δύνανται, παρόντος ἐπισκόπου ἢ πρεσβυτέρων πόλεως, οὔτε μὴν ἄρτον διδόναι ἐν εὐχῇ οὐδὲ ποτήριον· ἐὰν δὲ ἀπῶσι, καὶ εἰς εὐχὴν κληθῇ, μόνος δίδωσιν.

[16] II Tim. II, 4. [17] Carthag. III, cap. 19. [18] Carthag. III, cap. 16.

NOTÆ.

(47-30) Et Ferrandus cap. 129, et conc. Carthag. tit. 27,

(31) Ms. *Si commodaverit pecuniam, et pecuniam accipiat.*

(32) Concil. Carthag. III, cap. 4, et Ferrandus. cap. 121, ex concil. Carthag. tit. 9.

(33) Egbertus Eborac. tit. 91, addit : « *Nisi rationabili necessitate cogente.* »

Digitized by Google Распознавание текста ABK/FR

Συνόδου Ἀντιοχείας κανὼν ι'.

ι'. Τοὺς ἐν ταῖς κώμαις ἢ χώραις, ἢ τοὺς καλουμένους χωρεπισκόπους, εἰ καὶ χειροθεσίαν εἶεν ἐπισκόπων εἰληφότες, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ εἰδέναι τὰ ἑαυτῶν μέτρα, καὶ διοικεῖν τὰς ὑποκειμένας αὐτοῖς ἐκκλησίας, καὶ τῇ τούτων ἀρκεῖσθαι φροντίδι καὶ κηδεμονίᾳ, καθιστᾶν τε ἀναγκώστας καὶ ὑποδιακόνους καὶ ἐξορκιστὰς, καὶ τῇ τούτων ἀρκεῖσθαι προαγωγῇ, μήτε δὲ πρεσβύτερον μήτε διάκονον χειροτονεῖν τολμᾶν δίχα τοῦ ἐν τῇ πόλει ἐπισκόπου, ᾧ ὑποκειται αὐτός τε καὶ ἡ χώρα. Εἰ τολμήσειέ τις παραβῆναι τὰ ὁρισθέντα, καθαιρεῖσθαι αὐτὸν καὶ ἧς μετέχει τιμῆς· χωρεπίσκοπον δὲ γίνεσθαι ὑπὸ τοῦ τῆς πόλεως ᾧ ὑπόκειται ἐπισκόπου.

Βασιλείου ἐκ τῆς πρὸς τοὺς χωρεπισκόπους ἐπιστολῆς ὥστε μὴ γίνεσθαι χωρὶς αὐτοῦ ὑπηρέτας παρὰ τοὺς κανόνας.

Ἤνυμε λυπεῖ ὅτι ἐπιλελοίπασι λοιπὸν, κ. τ.).

ΚΕΦΑΛ. Λ'. — Περὶ τοῦ ἑπτὰ καὶ μόνους εἶναι διακόνους ὀφείλειν, κἂν ἡ πόλις μεγάλη ᾖ.

Συνόδου Νεοκαισαρείας κανὼν ιδ', ιε'.

ιδ'. Οἱ δὲ χωρεπίσκοποι εἰσὶ μὲν εἰς τύπον τῶν ο', ὡς δὲ συλλειτουργοὶ, διὰ τὴν σπουδὴν τὴν εἰς τοὺς πτωχοὺς, προσφέρουσι τιμωμενοι.

ιε'. Διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι κατὰ τὸν κανόνα, κἂν πάνυ μεγάλη ᾖ ἡ πόλις· πεισθήσῃ δὲ ἀπὸ τῆς βίβλου τῶν Πράξεων.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιϛ'.

ιϛ'. Ἐπειδὴ αἱ τῶν Πράξεων βίβλοι, ἑπτὰ διακόνους ὑπὸ τῶν ἀποστόλων καταστῆναι παραδιδόασιν, οἱ δὲ τῆς κατὰ Νεοκαισάρειαν συνόδου οὕτως ἐν τοῖς ἐκτεθεῖσι παρ' αὐτῶν κανόσι σαφῶς διεξῆλθον, ὅτι διακονοι ἑπτὰ ὀφείλουσιν εἶναι κατὰ τὸν κανόνα, κἂν πάνυ μεγάλη ἡ πόλις εἴη, πεισθήσῃ δὲ ἐκ τῆς βίβλου τῶν Πράξεων· ἡμεῖς τῷ ἀποστολικῷ ῥητῷ τὸν νοῦν ἐφαρμόσαντες τῶν Πατέρων, εὕρομεν ὡς ὁ λόγος αὐτοῖς οὐ περὶ τῶν τοῖς μυστηρίοις διακονουμένων ἀνδρῶν ἦν, ἀλλὰ περὶ τῆς ἐν ταῖς χρείαις τῶν τραπεζῶν ὑπουργίας· τῆς τῶν Πράξεων βίβλου οὕτως ἐχούσης· Ἐν ταῖς ἡμέραις ἐκείναις πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν· προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον. Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις· ἐπισκέψασθε οὖν, ἀδελφοὶ, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτὰ, πλήρεις Πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης· ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. Καὶ ἤρεσεν ὁ λόγος ἐπὶ παντὸς του πλήθους· καὶ ἐξελέξαντο Στέφανον ἄνδρα πλήρη πίστεως καὶ Πνεύματος ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα, οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων. Ταῦτα διερμηνεύων ὁ τῆς Ἐκκλησίας διδάσκαλος Ἰωάννης ὁ Χρυσόστομος,

Concilii Antiocheni canon 10.

10. Ii qui sunt vicis vel pagis, qui dicuntur chorepiscopi, etiamsi episcopi ordinationem manuumve impositionem acceperint, visum est, ut suum modum sciant, et sibi subjectas ecclesias administrent, earumque cura et sollicitudine gerenda contenti sint : constituant autem lectores, hypodiaconos et exorcistas, et eorum promotionem sufficere existiment, nec presbyterum, nec diaconum ordinare audeant absque urbis episcopo, cui subjicitur ipse et regio. Si quis autem ea quæ definita sunt transgredi audeat, ipse quoque deponatur ab eo honore quem habet. Fiat autem chorepiscopus ab episcopo civitatis, cui subjicitur.

98 *Basilii ex epistola ad chorepiscopos, Quod non oporteat fieri ministros contra canones.*

Permolestum mihi, etc. *Ut pag.* 490.

CAP. XXX. — *Ut in unaquaque urbe, etiamsi magna sit, non sint diaconi plus quam septem.*

Concilii Neocæsarensis canones 14, 15.

14. Chorepiscopi autem sunt quidem in figura septuaginta : ut autem comministri, propter studium in pauperes, offerunt honorati.

15. Diaconi septem esse debent ex canone, etiamsi sit magna civitas. Ejus autem rei fidem faciet liber Actorum.

Concilii œcumenici VI *canon* 16.

16. Quoniam Actuum liber septem diaconos ab apostolis constitutos esse tradit, Neocæsarensis autem synodus [19] sic in a se editis canonibus aperte disseruit ; quod septem debent esse diaconi ex canone, etiamsi sit valde magna civitas, ex libro autem Actuum persuadeberis : nos cum dicto apostolico Patrum mentem adaptassemus, invenimus eos esse locutos non de viris, qui ministrant mysteriis, sed de ministerio quod in usu mensarum adhibebatur, cum liber Actuum sic habeat : *In diebus illis cum discipulorum multitudo cresceret, fuit Græcorum murmur adversus Hebræos, quod despiciebantur eorum viduæ in ministerio quotidiano.* 99 *Duodecim ergo, accersita discipulorum multitudine dixerunt : Non placet, ut verbo Dei relicto mensis serviamus ; providete ergo, fratres, viros ex vobis, de quibus bonum sit testimonium, septem, Spiritu sancto et sapientia plenos, quos in hoc usu constituemus : nos autem in oratione et verbi ministerio fortiter perseverabimus. Et placuit sermo coram omni multitudine, et elegerunt Stephanum virum plenum fide et Spiritu sancto, Philippum, et Prochorum, et Nicanorem, et Timonem, et Parmenam, et Nicolaum proselytum Antiochenum, quos statuerunt coram apostolis* [20]. Hæc interpretans Ecclesiæ doctor Joannes Chrysostomus [21], sic prosequitur : Est operæ pretium admirari, quomodo non est scissa multitudo in virorum electione, quomodo non sunt ab ipsis rejecti ac reprobati apostoli. Quamnam autem habebant hi auctoritatem,

[19] Can. 15. [20] Act. VI, 1-7. [21] Homil. 13 in *Acta*.

Digitized by Google Распознавание текста ABK/FR

et quam acceperunt ordinationem, scire est necessarium. Numquid diaconorum ? Atqui hoc non est in ecclesiis. Sed est presbyterorum dispensatio ? Atqui nullus adhuc erat episcopus, sed soli apostoli. Unde nec diaconorum, nec presbyterorum nomen existimamus apertum esse ac manifestum. Proptor hoc ergo nos quoque prædicamus, ut prædicti septem diaconi non de iis accipiantur, qui mysteriis serviunt, ut est prius exposita doctrina, sed eos esse quibus fuit concredita ac tradita dispensatio communi eorum usu, qui tunc collecti fuerant (34), qui nobis in hoc quoque forma fuere humanitatis et studii in eos qui indigent.

A οὕτως διέξεισι. Θαυμάσαι ἄξιον πῶς οὐκ ἐσχίσθη τὸ πλῆθος ἐπὶ τῇ αἱρέσει τῶν ἀνδρῶν, πῶς οὐκ ἀπεδοκιμάσθησαν ὑπ' αὐτῶν οἱ ἀπόστολοι· ὁποῖον δὲ ἄρα ἄξίωμα εἶχον οὗτοι, καὶ ποίαν ἐδέξαντο χειροτονίαν, ἀναγκαῖον μαθεῖν. ἆρα τὴν τῶν διακόνων ; καὶ μὴν τοῦτο ἐν ταῖς ἐκκλησίαις οὐκ ἔστιν· ἀλλὰ τῶν πρεσβυτέρων ἐστὶν ἡ οἰκονομία ; Καὶ τοι οὐδέπω οὐδεὶς ἐπίσκοπος ἦν, ἀλλ' οἱ ἀπόστολοι μόνον· ὅθεν οὔτε διακόνων, οὔτε πρεσβυτέρων εἶναι τὸ ὄνομα δῆλον, φανερόν. Ἐπὶ τούτοις οὖν κηρύσσομεν καὶ ἡμεῖς, ὥστε τοὺς προειρημένους ἑπτὰ διακόνους, μὴ ἐπὶ τῶν τοῖς μυστηρίοις διακονουμένων λαμβάνεσθαι, κατὰ τὴν προνρμηνευθεῖσαν διδασκαλίαν, ἀλλὰ τοὺς τὴν οἰκονομίαν τῆς κοινῆς χρείας τῶν τότε συνηθροισμένων ἐγχειρισθέντας, τούτους ὑπάρχειν, οἳ τύπος ἡμῖν κἀν τούτῳ γεγόνασι τῆς περὶ τοὺς δεομένους φιλανθρωπίας τε καὶ σπουδῆς.

Textus. Const. I, tit. 1 Novellarum dicit, quod eorum numerum, qui in unaquaque ecclesia ministrant, redituum 100 quantitas et inveterata consuetudo definiat. Const. vero 9 ejusdem tit. jubet, ut in Magna ecclesia Constantinopolitana sint presbyteri sexaginta, diaconi centum, diaconissæ viginti, subdiaconi nonaginta, lectores centum et decem, cantores viginti quinque, ostiarii centum. Ejusdem autem tit. const. 10, vult, ut in aliis ecclesiis servetur ab initio definitum statutum. Cæterum per formam domini Heraclii constituti sunt in eadem Magna ecclesia presbyteri octoginta, diaconi quinquaginta, diaconissæ quadraginta, subdiaconi septuaginta, lectores centum sexaginta, cantores viginti quinque, ostiarii septuaginta quinque.

B Ἡ δὲ α' διάταξις τοῦ α' τίτ. τῶν Νεαρῶν φησὶ, ὅτι τὸν ἀριθμὸν τῶν ἐν ἑνάστῃ ἐκκλησίᾳ λειτουργούντων, ἡ ποσότης τῆς προσόδου καὶ ἡ κρατήσασα ὁρίζει συνήθεια. Ἡ δὲ θ' τοῦ αὐτοῦ τίτλου, τάττει, ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ Κωνσταντινουπόλεως πρεσβυτέρους ξ', διακόνους ρ', διρκονίσσας μ', ὑποδιακόνους ζ', ἀναγνώστας ρι', ψάλτας κε', θυρωροὺς ρ'· ἡ δὲ ι' τοῦ αὐτοῦ τίτ. διάτ. βούλεται ἐν ταῖς ἄλλαις ἐκκλησίαις φυλάττεσθαι τὸ ἐξ ἀρχῆς ὁρισθὲν στατοῦτον. Ἀπὸ δὲ τύπου τοῦ δεσπότου Ἡρακλείου ὡρίσθησαν ἐν τῇ αὐτῇ Μεγάλῃ ἐκκλησίᾳ πρεσβύτεροι π', διάκονοι ρν', διακόνισσαι μ', ὑποδιάκονοι ο', ἀναγνῶσται ρξ', ψάλται κε', θυρωροὶ οε'.

CAP. XXXI. — *Quinam sint clerici, sive quinam ad ecclesiasticum ordinem pertinentes?*

Concilii Laodiceni canon 24.

24. Quod non oportet sacratos, a presbyteris usque ad diaconos, et deinceps quemlibet ecclesiastici ordinis usque ad ministros, vel lectores, vel cantores, vel exercitatorum ordines, in cauponam ingredi.

C ΚΕΦΑΛ. ΛΑ'. — Τίνες εἰσὶ κληρικοὶ, ἢ τῆς ἐκκλησιαστικῆς τάξεως ;

Συνόδου Λαοδικείας κανὼν κδ'.

κδ'. Ὅτι οὐ δεῖ ἱερατικῶς ἀπὸ πρεσβυτέρων ἕως διακόνων, καὶ ἐξῆς τῆς ἐκκλησιαστικῆς τάξεως, ἕως ὑπηρετῶν, ἢ ἀναγνωστῶν, ἢ ψαλτῶν, ἢ ἐπιορκιστῶν, ἢ θυρωρῶν, ἢ τοῦ τάγματος τῶν ἀσκητῶν, εἰς καπηλεῖον εἰσιέναι.

Textus. Const. II, tit. 1 Novellarum, presbyteros, diaconos, lectores, cantores, clericos [esse] dicit. Quin exorcistarum etiam et ostiariorum const. 6, tit. 3, lib. I. cod. meminit.

Ἡ β' διάταξις τοῦ α' τίν. τῶν Νεαρῶν κληρικοὺς ἔχει, πρεσβυτέρους, διακόνους, ὑποδιακόνους, ἀναγνώστας, ψάλτας· Ἡ μέντοι ζ' διάτ. τοῦ γ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. καὶ ἐξορκιστῶν καὶ πυλωρῶν μέμνηται.

CAP. XXXII. — *Ne is ordinetur cujus uxor fuerit adultera. Quid autem si clerici uxor adulterium committat?*

Concilii Neocæsariensis canon 8.

8. Si alicujus uxor, cum esset laicus, adulterata fuisse convicta fuerit, is non potest ad ministerium accedere. 101 Sin autem etiam post ordinationem adulterata fuerit, debet eam dimittere. Quod si cohabitet, non potest sibi commissum ministerium exsequi.

ΚΕΦΑΛ. ΛΒ'. — Περὶ τοῦ μὴ χειροτονεῖσθαι οὗτινος ἡ γυνὴ ἐμοιχεύθη· καὶ ἐὰν γυνὴ κληρικοῦ μοιχευθῇ.

D Συνόδου Νεοκαισαρείας κανὼν η'.

η'. Γυνή τινος μοιχευθεῖσα λαϊκου ὄντος, ἐὰν ἐλεγχθῇ φανερῶς, ὁ τοιοῦτος εἰς ὑπηρεσίαν ἐλθεῖν οὐ δύναται· ἐὰν δὲ μετὰ τὴν χειροτονίαν μοιχευθῇ, ὀφείλει ἀπολῦσαι αὐτήν· ἐὰν δὲ συζῇ, οὐ δύναται ἔχεσθαι τῆς ἐγχειρισθείσης αὐτῷ ὑπηρεσίας.

Textus. Etiam civilis lex, quoscunque uxores suas adulteras non repudiaet, punit. Const. autem 2, tit. 9, lib. IX cod. lenonem esse dicit eum, qui uxorem suam in adulterio deprehensam, in matri-

Καὶ ὁ πολιτικὸς νόμος πάντας τοὺς τὰς γυναῖκας ἑαυτῶν μοιχευομένας, μὴ ἀπολύοντας τιμωρεῖται· ἡ δὲ β' διάτ. τοῦ θ' τίτ. τοῦ θ' βιβλ. τοῦ κώδ. λέγει, ὅτι προαγωγός ἐστιν ὁ τὴν αὐτοῦ γαμετὴν μοιχευ-

(34) « Qui cum apostolis congregati erant, et crediderant, » inquit Zonaras. *Hard.*

Digitized by Google Распознавание текста ABK/FR

Θεῖσαν μὴ ἀπολύσας · οὐ μὴν ὁ ψιλῶς ὑποπτεύσας. Σήμερον δὲ καὶ μετὰ δίκην δύναται ὁ ἀνὴρ ἀναλαβεῖν ἐκ τοῦ μοναστηρίου τὴν μοιχευθεῖσαν αὐτοῦ γυναῖκα, κατὰ τὴν παρατήρησιν τῆς περὶ *repudium* ρμ' νεαρᾶς.

monio delinuerit : non autem, etiam qui adulteram solummodo suspectam habuerit. Hodie vero etiam post condemnationem potest maritus uxorem suam adulteram e monasterio recipere: [idque] secundum observationem Novellæ 134, de repudiis.

ΚΕΦΑΛ. ΛΓ. — Περὶ τοῦ μὴ χειροτονεῖσθαι κληρικοὺς ἀπολελυμένως, ἀλλὰ πάντος εἰς ἐκκλησίαν ἢ εἰς μοναστήριον.

Συνόδου Χαλκηδόνος κανὼν ς'.

ς'. Μηδένα ἀπολελυμένως χειροτονεῖσθαι, μήτε πρεσβύτερον, μήτε διάκονον, μήτε ὅλως τινὰ τῶν ἐν τῷ ἐκκλησιαστικῷ τάγματι, εἰ μὴ ἰδικῶς ἐν ἐκκλησίᾳ πόλεως ἢ κώμης, ἢ μαρτυρείῳ ἢ μοναστηρίῳ, ὁ χειροτονούμενος ἐπικηρύττοιτο · τοὺς δὲ ἀπολύτως χειροτονουμένους, ὥρισεν ἡ ἁγία σύνοδος ἄκυρον ἔχειν τὴν τοιαύτην χειροθεσίαν, καὶ μηδαμοῦ δύνασθαι ἐνεργεῖν, ἐφ' ὅσον ὁρεῖ τοῦ χοιροτονήσαντος.

CAP. XXXIII. — *Ne clerici libere ordinentur, sed omnino vel certæ ecclesiæ vel monasterio deputentur.*

Concilii Chalcedonensis canon 6.

6. Nullum absolute ordinari, nec presbyterum, nec diaconum, nec omnino aliquem eorum qui sunt in ordine ecclesiastico, nisi specialiter in ecclesia civitatis, vel pagi, vel martyrio, vel monasterio is qui ordinatur, designetur. Eos autem qui absolute ordinantur, decrevit sancta synodus irritam ac invalidam habere ejusmodi manuum impositionem, et nusquam exercere ac operari posse ad ejus qui ordinavit injuriam.

ΚΕΦΑΛ ΛΔ'. — Περὶ περιοδευτῶν καὶ τῶν ἐν ταῖς κώμαις ἐκκλησιῶν.

Συνόδου Λαοδικείας κανὼν νζ'.

νζ'. Ὅτι οὐ δεῖ ἐν ταῖς κώμαις καὶ ἐν ταῖς χώραις, καθίστασθαι ἐπισκόπους, ἀλλὰ περιοδευτάς · τοὺς μέντοι ἤδη προκατασταθέντας, μηδὲν πράττειν ἄνευ γνώμης τοῦ ἐπισκόπου τοῦ ἐν τῇ πόλει · ὡσαύτως δὲ καὶ τοὺς πρεσβυτέρους, μηδὲν πράττειν ἄνευ τῆς γνώμης τοῦ ἐπισκόπου.

Ἡ δὲ ια' διάταξις τοῦ γ' τίτ. τοῦ α' βιβλ. λέγει, ἐκ τῶν χωρίων καὶ τῶν κωμῶν, καὶ οὐκ ἔξωθεν εἰς τὰς ἐκκλησίας αὐτῶν χειροτονεῖσθαι, ὥστε συντελεῖν τὴν ἰδίαν καπιτατιόνα καὶ τὸ δημόσιον. Ἡ δὲ ις' διάτ. τοῦ αὐτοῦ τίτλου, καὶ ἡ β' τοῦ α' τίτ. τῶν Νεαρῶν, φασὶ τοὺς ἐναπογράφους, καὶ ἀκόντων τῶν δεσποτῶν, ἐν ταῖς κατ' αὐτοὺς κτήσεσι χειροτονεῖσθαι · ἐφ' ᾧ διὰ τῶν δεσποτῶν τὴν καπιτατιόνα συντελεῖν, καὶ δι' ὑποκαταστάτου λειτουργεῖν.

Textus. Const. II, tit. 3, lib. I, dicit, ex [ipsis] possessionibus et vicis, non autem aliunde, in ecclesias ipsorum ordinari [debere], ut propriam capitationem ac vectigal contribuant. Constit. vero 16 ejusdem tit. et 2, tit. Novellarum aiunt, censibus annotatos, etiam invitis [agri] dominis, in iis vicis in quibus mansitant, ordinari: [ita tamen,] ut capitationem contribuere, et per substitutos ruralia obsequia exsequi, per dominos compellantur.

ΚΕΦΑΛ. ΛΕ'. — Περὶ τοῦ ὑπὸ τὸν ἐπίσκοπον τῆς πόλεως εἶναι τοὺς κληρικοὺς τῶν πτωχείων καὶ μοναστηρίων καὶ μαρτυρείων.

Συνόδου Χαλκηδόνος κανὼν η'.

η'. Οἱ κληρικοὶ τῶν πτωχείων καὶ μοναστηρίων καὶ μαρτυρείων, ὑπὸ τὴν ἐξουσίαν τῶν ἐν ἑκάστῃ πόλει ἐπισκόπων κατὰ τὴν τῶν ἁγίων Πατέρων παράδοσιν διαμενέτωσαν, καὶ μὴ κατὰ αὐθάδειαν ἀφηνιάτωσαν τοῦ ἰδίου ἐπισκόπου. Οἱ δὲ τολμῶντες ἀνατρέπειν τὴν τοιαύτην διατύπωσιν καθ' οἱονδήποτε τρόπον, καὶ μὴ ὑποτασσόμενοι τῷ ἰδίῳ ἐπισκόπῳ, εἰ μὲν εἶεν κληρικοί, τοῖς τῶν κανόνων ὑποκείσθωσαν ἐπιτιμίοις · εἰ δὲ μονάζοντες ἢ λαϊκοί, ἔστωσαν ἀκοινώνητοι.

Concilii Laodiceni canon 57.

57. Quod non in vicis et pagis episcopos constitui, sed 102 periodeutas, hoc est, circumcursatores ; eos autem qui prius constituti fuerunt, nihil agere sine mente episcopi qui est in civitate. Similiter autem et presbyteros nihil agere sine mente episcopi.

CAP. XXXIV. — *De periodeutis et de ecclesiis rusticanis.*

CAP. XXXV. — *Ut episcopo urbis subsint clerici tam in hospitibus pauperum, quam in monasteriis, vel locis quæ dicuntur martyria versantes.*

Concilii Chalcedonensis canon 8.

8 Clerici ptochotrophiorum, monasteriorum et templorum martyrum, sub potestate episcoporum, qui sunt in unaquaque civitate, ex sanctorum Patrum traditione, permaneant, et non per arrogantiam se a proprio episcopo, imperium ejus detrectantes, subducant. Qui hanc autem constitutionem avertere ausi fuerint, si autem monachi, vel laici, sint excommunicati.

ΚΕΦΑΛ. ΛΣ'. — Περὶ δούλων κληρουμένων.

Ἀποστόλων κανὼν πβ'.

πβ'. Οἰκέτας εἰς κλῆρον προχειρίζεσθαι ἄνευ τῆς τῶν δεσποτῶν γνώμης, οὐκ ἐπιτρέπομεν ἐπὶ λύπῃ τῶν κεκτημένων · οἴκων γὰρ ἀνατροπὴν τὸ τοιοῦτο ἐργάζεται. Εἰ δέ ποτε καὶ ἄξιος φανείη οἰκέτης πρὸς χειροτονίαν βαθμοῦ, οἷος καὶ ὁ ἡμέτερος Ὀνήσιμος

CAP. XXXVI. — *De servis qui in clerum recipiuntur.*

Apostolorum canon 82.

82 [81]. Servos in clerum provehi sine voluntate 103 dominorum, non permittimus, ad eorum qui possident molestiam. Domorum enim eversionem talia efficiunt. Si quando autem etiam dignus servus visus sit, qui ad gradum eligatur, qualis noster

Digitized by Google Распознавание текста ABK/ER

quoque Onesimus visus est, et domini concesserint ac liberaverint, et ædibus emiserint, fiat.

Const. 36, tit. 39 lib. 1, ced.ait servum ne volente quidem domino clericum fieri, nisi prius manumittatur. Const. 2, tit. 1 Novellarum ait: Si sciente neque contradicente domino clericus factus fuerit, [eum] liberum esse,ac fieri ingenuum. Si vero [dominus] cum ignorasset, intra annum [illi suam] fortunam ostendat, [eum illum posse] recipere. [Denique] liberum factum,si mundanus fiat, domino suo in servitutem tradi.Eadem const. dicit episcopatum a servili atque ascriptiorum conditione, et a patria potestate liberare.Quod ipsum sane etiam Novella 81, quæ tradit, per quas dignitates curiæ [nexu] patriaque potestate quis liberetur.

CAP. XXXVI. — *De diaconissis, et quod mulier presbyteralem dignitatem non obtineat.*

Concilii Nicæni canon 19.

19. De Paulianistis, qui deinde ad ecclesiam confugerunt, statutum est, ut ii omnino rebaptizentur. Si qui vero tempore præterito in clericorum numero erant, si quidem a culpa et reprehensione aliqui visi fuerint, rebaptizati ordinentur a catholicæ 104 Ecclesiæ episcopo. Si vero examinatio eos non esse aptos deprehendit, deponi eos oportet. Similiter autem et de diaconissis, et omnino de omnibus qui inter clericos annumerantur, eadem forma servabitur. Diaconissarum autem meminimus quæ in habitu quidem censentur, quoniam nec ullam habent manuum impositionem, ut omnino inter laicos ipsæ connumerentur.

Concilii Laodiceni canon 11.

11. Non oportere eas quæ dicuntur presbyteræ et præsidentes, in ecclesiis constitui.

Concilii Chalcedonensis canon 15.

15. Diaconissam non esse mulierem, etc., *ut pag.* 550.

Concilii œcumenici sexti canon 14.

14. Sanctorum divinorumque Patrum, etc., *ut pag.* 551.

CAP. XXXVIII.— *Quatenus per ordinationem peccata solvantur.*

Concilii Neocæsariensis canon 9.

9. Si presbyter, qui corpore prius peccaverat, etc., *ut pag.* 547.

A ἐφάνη, καὶ συγχωρήσουσιν οἱ δεσπόται καὶ ἐλευθερώσουσι, καὶ τοῦ οἴκου ἑαυτῶν ἐξαποστείλωσι, γινέσθω.

Ἡ δὲ λϛ' διάταξις τοῦ γ' τίτ. τοῦ α' βιβλ.τοῦ κώδ., φησὶν, ὅτι δοῦλος, οὔτε κατὰ γνώμην τοῦ δεσπότου κληροῦται, εἰ μὴ πρότερον ἐλευθερωθῇ. Ἡ δὲ β' διάτ. τοῦ α' τίτ. τῶν Νεαρῶν, φησὶν ὅτι ἐὰν γινώσκοντος καὶ μὴ ἀντιλέγοντος τοῦ δεσπότου κληρωθῇ, ἐλευθεροῦται καὶ εὐγενὴς γίνεται. Εἰ δὲ ἠγνόησεν εἴσω ἑνιαυτοῦ δεικνὺς τὴν τύχην, λαμβάνει αὐτόν. Ὁ δὲ ἐλευθερούμενος, ἐὰν κοσμικὸς γένηται, παραδίδοται εἰς δουλείαν τῷ δεσπότῃ αὐτοῦ. Ἡ δὲ αὐτὴ διάταξις λέγει, ὅτι ἡ ἐπισκοπὴ, καὶ δουλικῆς καὶ ἐνσπογράφου τύχης ἐλευθεροῖ καὶ ὑπεξουσιότητος· τὸ αὐτὸ δὲ καὶ ἡ οε' νεαρὰ ἡ διαλαμβάνουσα διὰ ποίων ἀξιωμάτων B βουλευτηρίου τις ἐλευθεροῦται καὶ ὑπεξουσιότητος· ἡ γὰρ ο' νεαρὰ ἐπισκόπων οὐ μέμνηται.

ΚΕΦΑΛ ΛΖ'. — Περὶ διακονισσῶν, καὶ ὅτι γυνὴ οὐ γίνεται πρεσβυτέρα.

Συνόδου Νικαίας κανὼν ιθ'.

ιθ'. Περὶ τῶν Παυλιανισάντων, εἶτα προσφυγόντων τῇ καθολικῇ Ἐκκλησίᾳ, ὅρος ἐκτίθεται ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος. Εἰ δέ τινες τῷ παρελληλυθότι χρόνῳ ἐν τῷ κλήρῳ ἐξητάσθησαν, εἰ μὲν ἄμεμπτοι καὶ ἀνεπίληπτοι φανεῖεν, ἀναβαπτισθέντες χειροτονείσθωσαν ὑπὸ τοῦ τῆς καθολικῆς Ἐκκλησίας ἐπισκόπου. Εἰ δὲ ἡ ἀνάκρισις ἀνεπιτηδείους αὐτοὺς εὑρίσκει, καθαιρεῖσθαι αὐτοὺς προσήκει. Ὡσαύτως δὲ καὶ περὶ τῶν διακονισσῶν, καὶ ὅλως περὶ τῶν ἐν τῷ κανόνι ἐξεταζομένων, ὁ αὐτὸς τύπος περιφυλαχθήσεται, ἐμνήσθημεν δὲ τῶν διακονισσῶν τῶν ἐν τῷ C σχήματι ἐξετασθεισῶν, ἐπεὶ μηδὲ χειροθεσίαν τινὰ ἔχουσιν· ὥστε ἐξάπαντος ἐν τοῖς λαϊκοῖς αὐτὰς ἐξετάζεσθαι.

Συνόδου Λαοδικείας κανὼν ια'.

ια'. Περὶ τοῦ μὴ δεῖν τὰς λεγομένας πρεσβύτιδας, ἤτοι προκαθημένας, ἐν ἐκκλησίᾳ καθίστασθαι.

Συνόδου Χαλκηδόνος κανὼν ιε'.

ιε'. Διακόνισσαν μὴ χειροτονεῖσθαι γυναῖκα, κ.τ.λ.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιδ'.

ιδ'. Ὁ τῶν ἁγίων καὶ θεοφόρων ἡμῶν Πατέρων, κ. τ. λ.

ΚΕΦΑΛ. ΛΗ. — Περὶ τῶν διὰ τῆς χειροτονίας λυομένων ἁμαρτημάτων.

Συνόδου Νεοκαισαρείας κανὼν θ'.

θ'. Πρεσβύτερος ἐὰν προημαρτηκὼς σώματι, κ. τ. λ.

Digitized by Google Распознавание текста ABK/FR

ΤΙΤΥΟΣ Β'.

ΠΕΡΙ ΠΟΙΗΣΕΩΣ ΕΚΚΛΗΣΙΩΝ ΚΑΙ ΠΕΡΙ ΙΕΡΩΝ ΣΚΕΥΩΝ ΚΑΙ ΑΝΑΘΗΜΑΤΩΝ, ΚΑΙ ΚΛΗΡΙΚΩΝ ΠΑΡΑ ΓΝΩΜΗΝ ΕΠΙΣΚΟΠΩΝ ΙΣΤΩΝΤΩΝ ΘΥΣΙΑΣΤΗΡΙΑ

—

[105] TITULUS II.

DE EXSTRUCTIONE ECCLESIARUM, ET DE SACRIS VASIS ATQUE DONARIIS, ET DE CLERICIS PRÆTER SENTENTIAM EPISCOPI ALTARIA ERIGENTIBUS.

—

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ. — Περὶ καθιερώσεως ἐκ- A κλησιῶν καὶ μαρτυρείων μὴ ἐχόντων λείψανα ἁγίων.

Συνόδου Καρθαγέννης κανὼν ς', πγ'.

Ὥστε χρίσμα ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι.

ς'. Φουρτουνάτος ἐπίσκοπος εἶπεν· Ἐν ταῖς προ-λαβούσαις συνόδοις μεμνήμεθα τὰ ὁρισθέντα, ὥστε χρίσμα, ἢ καταλλαγὴν μετανοούντων, ἢ κορῶν, καὶ τόπων, καὶ ναῶν καθιέρωσιν ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι· ἐὰν δέ τις ἀναφυῇ τοῦτο πράττων, τί δεῖ περὶ τούτου ὁρίσαι; Αὐρήλιος ἐπίσκοπος εἶπεν· Τὸ ὑμέτερον ἀξίωμα ἤκουσε τὸ ἀνενεχθὲν παρὰ τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Φουρτουνάτου, τί πρὸς ταῦτα λέγετε; Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη· Χρίσματος ποίησις, καὶ κορῶν καθιέρωσις, ἀπὸ πρεσβυτέρων μὴ γίνηται, μήτε δὲ καταλλάξαι B τινὰ εἰς δημοσίαν λειτουργίαν πρεσβυτέρῳ ἐξεῖναι· τοῦτο πᾶσιν ἀρέσκει.

Περὶ τῶν πλαστῶν μνημείων τῶν μαρτύρων.

πγ'. Ὁμοίως ἤρεσεν ἵνα τὰ πανταχοῦ ἀνὰ τοὺς ἀγροὺς καὶ τοὺς ἀμπελῶνας θυσιαστήρια, ὡσανεὶ εἰς μνήμην μαρτύρων καθιστάμενα, ἐν οἷς οὐδὲ ἕν σῶμα ἢ λείψανα μαρτύρων ἀποκείμενα δείκνυται, ἀπὸ τῶν ἐντοπίων ἐπισκόπων εἰ ἔστι δυνατὸν καταστρέφωνται. Εἰ δὲ τοῦτο θορύβοις δημοτικοῖς οὐ συγχωρεῖται, ὅμως τὰ πλήθη νουθετηθῶσι μὴ ὀχλαγωγεῖν τοὺς τόπους ἐκείνους· καὶ ἵνα οἱ τὰ ὀρθὰ φρονοῦντες μηδεμιᾷ δεισιδαιμονίᾳ τῶν τοιούτων τόπων καταδεσμῶνται· καὶ παντελῶς μηδὲ μνήμη μαρτύρων ἐπιτελεσθῇ, εἰ μή που ἢ σῶμα ἤ τινα λείψανα ὦσιν, ἢ ἀρχαιογονία τινὸς οἰκήσεως, ἢ κτί- C σεως, ἢ πάθους πιστῇ ἀρχαιότητι παραδίδοται· ὅσα γὰρ δι' ἐνυπνίων καὶ ματαίων ἀποκαλύψεων ἀνθρώπων τινῶν ὁπουδήποτε καθίστανται θυσιαστήρια, παντὶ τρόπῳ τὰ τοιαῦτα ἀποδοκιμασθῶσιν.

Συνόδου Νικαίας τὸ β', κανὼν ζ', ιζ'.

Ὅτι τοὺς ἐγκαινισθέντας ναοὺς ἐκτὸς καταθέσεως ἁγίων λειψάνων, δέον ἀναπληρωθῆναι.

ζ'. Ἔφη Παῦλος ὁ θεῖος ἀπόστολος· Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοι εἰσι, τισὶ δὲ καὶ

CAPUT PRIMUM. — *De consecratione ecclesiarum et martyriorum quæ sanctorum reliquiis carent.*

Concilii Carthaginensis canon 6, 83.

Ut chrisma a presbyteris non fiat [22].

6. Fortunatus episcopus dixit: In præteritis conciliis statutum [*mss.* constituta] meminimus esse, ut chrisma vel reconciliatio pœnitentium, necnon et puellarum consecratio, a presbyteris non fiant: si quis autem emerserit hoc faciens, quid de eo [*mss.* de hoc] statuendum sit? Aurelius episcopus dixit: Audivit dignatio vestra suggestionem fratris et coepiscopi nostri Fortunati; quid ad hæc dicitis? Ab universis episcopis dictum est: Chrismatis [*ms.* chrismæ] confectio, et B puellarum consecratio a presbyteris non fiat: vel reconciliare quemquam in publica missa presbytero non licere, hoc omnibus placet.

De monumentis martyrum factitiis.

83. Item [23], ut altaria quæ passim per agros et per vias tanquam memoriæ martyrum constituuntur, in quibus nullum corpus aut reliquiæ martyrum conditæ probantur, ab episcopis qui locis eisdem præsunt 106, si fieri potest, evertantur. Si autem hoc per tumultus populares non sinitur, plebes tamen admoneantur, ne illa loca frequentent, ut qui recte sapiunt, nulla ibi superstitione devincti teneantur. Et omnino nulla memoria martyrum probabiliter acceptetur, nisi ubi corpus aut aliquæ reliquiæ sunt, origo alicujus habitationis vel passionis fidelissima origine C traditur. Nam quæ per somnia et per inanes quasi revelationes quorumlibet hominum ubicunque constituuntur altaria, omni modo improbentur.

Concilii Nicæni II *canones* 7 et 17.

Templis absque depositione sacrarum reliquiarum fuerunt dedicata, fieri debet depositio.

7. Ait Paulus divinus apostolus: *Quorumdam hominum peccata sunt manifesta, nonnullos autem*

[22] Carthag. II, can. 3. [23] Concilium Carthag. V, c. 14; concilium Afric. c. 50.

Digitized by Google Распознавание текста ABK/FR

consequuntur [27]. Præcedentibus autem peccatis, alia quoque ea sequuntur. Impiam ergo hæresim eorum, qui Christianos accusant, alia quoque impia consecuta sunt. Quemadmodum enim venerabilium imaginum aspectum ex ecclesia sustulerunt, alios quoque mores reliquerunt, quos quidem oportet renovari, et tam ex jure scripto quam non scripto sic observari. Quæcumque ergo templa consecrata sunt absque sacris reliquiis martyrum, in iis fieri statuimus reliquiarum depositionem cum consuetis precibus. Episcopus autem posthac templum consecrans sine sanctis reliquiis, deponatur, ut qui ecclesiasticas traditiones transgressus sit.

A ἐπακολουθοῦσιν. Ἁμαρτιῶν οὖν προκαταλαμβανουσῶν, καὶ ἕτεραι ἁμαρτίαι παρέπονται ταύταις· τῇ οὖν ἀσεβεῖ αἱρέσει τῶν Χριστιανοκατηγόρων, καὶ ἄλλα ἀσεβήματα συνηκολούθει. Ὥσπερ γὰρ τὴν τῶν σεπτῶν εἰκόνων ὄψιν ἀφείλοντο ἐκ τῆς ἐκκλησίας, καὶ ἕτερά τινα ἔθη ἀπεβούλοντο, ἃ χρὴ ἀνανεωθῆναι, καὶ κατὰ τὴν ἔγγραφον καὶ ἄγραφον θεσμοθεσίαν οὕτως κρατεῖν· ὅσοι οὖν σεπτοὶ ναοὶ καθιερώθησαν, ἐκτὸς ἁγίων λειψάνων μαρτύρων, ὁρίζομεν ἐν αὐτοῖς κατάθεσιν γενέσθαι λειψάνων, μετὰ τῆς συνήθους εὐχῆς. Ὁ δὲ ἄνευ ἁγίων λειψάνων καθιερῶν ναὸν, καθαιρείσθω, ὡς παραβεβηκὼς τὰς ἐκκλησιαστικὰς παραδόσεις.

Ne quis cum non habeat quæ ad perfectionem pertinent oratoria ædificare aggrediatur.

17. Quidam monachi suis [107] monasteriis relictis, ut qui imperare desiderent, et parere recusant, oratoria ædificare aggrediuntur, cum ea non habeant quæ ad perfectionem pertinent. Si quis ergo hoc facere aggressus fuerit, prohibeatur ab ejus loci episcopo. Si quis autem ea habet quæ ad perfectionem sufficiunt, quæ ab ipso deliberata sunt, ad finem deducantur. Idem autem servetur in laicis et clericis.

Ὅτι μὴ ἔχων τις τὰ πρὸς ἀπαρτισμὸν, μὴ ἐπιχειροίη κτίζειν εὐκτήριον οἶκον.

ιζ'. Ὅτι τινὲς τῶν μοναχῶν καταλιπόντες τὰ ἑαυτῶν μοναστήρια, ὡς ἐφιέμενοι ἄρχειν καὶ τὸ ὑπακούειν ἀπαναινόμενοι, ἐγχειροῦσι κτίζειν εὐκτηρίους οἴκους, τὰ πρὸς ἀπαρτισμὸν μὴ ἔχοντες. Εἴ τις οὖν τοῦτο ἐπιχειρήσοι ποιεῖν, κωλυέσθω ὑπὸ τοῦ κατὰ τὸν τόπον ἐπισκόπου· εἰ δὲ τὰ πρὸς ἀπαρτισμὸν ἔχοι, τὰ βεβουλευμένα αὐτῷ εἰς πέρας ἀγέσθωσαν. Τὸ αὐτὸ δὲ φυλαττέσθω καὶ ἐπὶ λαϊκῶν καὶ κληρικῶν.

Textus. In cap. 14, tit. 3 præsentis operis transcripsi, quomodo fiat ecclesia. Dicit vero etiam const. 15, tit. 2, lib. 1 cod. quod si quis rem mobilem, immobilem, aut seipsam moventem, personæ [cujuspiam] martyris, aut prophetæ, aut angeli, tanquam ipsi oratorium exstructurus donaverit, donationemque ubi oportet, in acta retulerit: cogatur opus, quanquam cœptum non sit, cum hæredibus adimplere, [eo] que adimpleto donationem conferre. Idemque de xenodochio, nosocomio, atque ptochio [dicit. Tum etiam episcopis et œconomis, ut hos urgeret, facultatem esse. Postremo hæc completa, prout donatoribus visum est, ac secundum injunctas præceptiones administrari. Ac const. 45, tit. 3, ejusdem 1 lib. dicit: Quod si quis aut per institutionem, aut legatum, fideicommissumve, aut mortis causa donationem, piam dispositionem fecerit, cogatur per episcopum mandatarius, etiam si episcopo a testatore prohibitum sit, ne curet, ut si ecclesiam facere ipsi injunctum fuerit, intra triennium illam absolvat: si vero xenonem, intra annum. Etenim dum opus consumetur, recipiendis ægrotis [aliam] domum conduci posse. Deinde eo tempore elapso, episcopum relicta [pariter] cum fructibus atque accessionibus a tempore mortis testatoris exigere: ac ecclesias, [108] xenones, gerontocomia, orphanotrophia, nosocomia, aut ptochia ædificare: [tum etiam administratores ipsis præficere, nisi testator, quis administrare debeat, expresse dixerit: et tametsi [administratorem testator] nominarit, potestatem [tamen] habere episcopum, ut si male ille administret, [ipsum] removeat, et alium faciat: si vero qui jussus est, ab episcopo interpellatus magistratuum [etiam] admonitionem exspectet,

Ἐν τῷ ιδ' κεφαλαίῳ τοῦ γ' τίτ. τοῦ παρόντος συντάγματος, παρέγραψα πῶς γίνεται ἐκκλησία. Λέγει δὲ καὶ διάτ. ιε' τοῦ β' τίτ. τοῦ κ' βιβλ. τοῦ κώδ. ὡς ἐάν τις δωρήσηται πρᾶγμα κινητὸν ἢ ἀκίνητον ἢ αὐτοκίνητον ἢ δίκαιον εἰς πρόσωπον μάρτυρος, ἢ προφήτου, ἢ ἀγγέλου, ὡς αὐτοῦ μέλλων εὐκτήριον οἰκοδομῆσαι, καὶ τὴν δωρεὰν ἐμφανίσῃ ἐφ' ὧν ἀναγκαῖον ἐστιν, ἀναγκάζεται τὸ ἔργον κἂν μὴ ἤρχθη πληροῦν μετὰ κληρονόμων, καὶ πληρωθέντι δοῦναι τὰ τῆς δωρεᾶς. Τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν ξενοδοχείων καὶ νοσοκομείων καὶ πτωχείων· ἀδείας οὔσης τοῖς ἐπισκόποις καὶ οἰκονόμοις ἐνάγειν αὐτούς. Τούτων δὲ πληρουμένων, ἡ διοίκησις κατὰ τὰ δόξαντα τοῖς φιλοτιμησαμένοις καὶ τοὺς ἐπιτεθέντας ὅρους γίνεται, καὶ ἡ με' διάτ. τοῦ γ' τίτ, τοῦ αὐτοῦ α' βιβλ. φησὶν, ὅτι ἐάν τις εὐσεβῆ ποιήσοιτο διατύπωσιν, ἐν ἐνστάσει ἢ ληγάτῳ, ἢ *fidei commisso mortis causa* δωρεᾷ, ἀνάγκην ἔχει ὁ κελευσθεὶς διὰ τοῦ ἐπισκόπου, κἂν ἐκωλύθη ὑπὸ τοῦ διαθεμένου προνοῆσαι, εἰ μὲν ἐκκλησίαν ἐπετράπη ποιῆσαι, πληροῦν αὐτὴν εἴσω τριετίας· εἰ δὲ ξενῶνα, εἴσω ἐνιαυτοῦ· δυνατὸν γὰρ καὶ οἶκον εἰς ἀνάκλισιν τῶν ἀῤῥώστων μισθοῦσθαι, ἕως οὗ τὸ ἔργον πληρωθῇ. Τοῦ δὲ τοιούτου χρόνου παρερχομένου, ἀπαιτεῖ τὸ καταλειφθὲν ὁ ἐπίσκοπος μετὰ καρπῶν καὶ αὐξήσεων ἀπὸ τοῦ καιροῦ τῆς τοῦ διαθεμένου τελευτῆς, καὶ ποιεῖται τὰς οἰκοδομὰς τῶν ἐκκλησιῶν καὶ τῶν ξενώνων, ἢ τῶν γεροκομείων, ἢ ὀρφανοτροφείων, ἢ νοσοκομείων, ἢ πτωχείων, καὶ προχειρίζεται τοὺς διοικητὰς αὐτῶν· εἴ γε μὴ ῥητῶς ὁ τελευτήσας εἶπε τὸν ὀφείλοντα διοικεῖν· εἰ καὶ ὠνόμασεν, ἄδειαν ὁ ἐπίσκοπος ἔχει κακῶς αὐτὸν διαγινόμενον, ἀποκινεῖν, καὶ ποιεῖν ἄλλον. Εἰ δὲ ὁ κελευσθεὶς καὶ παρὰ τοῦ ἐπισκόπου ὀχληθεὶς, ἀρχικὴν ὑπόμνησιν ἀναμείνῃ, δίδωσι διπλοῦν τὸ καταλειφθέν· ῥᾳθυμοῦντος δὲ τοῦ ἐπισκόπου, ἀναγκάζει πληρωθῆναι τὸ διὰ

Digitized by Google Распознавание текста ABBYY FR

τυπωθὲν ὁ μητροπολίτης, ἢ ὁ τῆς διοικήσεως ἐκείνης ἀρχιεπίσκοπος, καὶ πᾶς βουλόμενος τῶν πολιτῶν κινεῖ. Εἰ δὲ μετὰ τὴν ἰδίαν τελευτὴν, οἱ κληρονόμοι ἐκελεύσθησαν δοῦναι ἢ ποιῆσαι, ὁ προδηλούμενος χρόνος μετὰ τὴν ἀποδίωσιν αὐτῶν ἀριθμεῖται, οἱ δὲ ἄρχοντες ἀναγκάζουσι ταῦτα πληροῦσθαι.

A [ipsum] quod relictum est, duplicatum dare : si episcopus negligentius agat, metropolitanum, aut tractus istius archiepiscopum, ut quod præceptum est adimpleatur, cogere, et quemcunque civium [posse quæstionem] movere: si post mortem suam hæredes aliquid dare aut facere jussi fuerint, præ-

dictum tempus post illorum decessum computari : cogere [debere.]

[denique], ut hæc impleantur, [ipsos] magistratus

Ἡ γ' διάτ. τοῦ α' τίτ. τῶν Νεαρῶν φησὶ διὰ δημοσίων προσώπων δὶς ὀχλούμενον τὸν κελευσθέντα παρὰ τοῦ ἐπισκόπου καὶ τοῦ οἰκονόμου, καὶ ὑπερθέμενον, ἐκπίπτειν παντὸς κέρδους · καὶ τὴν οὐσίαν πᾶσαν μετὰ τῶν ἐν μέσῳ ἐπαυξήσεων ὁ ἐπίσκοπος δαπανᾷ εἰς τὰ διατυπωθέντα, μὴ παρακρατουμένου φαλκιδίου. Τὸ αὐτό ἐστι, κἂν προσάπαξ τι ληγατευθῇ. Ἡ δὲ γ' διάτ. τοῦ β' τίτ. τῶν Νεαρῶν φησὶν, εἴσω ἓξ μηνῶν μετὰ τὴν ἐμφάνειάν τῆς διαθήκης ἐξ ὑπερθέσεως, καρπούς καὶ τόκους καὶ ἐπαυξήσεις ἀπὸ τελευτῆς τοῦ καταλιπόντος ἀπαιτεῖσθαι. Ἡ δὲ γ' διάτ. τοῦ β' τίτ. τοῦ αὐτοῦ τῶν Νεαρῶν συντάγματος φησὶν, εἴσω πενταετίας τὴν ἐκκλησίαν ὀφείλειν πληροῦσθαι · τοὺς δὲ ἄλλους εὐαγεῖς οἴκους, εἴσω ἐνιαυτοῦ. Εἰ δὲ μὴ ἐντὸς τοῦ ἐνιαυτοῦ ποιήσουσιν οἱ κληρονόμοι, ἀναγκαζέσθωσαν οἶκον ἀγοράζειν ἢ μισθοῦσθαι, ἔνθα δύναται τὰ κελευσθέντα πληροῦσθαι. Τὰ δὲ περὶ τῆς διοικήσεως ὁμοίως τῇ προλαβούσῃ διατυποῖ.

B

Λέγει δὲ βιβλ. α' τῶν διγέστων τίτ. ν' βιβλ. ι' καὶ α', ὅτι τὰ ἱερὰ θείου δικαίου εἰσὶ, καὶ ὑπ' οὐδενὸς δεσπόζονται· ἱερὸν δὲ πρᾶγμά ἐστι, τὸ ἀνιερωθὲν δημοσίᾳ. Τὰ γὰρ ἰδιωτικὰ οὐκ εἰσὶν ἱερὰ, ἀλλὰ βέβηλα· εἰ δὲ καταπέσῃ τὸ οἰκοδόμημα, μένει ὁ τόπος ἱερὸς, ὡς βιβλ. δίγ. ς' · καθιεροῦνται δὲ καὶ ἐν πόλεσι καὶ ἐν χωρίοις. Δημόσιος δὲ τόπος παρὰ κέλευσιν βασιλέως, οὐ γίνεται ἱερὸς, ὡς δίγεστον η' καὶ θ' · ἀδιατίμητον δέ ἐστι τὸ ἱερὸν, ὡς δίγεστον ι' · καὶ Ἰνστιτουτιώνων βιβλ. τίτ. α' φησὶν, ὅτι ἱερόν ἐστι, τὸ ὀρθῶς καὶ διὰ τοῦ ἱερέως τῷ Θεῷ ἀνιερωμένον · ὡς οἱ ναοὶ καὶ τὰ σκεύη · καὶ τοῦ ναοῦ καταπεσόντος, μένει ὁ τόπος ἱερός. Οὐκ ἔστι δὲ ἱερὸν, ὅπερ τις κατ' οἰκείαν αὐθεντίαν ὡς ἱερὸν ποιήσει· καὶ τίτ. ς' · ὅτι οὐ κτᾶται τις τὰ ἱερὰ διὰ τῆς χρονίας νομῆς · οὔτε ἰσχυρῶς τις ἐπερωτᾷ λαβεῖν ἱερὸν, Ἰνστιτουτιώνων ιγ' τίτ. ιε' καὶ τίτ. κγ' · ὅτι οὐδεὶς ἐν εἰδήσει ἀγοράζει ἱερόν· εἰ δὲ ἀπατηθεὶς ἠγόρασεν ὡς ἰδιωτικὸν, κινεῖ ἐπὶ τῷ διαφέροντι · καὶ Ἰνστιτουτιώνων ιδ' τίτ. ιε', ὅτι ἐπιβλέπουσι τὰ ἱερὰ καὶ παρασκευάζουσιν αὐτὰ φιλοκαλεῖσθαι. Βιβλ. β', τίτ. ιδ', βιβλ. ις', ξ' · οὐ καλῶς τις πακτεύει μὴ καθιεροῦν τὸν ἴδιον τόπον · βιβλ. ς', τίτ. α', δίγεστον κγ' · τὰ ἱερὰ ὡς ἡμέτερα ἐκδικεῖν οὐ δυνάμεθα · βιβλ. η', τίτ. α', βιβλ. ις', ιδ' · ἱεροῦ τόπου παρεντιθεμένου, καὶ ἡ δι' αὐτοῦ πάροδος εἰς ἰδιωτικὸν ἐμποδίζεται · δουλεία γὰρ ᾧ συνίσταται διὰ τοῦ τοιούτου τόπου · βιβλ. ια', τίτ. ζ', βιβλ. ις', λς' · τὰ ἱερὰ γινόμενα ὑπὸ τοὺς πολεμίους, παύονται εἶναι ἱερά· ὥσπερ ὁ ἐλεύθερος δουλωθείς· ἀπολυθέντα δὲ τῆς συμφορᾶς, ἀναλαμβάνουσι τὴν προτέραν κατάστασιν· καὶ βιβλ. ιζ', τιτ. β', βιβλ. ις', ξγ' · ὅτι ἐὰν ἀνιερωθῇ τὸ κοινὸν πρᾶγμα, λύεται ἡ ἐπ' αὐτῷ κοινωνία. Βιβλ. ιη', τίτ. α', βιβλ. ις', ε', ς'.

C

D

Textus. Const. 3, tit. 1 Novellarum ait [aliquid facere aut dare] jussum, si ab episcopo et œconomo per publicas personas bis admonitus adhuc differt, ab omni lucro excidere, et episcopum omnem substantiam cum medii temporis accessionibus, non retenta [ab illo] falcidia, in quæ constitutum est insumere : et si universaliter quippiam legetur, idem esse. Eadem const. 3, tit. 2 Novellarum ait, intra sex menses post aperturam testamenti [relictis non datis], propter dilationem fructus, usuras atque accessiones a morte ejus qui reliquit, exigi. Eadem const. 3, tit. 2 Novellarum ait, intra quinquennium ecclesiam debere perfici : alias venerabiles domus intra annum. Si vero intra annum hæredes [eas] non fecerint [ipsos] cogi domum [aliquam aut] emere aut conducere, ubi jussa queant exsequi. Procurationem autem perinde atque præmissa const. instituit.

109 *Textus.* Lib, vero I, digest. tit. 50, lib. II, dicit, res sacras divini juris, ac in nullius bonis esse. Res autem sacra est, quæ publice consecrata est. Nam quæ hominum privatorum sunt, non sacra sunt, sed profana. Si vero ædificium [sacrum] collapsum fuerit, locus sacer manet, ut digesto 6. Consecrantur vero [loca] et civitatibus et in agris. Locus publicus citra jussum principis non fit sacer, ut digesto 8, et 9. Res sacra non recipit æstimationem, ut digesto 10. Et [lib.] Instit. II, tit. 1 : Sacræ (inquit) res sunt, quæ rite per pontifices Deo consecratæ sunt : veluti ædes sacræ, et vasa. Et ædibus sacris dirutis, manet locus sacer. Non est autem sacrum, quod quispiam sua auctoritate quasi sacrum constituerit. Et tit. 9, neminem possessionis suffragio res sacras usucapere. Nemo utiliter res sacras stipulatur, ut Instit. 3, tit. 19 Et tit. 23 : Nemo sciens [recte] emit rem sacram. Si vero deceptus emit quasi privatam, agit ad id quod interest. Et Inst. IV, tit. 15, in [loco] sacro ædificare prohibemur. Lib. [dig.] I, tit. 16, dig. 7 : Magistratus ædes sacras inspiciunt, ac ornandas curant. Lib. II, tit. 14, digest. 60. Non recte quis paciscitur, ne locum suum dedicet. Lib. VI, tit. 23 : [Loca] sacra, quasi nostra, in rem actione petere non possumus. Lib. VIII, tit. 1, dig. 14: Sacro loco interveniente, iter per ipsum in privatum [locum] impeditur. Servitus enim per istiusmodi locum non consistit. Lib. XI tit. 7, lib XVI, digest. 36: Loca sacra ab hostibus capta desinunt esse sacra, sicut [homo] liber in servitutem pertractus. Ab [hac] calamitate liberata pristinum statum recipiunt. Lib. XVII, tit. 2, lib. XVI, digest.

Digitized by Google Распознавание текста ABKAER

63. Si res communis consecrata fuerit, in illa societas solvitur. Lib. XVIII, tit. 1, digest. 5, 6, 110 62 : Sacræ rei emptio consistit, si illam sacram esse emptor ignoret : habetque adversus venditorem [actionem] quanti ejus interfuit, ne [ea res] vindicaretur. Si vero sciat emptor, non consistit venditio. Et digest. 73, ejusdem tit : Ædes sacra diruta, locus non fit sacer : unde neque vænire potest.

Textus. Et lib. 24, tit. 1, dist. 16, 5. Recte dono uxori meæ locum, ut in ipso ædem sacram faciat, atque locus fit sacer. Lib. XXVII, tit. 10, digest. 12 : Furiosi curator rem ejus dedicare non potest. Lib. 30, digest. 39 : Qui rem sacram legat, furere videtur : neque æstimato [ejus] præstatur ; quoniam nullo prorsus modo distrahitur. Lib. XXIX, tit. 1 ; digest. 1 : Novi operis nuntiatio locum habet, ne contra leges in sacro loco opus fiat. Tit. 3, digest. 17 : Sacro loco interveniente servitus [non] consistit. Lib. XLI, tit. 2, digest. 31 : Desinimus possidere locum, ubi ille sacer factus est : tametsi non ut talem, sed ut privatum eum habemus. Tit. 3, digest. 9 : Res sacras non acquirimus per longi temporis possessionem. Lib. XLIII, tit. 1 et 2 : Non debet aliquid fieri in sacro loco, et quod factum est, restituitur. Tit. 6 ejusdem lib. Digest. 1 Non licet aliquid facere in loco sacro, in eum vel immittere, quod deformitatem illi, et non ornamentum afferat. Hoc autem ad privata sacra non pertinet. Plane cura sacrorum locorum mandata est his qui illis præsunt. Tit. 8, digest. 2 : Non licet in loco sacro ædificare : sed et quod ædificatum est, diruitur. Lib. XLIV, tit. 6, digest. 3 : Non licet rem litigiosam Deo dedicare : et qui hoc fecerit, præstat duplum adversario, eo quod adversario traditus sit illo potentiori.

Textus. Lib. XLV, tit. 1 digest. 38 : Recte 111 abs te stipulor, ut ædem sacram ædifices. Et in istius modi [re] locatio valet. Digestum 83 : Rem sacram stipulari non possumus, quamvis profana fieri possit. Non tametsi locum profanum promisero, illumque citra dolum meum consecrari contingat, liberor : nec si locus rursus lege aliqua sacer esse cœperit, in obligationem revocor. Neque rem sacram stipulari possum sub conditione, quando profana esse cœperit. Illa enim [dum taxat] stipulari possumus, quæ tempore stipulationis subjici usibus dominioque nostro possunt. Digest. 91 : Si res in stipulationem deducta in rebus humanis sit, sed dari non possit, quod forte sacra facta sit : et vero tempore stipulationis vel postea promissoriis [illa] fuerit, et deinde sacra facta sit, tenetur [promissor] : quemadmodum etiam, quando [res ab ipso] alienata per alium sacra facta est. Si vero res aliena fuerit, et ab alio eam sacram fieri contigerit, non tenetur promissor : nisi posteaquam moram fecit, res sacra facta fuerit. Dig. 137 : Inutiliter stipulor sub conditione, quæ a lege prohibita est : ut : *Dabis, si quis rem sacram vendiderit.* Tametsi fieri possit, ut postmodum ejus jus mutetur.

A ξβ' · τοῦ ἱεροῦ πράγματος ἀγορασία συνίσταται, ἐὰν ἀγνοῇ ὁ ἀγοραστὴς ἱερὸν αὐτὸ εἶναι, καὶ ἔχει κατὰ τοῦ πράτου, εἰς ὅσον αὐτῷ διέφερε μὴ ἐκπατηθῆναι · εἰ δὲ γινώσκει ὁ ἀγοραστής, οὐ συνίσταται ἡ πρᾶσις. Βιβλ. ζ', σγ', τοῦ αὐτοῦ τίτ. τοῦ ἱεροῦ πεσόντος ὁ τόπος οὐ γίνηται βέβηλος · ὅθεν οὐδὲ πωλεῖται. Βιβλ. κδ', τίτ. α' δίγεστον ις', ε' · καλῶς διαφοῦμαι τῇ γαμετῇ μου τόπον ἐφ' ᾧ ποιῆσαι ναὸν ἐν αὐτῷ, καὶ γίνεται ὁ τόπος ἱερός.

Βιβλ. κζ', τίτ. ι', δίγ. ιβ' · ὁ τοῦ μαινομένου κουράτωρ οὐ δύναται πρᾶγμα αὐτοῦ καθιεροῦν · βιβλ. λ', δίγ. λθ' · ὁ ἱερὸν ληγατεύων, μαίνεσθαι δοκεῖ, καὶ οὔτε τὸ τίμημα δίδοται, ἐπειδὴ οὐδὲ ὅλως πωλεῖται. Βιβλ. λθ', τίτ. α', δίγ. α' · ἡ περὶ τῆς καινοτομίας παραγγελία, χώραν ἔχει, ἵνα μὴ γένηται παρὰ τὸν νόμον ἔργον ἐν ἱερῷ τόπῳ · τίτ. γ', βιβλ. ις', ιζ' · ἱεροῦ τόπου παρεντιθεμένου, δουλεία οὐ συνίσταται. Βιβλ. μα', τίτ. β', βιβλ. ις', λα' · παυόμεθα νέμεσθαι τόπον, γινομένου αὐτου ἱεροῦ, κἂν μὴ ὡς τοιοῦτον ἀλλ' ὡς ἰδιωτικὸν αὐτὸν ἔχωμεν · τίτ. γ', βιβλ. ις', θ' · τὰ ἱερὰ οὐ κτώμεθα διὰ τῆς χρονίας νομῆς. Βιβλ. μγ', τίτ. α', βιβλ. ις', α', β' · οὐ δεῖ γίνεσθαι τι κατὰ ἱεροῦ τόπου, καὶ γενόμενον ἀποκαθίσταται · τίτ. ς' τοῦ αὐτοῦ βιβλίου, βιβλ. ις', α' · οὐκ ἔξεστι τι ποιεῖν ἢ ἐμβάλλειν ἱερῷ τόπῳ, ὅπερ ἀμορφίαν καὶ οὐ κόσμον αὐτῳ φέρει · τουτο δὲ πρὸς τὰ ἱερὰ οὐκ ἀνήκει τὰ ἰδιωτικά · ἡ δὲ φυλακὴ τῶν ἱερῶν τοῖς προεστῶσιν αὐτῶν ἐπιτέτραπται · τίτ. η', βιβλ. ις', β' · οὐκ ἔξεστι κατὰ τόπου ἱεροῦ κτίζειν, ἀλλὰ καὶ τὸ κτισθὲν καταλύεται. Βιβλ. μδ', τίτ. ς', βιβλ. ις', γ' · οὐκ ἔξεστι τὸ ἐπίδικον τῷ Θεῷ καθιεροῦν · καὶ ὁ τοῦτο ποιήσας, δίδωσι τὸ διπλοῦν τῷ ἀντιδίκῳ αὐτοῦ, ὑπὲρ ὧν δυνατοτέρῳ αὐτοῦ ἀντιδίκῳ παρεδόθη.

Βιβλ. με', τίτ. α', βιβλ. ις', λη' · καλῶς ἐπερωτῶ σε κτίσαι ἱερόν · καὶ ἡ ἐπὶ τῷ τοιούτῳ γὰρ μίσθωσις ἔῤῥωται. Βιβλ. ις', πγ' · οὐ δυνατὸν ἱερὸν ἐπερωτᾶν, κἂν εἰ δύναται γενέσθαι ἰδιωτικόν · εἰ γὰρ καὶ ἰδιωτικὸν ἐπερωτηθῶ τόπον, καὶ συμβῇ αὐτὸν χωρὶς δόλου μου καθιερωθῆναι ἐλευθεροῦμαι · καὶ εἰ συμβῇ ἔκ τινος νόμου γενέσθαι ἰδιωτικὸν τὸν τόπον, οὐκ ἐνέχομαι. Οὐ δύναμαι δὲ ἱερὸν ἐπερωτᾶν ὑπὸ αἵρεσιν τὴν ὅταν ἰδιωτικὸν γένηται · ἐκεῖνα γὰρ ἐπερωτᾶν δυνάμεθα, ὅσα κατὰ τὸν καιρὸν τῆς ἐπερωτήσεως, τῆς χρήσεως καὶ τῆς δεσποτείας ἡμῶν εἶναι δύναται. Βιβλ. ις', ξα' · ἐὰν τὸ ἐπερωτηθὲν πρᾶγμα ἔστι μὲν ἐν φύσει, οὐ δύναται δὲ δοθῆναι διὰ τὸ τυχὸν αὐτὸ γενέσθαι ἱερὸν, εἰ μὲν ἐν καιρῷ τῆς ἐπερωτήσεως, ἦ μετὰ ταῦτα, τοῦ ἐπερωτηθέντος ἦν, καὶ οὕτως γέγονεν ἱερὸν, ἐνέχεται · ὥσπερ καὶ ὅτε δι' ἑτέρου πωλήσαντος, αὐτὸ γέγονεν ἱερόν. Εἰ δὲ τοῦ πράγματος ὄντος ἀλλοτρίου, συμβῇ δι' ἑτέρου αὐτὸ ἱερὸν γενέσθαι, οὐκ ἐνέχεται ὁ ἐπερωτηθείς, εἰ μὴ μετὰ τὸ ποιῆσαι αὐτὸν ὑπέρθεσιν, γέγονε τὸ πρᾶγμα ἱερὸν. Βιβλ. ις', ρλζ' · ἀνισχυρῶς ἐπερωτῶ ὑπὸ αἵρεσιν ὑπὸ τοῦ νόμου κεκωλυμένην · οἷον δίδως ἐάν τις πωλήσῃ τὸ ἱερὸν, εἰ καὶ μὴ δυνατόν ἐστιν ὕστερον ἐναλλαγῆναι τὸ δίκαιον αὐτοῦ.

Digitized by Google Распознавание текста ABK/FR

Βιβλ. μζ', τίτ. κβ', βιβλ. ις', β'· οἱ οὖν ὅπλοις κατ- A
ἔχοντες τόπον ἱερὸν, ὑπόκεινται ποινῇ· κινεῖται γὰρ
κατ' αὐτῶν ὁ περὶ καθοσιώσεως, ὡς βιβλ. μή', τίτ.
ιδ', βιβλ. ις', α', βιβλ. ν', τίτ. ις', ιζ'. τὰ ἱερὰ
οὐκ εἰσὶ δημόσια.

Βιβλ. λγ', τίτ. α', δίγ. καὶ κ', ἐὰν ληγατεύσω τοῖς
ἱεροφύλαξι δέκα νομίσματα δίδοσθαι τῷ καιρῷ τῆς ἑορ-
τῆς, αὐτῷ τῷ ἱερῷ δοκῶ διηνεκῶς τὰ ι' καταλιπεῖν ἐτή-
σια. Βιβλ. λδ' τίτ. α' δίγ. ιζ'· Ἐὰν ἀφορίσας δούλους μου
εἰς παραφυλακὴν τοῦ παρ' ἐμοῦ κτιζομένου ἱεροῦ,
ληγατεύσω αὐτοῖς ἐτήσια πρὸς ἀποτροφὴν, καὶ βε-
στιάριον λαμβάνουσιν ἀπὸ τελευτῆς μου μέχρις οὗ
πληρωθῇ ὁ ναὸς, δοῦλοι δὲ μένουσι τοῦ κληρονόμου,
οὓς ὁ διαθέμενος εἰς περιφυλακὴν τοῦ αὐτοῦ κτι-
σθέντος ἱεροῦ ἀφώρισεν, εἰ μὴ αὐτοὺς ἠλευθέρωσεν,
ὡς βιβλ. μ', τίτ. ιβ', δίγ. λε', βιβλ. κδ', τίτ. α', διγ. ε'· B
καλῶς δωροῦμαι τῇ γαμετῇ μου πρᾶγμα, ἐφ' ᾧ τῷ
Θεῷ προσαγαγεῖν αὐτό. Βιβλ. λδ', τίτ. β'. δίγ. λζ'·
Ἐὰν εἴπω γενέσθαι σταυροὺς ἀπὸ ἑκατὸν λιτρῶν, καὶ
ἀνατεθῆναι ἐν τῷδε τῷ ἱερῷ, πάντες δὲ οἱ ἐν τῷ
αὐτῷ ἱερῷ ὄντες, ἀργυροῖ καὶ χαλκοῖ εἰσιν, ἀργυροῦς
ὁ κληρονόμος ἀναγκάζεται ποιεῖν.

Βιβλ. λε', τίτ. δ', δίγ. α', καὶ ἐπὶ τοῖς τῷ Θεῷ ληγατευο-
μένοις χώρα τῷ φαλκιδίῳ. βιβλ. ν', τίτ. ιβ', δίγ. β'. Ἐάν
τις πρᾶγμα καρποφορήσῃ, γίνεται αὐτὸς ἔνοχος, οὐ μὴν
τὸ πρᾶγμα· ὅτε δὲ τὸ πρᾶγμα καταβληθῇ, αὐτὸ μὲν
ἱερὸν οὐ γίνεται, ἐλευθεροῦται δὲ ὁ ἐπαγγειλάμενος·
ἐκ δὲ τῆς τοιαύτης ἐπαγγελίας ἐνέχονται αὐτεξούσιοι
ἔρηβοι, οὐ μὴν ὑπεξούσιοι παρὰ γνώμην τῶν πατέ-
ρων ἢ τῶν δεσποτῶν. Εἰ δέ τις τὸ δέκατον μέρος
καρποφορήσει τῶν αὐτοῦ πραγμάτων, ἕως ἂν αὐτὸ C
χωρίσῃ, οὐ παύεται εἶναι τῆς οὐσίας αὐτοῦ· εἰ δὲ
τελευτήσει μὴ χωρίσας, ἐνέχονται οἱ κληρονομοι·
διαβαίνει γὰρ εἰς κληρονόμους ἡ τῆς καρποφορίας
ἐνοχή. Βιβλ. κ' τοῦ κώδ., τίτ. β', διάτ. α'· ἔξεστι τῷ
βουλομένῳ καταλιμπάνειν ἐν τελευταίᾳ βουλήσει·
τῆς ἁγίας Ἐκκλησίας γὰρ εἶναι δεῖ τὰς τῶν τελευ-
τώντων βουλήσεις· διάτ. ιγ'. ἐῤῥωμένη διαθήκη ἢ
κωδικέλλῳ ἢ ἀγράφῳ βουλήσει, ἔξεστι ταῖς χήραις
καὶ ταῖς διακονίσσαις, καὶ ταῖς ἄλλαις ἱεραῖς κατα-
λιμπάνειν ἐκκλησίαις· καὶ κληρικῷ καὶ μοναχῷ καὶ
πτωχῷ ἐν ἐνστάσει καὶ ὑποκαταστάσει. καὶ ληγάτοις
καὶ φειδιλομμίσσοις ἰδικοῖς καὶ καθ' ὁμάδα.

Διάτ. ιθ'. αἱ γινόμεναι μέχρι φ' σολίδων ἀνεμφάνιστοι
δωρεαὶ εἰς ἐκκλησίαν, ἢ ξενοδοχεῖον, ἢ νοσοκομεῖον, ἢ
ὀρφανοτροφεῖον, ἢ πτωχεῖον, ἐῤῥώνται. Αἱ δὲ λοιπαὶ, D
κἂν εἰς εὐσεβεῖς αἰτίας γένωνται, χρῄζουσιν ἐμφα-
νείας· καὶ αἱ λεχθεῖσαι ὑπὲρ τοὺς φ' φόλεις οὖσαι
ἐξῃρημένων τῶν βασιλικῶν δωρεῶν· διάτ. κβ'.

Τὰ εἰς εὐαγεῖς οἴκους ἀπὸ βουλευτικῆς φιλοτιμίας
ἐρχόμενα, οὐχ ὑπόκεινται τῇ τῶν ἐπικειρῶν δια-
γραφῇ· διάτ. κγ'. Ἐάν τι δωρηθῇ, ἢ κληρονομίᾳ, ἢ
ληγάτον εὐαγεῖ τόπῳ καταλειφθῇ, εἰς ἀνάῤῥυσιν
αἰχμαλώτων, κινητὸν ἢ ἀκίνητον, ἁρμόζουσιν *perso-*
nalia καὶ *in rem* καὶ ὑποθηκαρίαι, καὶ μόνῃ τῇ τῶν
ἑκατὸν ἐνιαυτῶν ἐκβάλλοννοι παραγραφῇ· οὗτος γὰρ
ὁ χρόνος ἐστὶ τοῦ μακροβίου ἀνθρώπου· διάτ. κε'.

Textus. Lib. XLVII, tit. 32, et lib. XLVIII, tit. 4, digest. 1: Qui cum armis locum sacrum occupant, obnoxii pœnæ sunt. Movetur enim adversus ipsos lex [Julia] majestatis. Lib. L, tit. 16, digest. 17: Sacra non sunt publica.

Textus. Lib. XXXIII, tit. 1, digest. 20: Si legavero sacrarum rerum custodibus denaria decem, [ita] ut dentur die festo: videor decem denaria annua relinquere. Lib. XXXIV, tit. 1, digest. 17: Si servis meis ad custodiam templi a me ædificandi destinatis, legavero annua cibaria et 112 vestiaria: capiunt [illi ista] a morte mea, tantisper dum templum consummatum sit. Servi tamen, quod testator ad templi a se ædificandi custodiam destinavit, nisi ipsos manumisit, hæredis manent: ut lib. XL, tit. 12, dig. 35. Lib. XXIV, tit. I, dig. 5: Recte dono uxori meæ rem, quam Deo offerat. Lib. XXXIV, tit, 2, digest. 37: Si dixerim, ut fiant cruces ex centum libris, et in illa sacra æde statuantur: ac vero quæ in ea [cruces] sunt omnes argenteæ et æreæ sint: argenteas facere hæres cogetur.

Textus. Lib. XXXV, tit. 2, digest. 1: In iis quæ Deo legata sunt, locutus [est] Falcidiæ. Lib. L, tit. 12, digest. 2: Si quis rem [aliquam] voverit, ipse obligatur, non autem res. Quando vero res solvitur, ipsa sacra non efficitur, sed promissori liberatur. Ex tali autem promissione sui juris puberes obligantur, non autem alienæ potestati obnoxii sine patris dominive auctoritate. Si decimam quis bonorum voveat, non prius [illa] in ejus bonis esse desinit, quam ipsam separet: si vero ea nondum separata decesserit, obstringuntur hæredes ejus. Voti enim obligatio ad hæredes transit. Lib. I, cod. tit. 2, const. 1: Licet unicuique in suprema voluntate sanctis ecclesiis relinquere. Firmas enim morientium voluntates esse oportet. Const. 13: Licet viduis, diaconissis, virginibus Deo dicatis, sanctimonialibus, et aliis religiosis [feminis], ut vel justo testamento, vel codicillo, vel voluntate non scripta, sive institutione, sive substitutione, sive legato, vel fideicommisso, seu speciali seu universali, [aliquid] relinquant ecclesiis, clericis, monachis, aut pauperibus.

Textus. Const. 19. Quæ donationes 113 citra actorum confectionem usque ad quingentos solidos in ecclesiam, xenodochium, nosocomium, orphanotrophium, vel ptochium fiunt, valent. Reliquæ vero, tametsi in pias causas fiant, quæque amplioris quingentis solidis quantitatis esse dicuntur, exceptis imperialibus donatione opus habent. Const. 22.

Quæ ex liberalitate curialis ad venerabiles domus perveniunt, a lucratitiorum inscriptionibus immunia sunt. Const. 23. Si quid donatum, aut hæreditas legatumve rerum mobilium vel immobilium in redemptionem captivorum venerabili [cuipiam] loco relictum sit, [actio] personalis, in rem, et hypothecaria competit, et sola centum annorum præscriptione [qui horum quippiam vindi-

Digitized by Google Распознавание текста ABKAER

cant] rejiciuntur. Hoc enim tempus diuturnæ vitæ hominis est. Const. 25. Si quis Christum Dominum hæredem scripserit, neque oratorii appellationem addiderit: ecclesia loci, in quo defunctus habitabat, scripta videtur. Idem etiam in legato. Procedit autem [quod relinquitur] in alimoniam pauperum. Si vero cuipiam sanctorum angelorum aut martyrum reliquerit, neque mentionem fecerit domuum: [tum] si quidem in illa civitate ejusve territorio istiusmodi domus sit, illa capit: sin minus, [ædes sacra] quæ in metropoli est, accipit. At si neque illic istiusmodi ædes sit, loci ecclesiæ, illis aliis sacris ædibus cedentibus, ista capiunt: si modo defunctum non aliud cogitasse, ac aliud locutum esse ostendatur. Tunc enim quod verum, non autem quod scriptum est, obtinet. Cæterum si certum locum dixerit, inveniantur autem in civitate, sive 114 vicinis locis multa ejusdem nominis: tum si erga horum quempiam majorem affectionem habuerit, sæpiusve accesserit, illi reliquisse videtur. Verum si tale nihil inveniatur; quæ ex istiusmodi ædibus magis indiget, accipit relictum.

Textus. Et tit. 3 ejusdem lib. const. 24, ait, ratum firmumque esse, quod pauperibus relinquitur. Const. 28 ejusdem tit. Valet. quod in redemptionem captivorum relinquitur. Et si quidem testator dixerit, quis [isti] rei operam navare debeat: is exigit, et pro sua conscientia statutum adimplet. Sin autem personam non dixerit, [illius] civitatis, in qua testator natus est, episcopus relictum percipit: dono apud præsidem in acta referendo datarum sibi pecuniarum quantitatem, ac post annum redemptorum numerum et data pro his [pretia] manifesta facturus. Quod si testator barbaræ nationis fuerit, et de ejus patria aliqua ambiguitas emerserit, episcopus loci in quo defunctus est, pecunias accipit, et quod præscriptum est adimplet. Qui vero [aliquid] relictum [esse] scit, recte facit, si [id] rectori provinciæ et episcopo dicat, neque [idcirco delator efficitur. Const. 3, tit. 2, Novellarum dicit, [illius] civitatis, in quo testator domicilium habuit, episcopum pecunias capere, et quæ constituta sunt facere. Const. 45. Si annum [idque] perpetuum legatum aut munus vel venerabilibus locis, vel clero, vel monachis, vel sanctimonialibus, vel pauperibus, vel breviter venerabilibus et non prohibitis collegiis. relictum aut donatum fuerit, non licet de illis transigere: nisi si uber, nullisque publicis [præstationibus] oneratus reditus detur. [Detur] item nunquam alienanda accessio, quæ non minus quadrante puri [integrique] reditus contineat. Opertet autem de his 115 pacta et transactiones scriptas fieri, easque in [actorum] monumenta referri. Si contra hæc factum sit], dato auro qui transactionem fecit, excidit, atque rem venerabilis domus vindicat, hypothecæ nomine res ejus qui reliquit, in fructibus, reditibus, omnique legitima accessione [sibi obstrictas] habens. Neque [vero ejus] actioni longi temporis præscriptio ad-

A Ἐάν τις γράψῃ κληρονόμον τὸν Δεσπότην Χριστὸν, μὴ προσθεὶς εὐκτηρίου προσηγορίαν, ἡ ἐκκλησία τοῦ τόπου, καθ' ὃν ἦν καὶ ὁ τελευτήσας, δοκεῖ γεγράφθαι· τὸ αὐτὸ καὶ ἐπὶ ληγάτου· καὶ προχωρεῖ εἰς ἀποτροφὴν πτωχῶν. Εἰ δέ τιδι τῶν ἁγίων ἀγγέλων ἢ μαρτύρων καταλίποι, μὴ μνημονεύσαι οἴκου, εἰ μὲν ἔστιν ἐν ἐκείνῃ τῇ πόλει, ἢ τῇ ἐνορίᾳ αὐτῆς τοιοῦτος οἶκος, αὐτὸς λαμβάνει· εἰ δὲ μὴ ἔστιν, ὁ ἐν τῇ μητροπόλει λαμβάνει· εἰ δὲ μήτε ἔκεῖ τοιοῦτός ἐστιν οἶκος, αἱ κατὰ τὸν τόπον ἐκκλησίαι λαμβάνουσιν αὐτὸ, τῶν ἄλλων οἴκων παραχωρούντων αὐταῖς, εἴ γε μὴ δειχθῇ ὁ τελευτήσας, ἕτερον ἐνθυμηθεὶς, καὶ ἕτερον εἰπών· τότε γὰρ τὸ ἀληθὲς καὶ οὐ τὸ γεγραμμένον κρατεῖ. Εἰ δὲ τόπον εἴποι ῥητὸν, εὑρεθῶσι δὲ πολλοὶ τοῦ αὐτοῦ ὀνόματος ἐν τῇ πόλει ἢ B τῇ περιοικίδι, εἰ μὲν πρός τινα τούτων εἶχε μείζονα προσπάθειαν, ἢ συνεχῶς ἐκεῖσε ἐφοίτα, αὐτῷ δοκεῖ καταλελεῖφθαι. Τοιούτου δέ τινος μὴ εὑρισκομένου, ὁ μᾶλλον ἐκ τῶν τοιούτων οἴκων ἐνδεὴς λαμβάνει τὸ καταλειφθέν.

Καὶ τίτ. γ' τοῦ αὐτοῦ βιβλ., διάτ. κδ', γησὶν ἐρρῶσθαι τὸ τοῖς πτωχοῖς καταλιμπανόμενον· διάτ'. κη' τοῦ αὐτοῦ τίτλου· Ἔρρωται τὸ καταλιμπανόμενον εἰς ἀνάρρυσιν αἰχμαλώτων· καὶ εἰ μὲν εἶπεν ὁ διαθέμενος τὸν ὀφείλοντα ὑπουργῆσαί τῷ πράγματι, αὐτὸς ἀπαιτεῖ, καὶ κατὰ τὴν οἰκείαν συνείδησιν πληροῖ τῶν διατύπωσιν. Εἰ δὲ μὴ εἶπε τὸ πρόσωπον, ὁ τῆς πόλεως ἐπίσκοπος, ἐν ᾗ ὁ διαθέμενος ἐτέχθη, λαμβάνει τὸ καταλειφθὲν φανερὸν ἐπὶ πράξεως δῶρον C παρὰ τῷ ἄρχοντι συνισταμένης τὸ ποσὸν τῶν δοθέντων αὐτῷ χρημάτων, καὶ μετ' ἐναυτὸν τὸν ἀριθμὸν τῶν ἀναῤῥυσθέντων, καὶ τῶν ὑπὲρ αὐτῶν δοθέντων. Εἰ δὲ βάρβαρος ἦν ὁ διαθέμενος, καὶ περὶ τῆς αὐτοῦ πόλεως ἀμφιβάλλεται, ὁ ἐπίσκοπος τοῦ τόπου, καθ' ὃν ἐτελεύτησε. λαμβάνει τὰ χρήματα καὶ πληροῖ τὸ διατυπωθέν· ὁ δὲ γινώσκων τὸ καταλειφθὲν, καλῶς ποιεῖ λέγων τῷ ἄρχοντι καὶ τῷ ἐπισκόπῳ, καὶ οὐκ ἔστι δηλάτωρ. Ἡ δὲ γ' διάτ. τοῦ β' τίτ. τῶν Νεαρῶν εἶπε τὸν ἐπίσκοπον τῆς πόλεως, ἐν ᾗ τὴν οἴκησιν εἶχεν ὁ διαθέμενος, λαμβάνειν τὰ χρήματα, καὶ ποιεῖν τὰ διατυπωθέντα· διάτ. με'. Ἐὰν ἐτήσιον διηνεκὲς ληγατευθῇ, ἢ δωρηθῇ τόποις εὐαγέσιν, ἢ κλήρῳ, ἢ μοναχοῖς, ἢ μοναστρίαις, ἢ πτωχοῖς, καὶ ἁπλῶς εὐαγέσιν, ἢ οὐκ ἀπηγορευμένοις συστήμασιν, οὐκ ἔξεστιν ἐπ' αὐτῷ διαλύεσθαι, εἰ μὴ δοθῇ πρόσ- D οδος εὐθαλὴς μηδὲ βεβαρημένη δημοσίοις, καὶ προσθήκην οὐχ ἧττον τοῦ τετάρτου τῆς καθαρᾶς προσόδου μέρους ἔχουσα, μηδέποτε ἐκποιηθησομένη· δεῖ δὲ καὶ συνθήκας καὶ διαλύσεις ἐγγράφους ἐπὶ τούτῳ γίνεσθαι, καὶ ἐν ὑπομνήμασιν ἐμφανίζεσθαι. Εἰ δὲ παρὰ ταῦτα ἐκπίπτει τοῦ δοθέντος χρυσίου ὁ διαλυσάμενος, καὶ ἐκδικεῖ τὸ πρᾶγμα ὁ εὐαγὴς οἶκος, ἔχων εἰς ὑποθήκην τὰ πράγματα τοῦ καταλιπόντος, καὶ ἐπὶ καρποῖς καὶ προσόδοις καὶ πάσῃ νομίμῳ ἐπαυξήσει, καὶ οὐκ ἀντίκειται τῇ ἀγωγῇ χρονία παραγραφή· κατ' ἐναυτὸν γὰρ τίκτεται. Τῷ μέντοι δεδωκότι, τὸ χρυσίον, ὑπόκειται ὁ συλλαβὼν αὐτὸ μετὰ

Digitized by Google Распознавание текста ABK/FR

κληρονόμον, καὶ οἴκοθεν αὐτὸ δίδωσιν, ὡς ἡ νε' διάτ. τοῦ αὐτοῦ τίτ.

Τιμοθέου Ἀλεξανδρείας κανὼν ζ'.

Ἐρώτησις. ζ'. Ἐὰν γυνὴ ἴδῃ τὰ καθ' ἕθος τῶν γυναικείων αὐτῆς, εἰ ὀφείλει προσέρχεσθαι τοῖς μυστηρίοις, αὐτῇ τῇ ἡμέρᾳ, ἢ οὔ ;

Ἀπόκρισις. Οὐκ ὀφείλει, ἕως ἂν καθαρισθῇ.

ΚΕΦΑΛ. ΙΘ'. — Περὶ τοῦ μὴ γίνεσθαι ἀναφορὰν, παρόντος αἱρετικοῦ.

Τιμοθέου Ἀλεξανδρείας κανὼν θ'.

Ἐρώτησις θ'. Εἰ ὀφείλει κληρικὸς εὔχεσθαι παρόντων Ἀρειανῶν ἢ ἄλλων αἱρετικῶν ; ἢ εἰ οὐδὲν αὐτὸν βλάπτει ὁπόταν αὐτὸς ποιῇ τὴν εὐχὴν, ἄγων τὴν προσφοράν ;

Ἀπόκρισις. Ἐν τῇ θείᾳ ἀναφορᾷ ὁ διάκονος προσφωνεῖ πρὸ τοῦ ἀσπασμοῦ · Οἱ ἀκοινώνητοι, περιπατήσατε. Οὐκ ὀφείλουσιν οὖν παρεῖναι, εἰ μὴ ἂν ἐπαγγέλλωνται μετανοεῖν, καὶ ἐκφεύγειν τὴν αἵρεσιν.

ΚΕΦΑΛ. Κ'. — Πῶς ὁ ὀνειρασθεὶς κοινωνεῖ.

Διονυσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς κεφ. δ'.

δ' Οἱ δὲ ἐν ἀπροαιρέτῳ νυκτερινῇ ῥύσει γενόμενοι, καὶ οὗτοι τῷ ἰδίῳ συνειδότι κατακολουθείτωσαν · καὶ ἑαυτοῦς, εἴτε διακρίνονται περὶ τοῦτο, εἴτε μή, σκοπείτωσαν. Ὡς γὰρ ἐπὶ τῶν βρωμάτων ὁ διακρινόμενος φησὶν · Ἐὰν φάγῃ, κατακέκριται · οὕτω καὶ ἐν τούτοις εὐσυνείδητος ἔστω καὶ εὐπαρρήσιαστος κατὰ τὸ ἴδιον ἐνθύμιον πᾶς ὁ προσιὼν τῷ Θεῷ.

Τιμοθέου κανὼν ιβ'.

Ἐρώτησις. ιβ'. Ἐὰν ὀνειρασθεὶς λαϊκὸς ἐρωτήσῃ κληρικὸν, τι ὀφειλει ἐπιτρέψαι αὐτῷ κοινωνῆσαι, ἢ οὔ ;

[49] Carthag. 18. [50] Matth. XXVI, 26. [51] Marc. V, 24. [52] Rom. XIV, 23.

Digitized by Google Распознавание текста ABBYY FR

Ἀπόκρισις. Εἰ μὲν ὑπόκειται ἐπιθυμίᾳ γυναικὸς, A οὐκ ὀφείλει· εἰ δὲ ὁ Σατανᾶς περιάζει αὐτὸν ἵνα διὰ τῆς προφάσεως ταύτης ἀλλοτριῶται τῆς κοινωνίας τῶν θείων μυστηρίων, ὀφείλει κοινωνῆσαι· ἐπεὶ οὐ παύεται ὁ πειράζων κατ' ἐκεῖνον τὸν καιρὸν, ὅτε ὀφείλει κοινωνεῖν, ἐπιτιθέμενος αὐτῷ.

ΚΕΦΑΛ. ΚΑ'. — Πότε δεῖ τῆς γαμετῆς διὰ τὴν κοινωνίαν ἀπέχεσθαι.

Διονυσίου ἐν τῇ πρὸς Βασιλείδην ἐπιστολῇ κεφ. γ'.

γ'. Αὐτάρκεις δὲ καὶ οἱ γεγαμηκότες ἑαυτῶν ὀφείλουσιν εἶναι κριταί. Ὅτι γὰρ ἀπέχεσθαι προσῆκον ἀλλήλων ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσωσι τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ὦσιν, ἀκηκόασι Παύλου γράφοντος.

Τιμοθέου κανὼν ε', ιγ'.

Ἐρώτησις. ε'. Ἐὰν γυνὴ συγγένηται μετὰ τοῦ ἀνδρὸς αὐτῆς τὴν νύκτα, ἦγουν ἀνὴρ μετὰ τῆς γυναικὸς, καὶ γένηται σύναξις, εἰ ὀφείλουσι μεταλαβεῖν, ἢ οὔ ; B

Ἀπόκρισις. Οὐκ ὀφείλουσι παραυτά· τοῦ Ἀποστόλου βοῶντος· Μὴ ἀποστερεῖτε ἀλλήλους εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσητε τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν.

Ἐρώτησις. ιγ'. Τοῖς ζευγνυμένοις εἰς γάμου κοινωνιαν, περὶ ποίων ἡμερῶν τῆς ἑβδομάδος παρατίθεσθαι χρὴ, ἀπέχεσθαι τῆς πρὸς ἀλλήλους κοινωνίας, καὶ ποίας ἔχειν ἐπ' ἐξουσίας ;

Ἀπόκρισις. Ὃ προεῖρηκα καὶ νῦν λέγω· ὁ Ἀπόστολος λέγει· Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μήτι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάσητε τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ἦτε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν. Ἐξ ἀνάγκης τὸ Σάββατον καὶ τὴν Κυριακὴν ἀπέχεσθαι δεῖ, διὰ τὸ ἐν αὐταῖς τὴν πνευματικὴν θυσίαν ἀναφέρεσθαι τῷ Θεῷ. C

ΚΕΦΑΛ. ΚΒ'. Πῶς γίνεται προσφορὰ ὑπὲρ τοῦ ἑαυτὸν ἀνελόντος.

Τιμοθέου κανὼν ιδ'.

Ἐρώτησις. ιδ'. Ἐάν τις μὴ ἔχων, ἑαυτὸν χειρώσηται ἢ κρημνίσῃ, εἰ γίνεται προσφορὰ ὑπὲρ αὐτοῦ, ἢ οὔ ;

Ἀπόκρισις. Διακρίναι ὀφείλει ὁ κληρικὸς εἰ τὸ ἀληθὲς, ἐκφρένης ὢν πεποίηκε τοῦτο. Πολλάκις γὰρ οἱ διαφέροντες τῷ πεπονθότι, θέλοντες ἐπιτυχεῖν τῆς προσφορᾶς τῆς ὑπὲρ αὐτοῦ, ψεύδονται καὶ λέγουσιν D ὅτι οὐκ εἶχεν ἑαυτόν. Ἐνίοτε δὲ ἀπὸ ἐπηρείας ἀνθρώπων, ἢ ἄλλως πως ἀπὸ ὀλιγωρίας πεποίηκε τοῦτο, καὶ οὐ χρὴ προσφορὰν ἐπάνω αὐτοῦ γενέσθαι· αὐτοφονευτὴς γὰρ ἑαυτοῦ ἐστι. Δεῖ οὖν πάντως τὸν κληρικὸν μετὰ ἀκριβείας ἀνερευνῆσαι, ἵνα μὴ ὑπὸ κρίματι πέσῃ.

Ὁ πολιτικὸς νόμος τὸν ἑαυτὸν ἀνελόντα, ἢ ἀνελεῖν ἐπιχειρήσαντα διὰ φόβον ἐγκλήματος, οὐ μὴν διὰ νόσον ἢ μῖσος τῆς ζωῆς, τιμωρεῖται ὡς τὸν ἕτερον ἀνελόντα, καὶ δημεύει τὴν οὐσίαν αὐτοῦ· ὡς βιβλ. μη' τίτ. κα', καὶ βιβλ. θ' τοῦ κώδ. τίτ. ν'.

Responsio. Si subest quidem mulieris desiderium, non debet : sin autem tentat eum Satanas, ut per hanc occasionem a divinorum mysteriorum communione alienetur, debet communicare. Neque enim cessabit tentator eo tempore, quando debet communicare, illum invadere.

CAP. XXI. — *Quandonam vel quandiu communionis causa, abstinendum sit ab uxore.*

Dionysii ex epistola ad Basilidem, cap. 3.

3. Porro qui satis ad id instructi sunt et consenuerunt, debent esse sui judices. Quod enim a se invicem ex consensu abstinere conveniat, ut ad tempus vacent orationi, et rursus conveniant, Paulum dicentem audiverant.

Timothei canon 5, 13.

Interrogatio 5. Si uxor cum suo marito noctu cohabitavit, vel maritus cum uxore, et fiat coitio, debentne communicare, an non ?

Responsio. Non debent, cum clamet Apostolus : *Ne fraudate vos invicem, nisi ex consensu ad tempus, ut vacetis orationi ; et rursus, ad idem conveniatis ne tentet vos Satanas propter incontinentiam vestram* [52a].

153 *Interrogatio* 13. Iis, qui matrimonio junguntur, in quibusnam septimanæ diebus proponere oportet, ut a mutuo congressu abstineant, et quibusnam potestatem habeant ?

Responsio. Quod ante dixi, nunc quoque dico. Dicit Apostolus : *Ne fraudate vos invicem, nisi forte ex consensu ad tempus ; ut vacetis orationi ; et rursus ad idem conveniatis, ne vos tentet Satanas propter incontinentiam vestrum.* Necessario autem Sabbato et die Dominico abstinere oportet, quod spirituale sacrificium in eis Domino offeratur.

CAP. XXII. — *Utrum oblatio fiat pro eo qui semet interemit.*

Timothei canon 14.

Interrogatio 14. Si quis, cum sui compos non est, sibi manum attulerit, vel etiam se præcipitaverit, sitne oblatio, an non ?

Responsio. Hoc debet clericus discernere, an cum revera mentis compos non esset, hoc fecerit. Sæpe enim ii, qui ad eum cui hoc accidit pertinent, volentes assequi oblationem et orationem pro ipso, mentiuntur, et dicunt eum non fuisse apud se : nonnunquam autem propter insultationem hominum, vel aliquo alio modo per negligentiam hoc fecisse. Pro hujusmodi oblatio non est facienda : est enim sui homicida. Oportet ergo clericum accurate sciscitari, ne in judicium incidat.

Textus. Lex civilis eum qui sibi mortem conscivit, aut consciscere conatus est [idque] metu criminis, non autem propter morbum aut tædium 154 vitæ, punit, ut qui alium interfecit, ejusque bona confiscat : quemadmodum lib. XLVIII, tit. 21, lib. IX, cod. tit. 50.

52a I Cor. VII, 5.

Digitized by Google Распознавание текста ABK/FR

ΤΙΤΛΟΣ Δ'.

ΠΕΡΙ ΚΑΤΗΧΟΥΜΕΝΩΝ ΚΑΙ ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ.

—

TITULUS IV.

DE CATECHUMENIS ET DE SANCTO BAPTISMATE.

—

CAPUT PRIMUM. — *Non oportere post duas* A *Quadragesimæ hebdomadas quemquam ad baptismum admittere.*

Concilii Laodiceni canon 45.

45. Quod non oporteat ad baptisma quemquam post duas Quadragesimæ hebdomadas admitti.

CAP. II. — *De adjurantibus.*

Concilii Laodiceni canon 26.

26. Quod hi qui non sunt ab episcopis ordinati, tam in ecclesiis quam in domibus exorcizare non possint.

CAP. III. — *Quomodo oporteat baptizare.*

Apostolorum canones 49, 50.

49 [48]. Si quis episcopus, vel presbyter etc., *ut supra pag.* 442.

1156 50 [49]. Si quis episcopus vel presbyter B non tria unius mysterii baptismata, etc., *ut supra, pag.* 442,

Concilii œcumenici VI *canon* 59.

59. In æde oratoria, etc., *ut pag.* 617.

CAP. IV. — *Quod oportet baptizatos fidei formulam profiteri.*

Concilii Laodiceni canones 46, 47.

46. Quod oporteat eos qui ad baptisma veniunt, fidem discere, et quinta feria septimanæ majoris episcopo aut presbyteris reddere.

47. Quod oporteat eos qui in ægritudine percipiunt baptisma, postquam convaluerint, fidem perdiscere, et scire cujus muneris participes facti sint.

Concilii œcumenici VI *canon* 78. C

78. Quod oportet eos [53] qui illuminantur fidem discere, et quinta septimanæ feria episcopo seu presbyteris renuntiare.

Textus. Constit. 10, tit. 8, lib. I, cod. jubet, ut pagani, qui parvi [adhuc et pueri] sunt, citra dilationem baptizentur : qui vero adoleverint, prius Scripturas et sacrosanctos canones doceantur. Sciendum est autem nos non invenire canonem, qui tale quidpiam doceat. Verum const. 4, tit. 3 1156 Novellarum, quæ secunda est de Samaritanis, ac in textu librorum in Patriarchico exsistentium 133, sancit, ne confestim Samaritani ad sacrosanctum baptisma recipiantur : sed qui bonam doctrinam [jam per ætatem] percipere possunt, per biennium

[53] Laodic. can. 46.

ΚΕΦΑΛ. Α'. — Περὶ τοῦ μὴ ὀφείλειν μετὰ δύο ἑβδομάδας τῆς Τεσσαρακοστῆς δέχεσθαι πρὸς τὸ φώτισμα.

Συνόδου Λαοδικείας κανὼν με'.

με'. Ὅτι οὐ δεῖ μετὰ δύο ἑβδομάδας δέχεσθαι, εἰς τὸ φώτισμα, τῆς Τεσσαρακοστῆς.

ΚΕΦΑΛ. Β'. — Περὶ τῶν ἐφερκιζόντων.

Συνόδου Λαοδικείας κανὼν κϛ'.

κϛ'. Ὅτι οὐ δεῖ ἐκφορκίζειν τοὺς μὴ προαχθέντας ὑπὸ ἐπισκόπων, μήτε ἐν ταῖς ἐκκλησίαις, μήτε ἐν ταῖς οἰκίαις.

ΚΕΦΑΛ. Γ'. — Πῶς δεῖ βαπτίζειν.

Ἀποστόλων κανὼν μθ', ν'.

μθ'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, κ. τ. λ.

ν'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, μὴ τρία βαπτίσματα, κ. τ. λ.

Συνόδου οἰκουμενικῆς ἕκτης, κανὼν νθ'.

νθ'. Μηδεὶς ἐν εὐκτηρίῳ οἴκῳ, κ. τ. λ.

ΚΕΦΑΛ. Δ'. — Περὶ τοῦ χρῆναι τοὺς φωτιζομένους ἀπαγγέλλειν τὴν πίστιν.

Συνόδου Λαοδικείας κανὼν μϛ', μζ'.

μϛ'. Ὅτι δεῖ τοὺς φωτιζομένους, τὴν πίστιν ἐκμανθάνειν· καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος, ἀπαγγέλλειν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις.

μζ'. Ὅτι δεῖ τοὺς ἐν νόσῳ παραλαμβάνοντας τὸ φώτισμα, καὶ εἶτα ἀναστάντας, ἐκμανθάνειν τὴν πίστιν, καὶ γινώσκειν ὅτι θείας δωρεᾶς κατηξιώθησαν.

Συνόδου οἰκουμενικῆς Ἕκτης κανὼν οη'.

οη'. Ὅτι δεῖ τοὺς φωτιζομένους τὴν πίστιν ἐκμανθάνειν, καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγέλλειν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις.

Ἡ ι' διάταξις τοῦ η' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. παρακελεύεται τοὺς Ἕλληνας, μικροὺς μὲν ὄντας, χωρὶς ἀναβολῆς βαπτίζεσθαι· τοὺς δὲ τελείους, πρότερον τὰς Γραφὰς κατὰ τοὺς ἁγίους κανόνας διδασκομένους. Καὶ ἰστέον ὅτι οὐχ εὑρίσκομεν κανόνας τοιοῦτόν τι διαγορεύοντας· ἡ δὲ β' διάτ. τοῦ γ' τίτ. τῶν Νεαρῶν, β' οὖσα περὶ Σαμαρειτῶν, κειμένη δὲ ἐν τῷ ῥητῷ τῶν ἐν τῷ πατριαρχείῳ βιβλίων ρλγ', θεσπίζει μὴ προχείρως τοὺς Σαμαρείτας ἐπὶ τὸ ἅγιον δέχεσθαι βάπτισμα, ἀλλὰ τοὺς μὲν χρηστῆς διδασκαλίας αἰσθανομένους, ἐπὶ διετίαν κατηχεῖσθαι, καὶ

Digitized by Google Распознавание текста ABK/FR

οὕτως βαπτίζεσθαι· τοὺς δὲ νέους πάνυ, καὶ τῆς διδασκαλίας οὐ συνιέντας, καὶ χωρὶς τῆς παρατηρήσεως ταύτης, ἀξιοῦσθαι τοῦ ἁγίου βαπτίσματος.

in fide instituantur, atque tum baptizentur : omnino autem pueri, qui doctrinam intelligere nequeunt, etiam absque hac observatione sacro baptismate digni habeantur.

ΚΕΦΑΛ. Ε'. — Περὶ τοῦ βαπτίζεσθαι τοὺς ἀγνοοῦντας εἰ ἐβαπτίσθησαν.

Συνόδου Καρθαγέννης κανὼν οβ'.

Περὶ νηπίων ὀφειλόντων βαπτίζεσθαι ὁσάκις ἀμφιβάλλεται περὶ αὐτῶν εἰ ἄρα ἐβαπτίσθησαν.

οβ'. Ὁμοίως ἤρεσε περὶ τῶν νηπίων, ὁσάκις μὴ εὑρίσκονται βέβαιοι μάρτυρες οἱ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες, καὶ οὐδὲ αὐτὰ διὰ τὴν κεῖραν περὶ τῆς παραδοθείσης αὐτοῖς μυσταγωγίας ἀποκρίνεσθαι ἐπιτηδείως ἔχουσι, χωρίς τινος προσκόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι, μή ποτε ὁ τοιοῦτος δισταγμὸς ἀποστερήσῃ αὐτὰ τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως. Ἐκ τούτου γὰρ οἱ τοποτηρηταὶ τῶν Μαύρων ἀδελφοὶ ἡμῶν τοῦτο ἐβουλεύσαντο, ὅτι πολλοὺς τοιούτους ἀπὸ τῶν βαρβάρων ἐξαγοράζονται.

CAP. V. — *Quod ii baptizandi sint qui se baptizatos ignorant.*

Concilii Carthaginensis canon 72.

De infantibus baptizandis, quoties dubitatur utrum fuerint baptizati.

72. Item placuit [54] de infantibus, quoties non inveniuntur certissimi testes, qui eos baptizatos esse sine dubitatione testentur, neque ipsi sunt per ætatem de traditis sibi sacramentis idonei respondere, absque ullo scrupulo esse baptizandos, ne ista hæsitatio eos faciat sacramentorum purgatione privari. Hinc enim legati Maurorum, fratres nostri, consuluerunt, quia multos tales a barbaris redimunt [mss. *redimere solent*].

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν πδ'

πδ'. Τοῖς κανονικοῖς τῶν Πατέρων θεσμοῖς κατακολουθοῦντες, ὁρίζομεν καὶ περὶ τῶν νηπίων· ὁσάκις μὴ εὑρίσκονται βέβαιοι μάρτυρες οἱ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες, καὶ οὐδὲ ταῦτα διὰ τὴν κεῖραν περὶ τῆς παραδοθείσης αὐτοῖς μυσταγωγίας ἀποκρίνασθαι ἐπιτηδείως ἔχουσι, χωρὶς τινος προσκόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι, μή ποτε ὁ τοιοῦτος δισταγμὸς ἀποστερήσῃ αὐτὰ τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως.

Concilii œcumenici sexti canon 84.

84. Canonicos Patrum ritus sequentes, de infantibus quoque decernimus, quoties non inveniuntur firmi testes, qui eos absque ulla dubitatione baptizatos esse dicant, nec ipsi, propter ætatem de sibi tradito mysterio apte respondere possint, debere absque [157] ulla offensione baptizari, ne forte ejusmodi dubitatio eos ejusmodi purificationis sanctificatione privet.

ΚΕΦΑΛ. Ϛ'. — Περὶ τοῦ μὴ βαπτίζεσθαι τοὺς τελευτήσαντας.

CAP. VI. — *Ne mortui baptizentur.*

Συνόδου Καρθαγέννης κανὼν ιη'.

ιη'. Ἐάν τις κληρικὸς χειροτονῆται, κ. τ. λ.

Concilii Carthaginensis canon 18.

18. Si quis clericus ordinatur, etc., *ut supra pag.* 482.

Ὁμοίως ἤρεσεν ὥστε χειροτονουμένου ἐπισκόπου ἢ κληρικοῦ, κ. τ. λ.

Item placuit ut ordinatis episcopis, vel clericis, etc., *ut supra pag.* 483.

ΚΕΦΑΛ. Ζ'. — Περὶ τῶν πρὸ τοῦ βαπτίσματος ἁμαρτανόντων, καὶ περὶ κατηχουμένων παραπιπτόντων.

CAP. VII. — *De iis qui ante baptismum peccaverunt et de catechumenis lapsis.*

Συνόδου Νικαίας κανὼν ιδ',

Concilii Nicæni canon 14.

ιδ'. Περὶ τῶν κατηχουμένων καὶ παραπεσόντων, ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε τριῶν ἐτῶν αὐτοὺς ἀκροωμένους μόνον, μετὰ ταῦτα εὔχεσθαι μετὰ τῶν κατηχουμένων.

14. De catechumenis [55], et qui lapsi, visum est sanctæ et magnæ synodo, ut ii tribus tantum annis audientes postea orent cum catechumenis.

Συνόδου Ἀγκύρας κανὼν ιβ'.

Concilii Ancyrani canon 12.

ιβ'. Τοὺς πρὸ τοῦ βαπτίσματος τεθυκότας, καὶ μετὰ ταῦτα βαπτισθέντας, ἔδοξεν εἰς τάξιν προάγεσθαι ὡς ἀπολουσαμένους.

12. Eos qui ante baptismum sacrificarunt, et postea baptizati sunt, visum est ad ordinem promoveri, ut qui abluti sunt.

Συνόδου Νεοκαισαρείας κανὼν ε'.

Concilii Neocæsariensis canon 5.

ε'. Κατηχούμενος ἐὰν εἰσερχόμενος εἰς Κυριακὸν, ἐν τῇ τῶν κατηχουμένων τάξει στήκῃ, οὗτος δὲ φανῇ ἁμαρτάνων, ἐὰν μὲν γόνυ κλίνων, ἀκροάσθω, μηκέτι ἁμαρτάνων· ἐὰν δὲ καὶ ἀκροώμενος ἔτι ἁμαρτάνῃ, ἐξωθείσθω (44).

5. Catechumenus si in Dominicum ingrediens, catechumenorum ordine steterit, is autem peccat : si genu quidem flectens, audiat, non amplius peccans. Sin autem etiam audiens adhuc peccet, extrudatur.

54 Conc. Carthag. cap. 6 ; Conc. Afric. 39. 26.

55 Neocæs. 5 ; Siric. 3.

NOTÆ.

(44) In marg. paulo recentiore manu additur. Η τοὺς ἀκροωμένους συντατττέσθω ἐπιτιμίου χάριν.

Digitized by Google Распознавание текста ABKFR

158 *Basilii canon* 20.

20. Quæcunque mulieres, cum essent in hæresi, virginitatem professæ sunt, sed postea matrimonium prætulerunt, non arbitror eas condemnari oportere. *Quæcunque enim dicit lex, iis qui in lege sunt dicit* [56]. Quæ autem jugum Christi nondum subierunt, ea nec Domini leges agnoscunt. Quare sunt in Ecclesiam recipiendæ cum omnibus, etiam horum remissionem habentes ex fide in Christum. Ac omnino quæ in catechumenica vita facta sunt, in judicium non vocantur. Tales autem videlicet sine baptismate Ecclesia non recipit. Quare generationis jura sunt in ipsis maxime necessaria.

Theophili ex commonitorio canon 4.

4. De Panuph., etc., *ut pag.* 530.

Cyrilli ex epistola ad episcopos qui sunt in Libya et Pentapoli canon.

44. Sin autem segregationem aliqui sustinuerint propter lapsus puniti, deinde sint morituri existentes catechumeni, baptizentur, et ne ab humanis excedant gratiæ non participes, scilicet communione carentes. Videtur enim hoc quoque Ecclesiæ consuetudini adhærere. Salutate eam quæ est apud vos fraternitatem ; quæ nobiscum est vos in Domino salutat.

Textus. Const. 1, tit. 12, lib. I, cod. ait: Quod [si] Judæus, ut crimen aut debitum evitet, Christianus fieri velit, ipsum suscipi non oporteat, donec innocens appareat, vel debitum persolvat. Const. vero 10, tit. II, vult, ut pagani baptizentur, ac eorum [quidem] liberi, si parvuli sint, citra dilationem : si vero adoleverint, prius canones et Scripturas doceantur. Verum const. 3, **159** tit. 3, Novellarum, per biennium adultos Samaritanos in fide institui vult.

CAP. VIII. — *De episcopis aut clericis baptismum hæreticorum admittentibus.*

Apostolorum canon 46.

46. [45] Episcopum, vel presbyterum qui hæreticorum baptismum etc., *ut supra pag.* 610.

CAP. IX. — *De baptizatis in morbo.*

Concilii Neocæsariensis canon 12.

502. Si quis ægrotans fuerit illuminatus, etc., *ut pag.* 52.

Concilii Laodiceni canon 47.

47. Quod oporteat eos qui in ægritudine etc., *ut pag.* 615.

Concilii Carthaginensis canon 45.

De ægrotantibus qui pro se respondere non possunt.

45. Ut ægrotantes, si pro se respondere non possunt, cum voluntatis eorum testimonium sui periculo proprio dixerint, baptizentur. Ut scenicis, atque histrionibus cæterisque hujusmodi personis [57] reconciliatio non negetur.

A Βασιλείου κανὼν κ'.

κ'. Ὅσαι γυναῖκες ἐν αἱρέσει οὖσαι παρθενίαν ὡμολόγησαν, εἶτα μετὰ ταῦτα γάμον ἀνθείλοντο, οὐχ ἡγοῦμαι χρῆναι καταδικάζεσθαι ταύτας. Ὅσα γὰρ ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· αἱ δὲ μήπω ὑπελθοῦσαι τὸν ζυγὸν τοῦ Χριστοῦ, οὐδὲ τὴν νομοθεσίαν ἐπιγινώσκουσι τοῦ Δεσπότου· ὥστε δεκταὶ εἶναι τῇ Ἐκκλησίᾳ μετὰ πάντων, καὶ τὴν ἐπὶ τούτοις ἄφεσιν ἔχουσαι ἐκ τῆς πίστεως Χριστόν· καὶ καθόλου τὰ ἐν τῷ κατηχουμένῳ βίῳ γενόμενα, εἰς εὐθύνας οὐκ ἄγεται. Τούτους δὲ δηλονότι ἄνευ βαπτίσματος, ἡ Ἐκκλησία οὐ παραδέχεται· ὥστε ἀναγκαιότατα ἐπὶ τούτοις τὰ πρεσβεῖα τῆς γενέσεως.

Θεοφίλου ἐκ τοῦ Ὑπομνηστικοῦ, κανὼν δ'.

B δ'. Περὶ δὲ Πανοὺφ, κ. τ. λ.

Κυρίλλου ἐκ τῆς πρὸς τοὺς ἐν Λιβύῃ καὶ Πενταπόλει ἐπισκόπους ἐπιστολῆς, κανὼν δ'.

δ'. Ἐὰν δὲ χωρισμὸν ὑπομείνωσι τινες ἐπιτιμηθέντες πταισμάτων ἕνεκα, εἶτα μέλλωσι τελευτᾷν κατηχούμενοι ὄντες, βαπτιζέσθωσαν, καὶ μὴ ἀποδημείτωσαν τῶν ἀνθρωπίνων ἀμέτοχοι τῆς χάριτος, ἦγουν ἀκοινώνητοι· δοκεῖ γὰρ προσέχειν καὶ τοῦτο τοῖς τῆς Ἐκκλησίας θεσμοῖς· προσείπατε τὴν παρ' ὑμῖν ἀδελφότητα· ὑμᾶς ἡ σὺν ἡμῖν ἐν Κυρίῳ προσαγορεύει.

Ἡ α' διάταξις τοῦ ιβ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὅτι ἐὰν Ἰουδαῖος διὰ τὸ φυγεῖν ἔγκλημα ἢ χρέος, θελήσῃ χριστιανίσαι, οὐ δεῖ αὐτὸν προσδεχθῆναι, ἕως ἂν ἀνεύθυνος φανῇ, καὶ τὸ χρέος καταβάλῃ· ἡ δὲ ι' διάτ. τοῦ ια' τίτ. τοῦ α' βιβλ. θέλει τοὺς Ἕλληνας βαπτίζεσθαι καὶ τὰ τέκνα αὐτῶν, χωρὶς ἀναβολῆς, μικρὰ ὄντα· τὰ δὲ τέλεια προδιδάσκεσθαι κατὰ τοὺς κανόνας τὰς Γραφάς· ἡ δὲ γ' διάτ. τοῦ γ' τίτ. τῶν νεαρῶν, ἐπὶ διετίαν θέλει τοὺς τελείους Σαμαρείτας κατηχεῖσθαι.

C ΚΕΦΑΛ. Η'. — Περὶ ἐπισκόπων ἢ κληρικῶν δεχομένων βάπτισμα αἱρετικῶν.

Ἀποστόλων κανὼν μς'.

μς'. Ἐπίσκοπον ἢ πρεσβύτερον αἱρετικῶν δεξαμένους βάπτισμα, κ. τ. λ.

ΚΕΦΑΛ. Θ'. — Περὶ τῶν ἐν νόσῳ βαπτιζομένων.

Συνόδου Νεοκαισαρείας κανὼν ιβ'.

ιβ'. Ἐὰν νοσῶν τις φωτισθῇ, κ. τ. λ.

D Συνόδου Λαοδικείας κανὼν μζ'.

μζ'. Ὅτι δεῖ τοὺς ἐν νόσῳ, κ. τ. λ.

Συνόδου Καρθαγέννης κανὼν με'.

Περὶ τῶν ἀσθενούντων, καὶ ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι μὴ δυναμένων.

με'. Ὥστε τοὺς ἀσθενοῦντας, οἵτινες ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι οὐ δύνανται, τότε βαπτίζεσθαι, ὅτε τῇ αὐτῶν προαιρέσει τὴν περὶ αὐτῶν μαρτυρίαν κινδύνῳ ἰδίῳ εἴπωσιν.

[56] Rom. III, 19. [57] Aut apostatis pœnitentibus et ad Deum conversis.

Digitized by Google Распознавание текста ABK/FR

Τιμοθέου κανὼν δ'.

Ἐρώτησις. Ἐάν τις κατηχούμενος ἄσθενῶν γένηται ἐκφρενὴς, καὶ μὴ δύνηται ἑαυτῷ ὁμολογῆσαι τὴν πίστιν, καὶ παρακαλοῦσιν οἱ ἴδιοι αὐτοῦ ἵνα λάβῃ τὸ ἅγιον βάπτισμα ἕως ζῇ, εἰ ὀφείλει λαβεῖν, ἢ οὔ ;

Ἀπόκρισις. Ὀφείλει λαβεῖν, ἐὰν μὴ ὑπὸ πνεύματος ἀκαθάρτου πειράζηται.

ΚΕΦΑΛ. Γ'. — Περὶ τῆς ἐγκύου βαπτιζομένης.

Συνόδου Νεοκαισαρείας κανὼν ς'.

ς'. Περὶ κυοφορούσης ὅτι δεῖ φωτίζεσθαι ὁπότε βούλεται· οὐδὲν γὰρ ἐν τοῦτῳ κοινωνεῖ ἡ τίκτουσα τῷ τικτομένῳ, διὰ τὸ ἑκάστου ἰδίαν τὴν προαίρεσιν τὴν ἐπὶ τῇ ὁμολογίᾳ δείκνυσθαι.

Καίτοι ἐν τῷ α' διγ. τοῦ δ' τίτ. τοῦ κε' βιβλ. τῶν διγ. φησὶ, τὸν κυοφορούμενον μέρος εἶναι τῆς ἐγκύου· ἐν δὲ ι' διγ. τοῦ γ' τίτ. τοῦ μα' βιβλ. ν' τίτ. ιζ' δίγ. κς', ὅτι τὸ κυοφορούμενον οὐκ ἔτι μέρος τῆς μητρός· καὶ ἄλλα δὲ διάφορα νόμιμα περὶ τούτου συνήγαγον ἐν τῷ φανέντι μοι περὶ ἐναντιοφανῶν μονοβίβλῳ.

ΚΕΦΑΛ. ΙΓ'. — Περὶ τοῦ ὀφείλειν μετὰ τὸ ἅγιον βάπτισμα χρίεσθαι.

Συνόδου Λαοδικείας κανὼν μη'.

μη'. Ὅτι δεῖ τοὺς φωτιζομένους, μετὰ τὸ βάπτισμα χρίεσθαι χρίσματι ἐπουρανίῳ, καὶ μετόχους εἶναι τῆς βασιλείας τοῦ Χριστοῦ.

ΚΕΦΑΛ. ΙΒ'. — Περὶ τῆς ποιήσεως τοῦ ἁγίου χρίσματος.

Συνόδου Καρθαγέννης κανὼν ς.

ς'. Ὅτε χρίσμα ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι.

ς'. Φορτουνάτος ἐπίσκοπος εἶπεν, κ. τ. λ. *usque ad* πᾶσιν ἀρέσκει.

ΚΕΦΑΛ. ΙΓ'. — Περὶ τῶν δὶς ἢ μὴ δεόντως βαπτιζομένων, καὶ τῶν τοὺς ἀσεβεῖς μὴ βαπτιζόντων.

Ἀποστόλων κανὼν μζ', μη', ν'.

μζ'. Ἐπίσκοπος ἢ πρεσβύτερος, τὸν κατὰ ἀλήθειαν ἔχοντα βάπτισμα, ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν, ἐὰν μὲ ἀναβαπτίσῃ, καθαιρείσθω, ὡς γελῶν τὸν σταυρὸν καὶ τὸν τοῦ Κυρίου θάνατον, καὶ μὴ διακρίνων ἱερεας ψευδιερέων. (Τὸ τοιοῦτον ὡς μὴ τῷ κεφ. συνᾴδον, οὐκ ὀφείλει ἀναγινώσκεσθαι. ***Est minutiore littera in cod.***)

μη'. Εἴ τις λαϊκὸς τὴν ἑαυτοῦ γυναῖκα ἐκβαλὼν, ἑτέραν λάβοι, ἢ παρὰ ἄλλου ἀπολελυμένην, ἀφοριζέσθω.

ν'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, κατὰ τὴν τοῦ Κυρίου διάταξιν, μὴ βαπτίσει εἰς Πατέρα. κ. τ. λ. *usque ad* τοῦ ἁγίου Πνεύματος, κ. τ. λ.

Περὶ τῶν ἀναβαπτιζόντων καὶ ἀναβαπτιζομένων διαλαμβάνει ἡ α' καὶ ἡ β' διάτ. τοῦ ς' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. Ἡ μὲν γὰρ τῷ ἐπισκόπῳ καθαίρεσιν ἐπάγει, ἡ δὲ ἐσχάτην τιμωρίαν τῷ βαπτίσαντι καὶ τῷ βαπτισθέντι, εἴ γε ἡλικίας ἐστὶ δεκατικῆς, ἐγκλήματος· γίνωσκε δὲ ὅτι ὁ τῇ ἥβῃ πλησιάζων, ἐπ' οὐδεμιᾷ αἰτίᾳ βυηθείται, ὡς βιβλ. κθ' τίτ. ε'

Timothei canon 4

Interrogatio. Si quis catechumenus, cum esset infirmus, emotæ mentis factus sit, nec possit ipse fidem confiteri, suique suadeant, ut donec vivit sanctum baptismum accipiat, debetne accipere, annon ?

160 *Responsio*, Debet accipere, si non ab immundo spiritu tentetur.

CAP. X. *De baptizata dum uterum gerit.*

Concilii Neocæsarensis canon 6.

6. De ea quæ uterum gerit, quod eam oporteat illuminari quando velit: neque enim ea quæ parit, cum fetu qui pariter, ea in re habet aliquid commune, quod proprium uniuscujusque institutum ac propositum in confessione ostendatur.

Textus. Quanquam in Digesto 1, tit. 4, lib. xxv, dig. dicatur partum esse portionem prægnantis: in Digesto tamen 10 tit. 3, lib. xxxxi et lib. L, tit. 16, digest. 26, quod partus pars matris non sit. Verum alia etiam hac de [re] diversa jura in libro meo, de in speciem contrariis, singulari collegi.

CAP. XI. — *Quod post baptismum fieri unctio debeat.*

Concilii Laodiceni canon 48.

48. Oportet eos qui illuminantur, post baptisma inungi super cœlesti chrismate et esse regni Christi participes.

CAP. XII. — *De sancti chrismatis confectione.*

Concilii Carthaginensis canon 6.
Ut chrisma a presbyteris non fiat.

6. Fortunatus episcopus dixit, etc., *usque ad* omnibus placet, *ut pag.* 562.

161 CAP. XIII. — *De iis qui bis, vel non rite fuerunt baptizati, et de iis qui impietate contaminatos non baptizant.*

Apostolorum canones 47, 48, 50.

47. [46] Episcopus, vel presbyter eum qui vere habet baptismum, si de integro baptizaverit, vel si eum qui ab impiis pollutus est, non baptizaverit, deponatur, ut qui irrideat mortem et crucem Domini, et non discernat veros sacerdotes a falsis sacerdotibus.

48 [47] Si quis laicus sua ejecta uxore aliam acceperit, vel ab alio solutam, segregetur.

50 [49]. Si quis episcopus etc., *usque ad Spiritus sancti, ut supra pag.* 442.

Textus. De iis qui rebaptizant et rebaptizantur, tractant 1, et 2, const. [tit. 6.] lib. I, cod. quarum illa episcopo dejectionem [a sacerdotio]: hæc vero [utrique] et qui baptizavit, et qui baptizatus est, si tamen criminis per ætatem capax sit, ultimum supplicium inducit. Scias vero, quod qui pubertati appropinquat, ei in nulla causa subveniatur : ut

Digitized by Google Распознавание текста ABK/FR

lib. XXIX, tit. 5, digest. 14. [traditur.] Est autem pubertas in masculo decimus quartus annus completus, in femina vero 162 duo decimus : ut lib. XXVIII, tit. 1, digest. 5, et lib. cod. 5, tit. 60, const. 3, [et lib.] instit. 1, tit. 22, [docent.] Quod si aliquibus, donec puberes fiant, alimenta legata sint : masculus, donec decimum octavum annum compleverit : femina, donec decimum quartum, percipit : ut lib. XXXIV, tit. 1. [digest. 14. habet.] Impubes falsum non committit: ut lib. XLVIII, tit. 10, digest. 22. Adulterum post pubertatem committitur : ut digest. 36, tit. 5, ejusdem XLVIII, lib. Novella XXXVII, quæ de Ecclesiis Africanis tractat, ait rebaptizatos militare quidem non posse, sed tamen pœnitentiæ locum habere.

A διγ. ιδ'· ἔστι δὲ ἥβη, ἐπὶ μὲν τοῦ ἄῤῥενος, ὁ ιδ' ἐνιαυτὸς πεπληρωμένος· ἐπὶ δὲ τῆς θηλείας, ἡ συμπλήρωσις τοῦ ιβ' ἐνιαυτοῦ, ὡς βιβλ. κη' τίτ. α' δίγ. ε', καὶ βιβλ. τοῦ κώδ. ε' τίτ. ξ' διάτ. γ'. καὶ Ἰνστιτουτίων. α' τίτ. κβ'· εἰ δέ τισι ληγατευθῇ ἀποτροφὴ ἕως οὗ εἰσιν ἄνηβοι, ὁ μὲν ἄῤῥην λαμβάνει, ἕως οὗ πληρωσῃ τὸν ιη' ἐνιαυτὸν, ἡ δὲ θήλεια τὸν ιβ', ὡς βιβλ. λδ' τίσ. α'· ἄνηβος δὲ τὸ πλαστὸν οὐ πλημμελεῖ, ὡς βιβλ. μη' τίτ. ι' δίγ. κβ'· καὶ ἡ μοιχεία μετὰ τὴν ἥβην πλημμελεῖται, ὡς διγ. λζ' τοῦ ι' τίτ. τοῦ αὐτοῦ μη' βιβλ. δὲ διαλαμβάνουσα περὶ τῶν Ἐκκλησιων Ἀφρικῆς λζ' νεαρὰ, φησὶν, ὅτι οἱ ἀναβαπτισθέντες, στρατεύεσθαι μὲν οὐ δύνανται, μεταμέλου δὲ χώραν ἔχουσιν.

CAP. XIV. — *Quinam ex hæreticis ad orthodoxiam transeuntes baptizentur, quinam tantum unganlur.*

B ΚΕΦΑΛ. ΙΔ. — Τίνες ἐξ αἱρετικῶν εἰς τὴν ὀρθοδοξίαν μετιόντες, βαπτίζονται· καὶ τίνες μόνον χρίονται.

Concilii Niceni canon 19.

19. De Paulianistis, etc., *ut pag.* 559.

Συνόδου Νικαίας κανὼν ιθ'.

ιθ'. Περὶ τῶν Παυλιανισάντων, κ. τ. λ.

Concilii Laodicæni canones 7, 8.

Συνόδου Λαοδικείας κανὼν ζ' η'.

7. Eos qui ex hæresibus, hoc est, Novatianis sive Photinianis, vel Tessaresdecatitis convertuntur, sive catechumenos, sive qui apud illos fideles dicuntur, non admitti priusquam omnem hæresim anathematizaverint, et præcipue eam in qua detinebantur ; et tunc deinceps eos, qui apud illos fideles dicebantur, fidei symbola dicentes, et sancto chrismate inunctos, sic sancto mysterio communicare.

ζ'. Περὶ τοὺς ἐκ τῶν αἱρέσεων, τουτέστιν Ναυατιανῶν, ἤτοι Φωτεινιανῶν, Τεσσαρεσκαιδεκατιτῶν ἐπιστρεφομένους, εἴτουν κατηχουμένους, εἴτε πιστοὺς, τοὺς παρ' ἐκείνοις μὴ προσδέχεσθαι πρὶν ἂν ἀναθεματίσωσι πᾶσαν αἵρεσιν, ἐξαιρετως δὲ ἐν ᾗ κατείχοντο· καὶ τότε λοιπὸν τοὺς λεγομένους παρ' αὐτοῖς πιστοὺς ἐκμανθάνοντας τὰ τῆς πίστεως σύμβολα χρισθέντας τε τῷ ἁγίῳ χρίσματι, οὕτω κοινωνεῖν τῶν μυστηρίων τῶν ἁγίων.

8. Eos qui ab eorum hæresi qui Phryges dicuntur, convertuntur, sive sint in clero qui apud illos existimantur sive maximi dicantur, omnes eos cum omni studio catechizari seu initiari et baptizarii ab Ecclesiæ episcopis et presbyteris.

C η'. Περὶ τοὺς ἀπὸ τῆς αἱρέσεως τῶν λεγομένων Φρυγῶν ἐπιστρέφοντας, εἰ καὶ ἐν κλήρῳ νομιζομένῳ παρ' αὐτοῖς τυγχάνοιεν, εἰ καὶ μέγιστοι λέγοιντο, τοὺς τοιούτους μετὰ πάσης ἐπιμελείας κατηχεῖσθαί τε καὶ βαπτίζεσθαι ὑπὸ τῶν τῆς ἐκκλησίας ἐπισκόπων τε καὶ πρεσβύτερων.

Concilii Constantinopolitani canon 7 (45).

Συνόδου Σωνσταντινουπόλεως κανὼν ζ'.

7. Eos qui rectæ fidei adjiciuntur, et parti eorum qui ex hæreticis servantur, recipimus, secundum 163 subjectam hic consequentiam et consuetudinem Arianos quidem et Macedonianos, et Sabbatianos (46), et Novatianos, qui dicunt se ipsos Catharos et Aristeros, hoc est, mundos, vel sinistros), et Tessaresdectitas, sive Tetraditas, et Apollinaristis recipimus, dantes quidem libellos, et omnem hæresim anathematizantes, quæ non sentit D ut sancta Dei catholica et apostolica Ecclesia ; et signatos, sive unctos primum sancto chrismate, et frontem, et oculos, et nares, et os, et aures. Et eos signantes dicimus, Signaculum doni Spiritus sancti. Atqui Eunomianos, qui in unam demersionem baptizantur ; et Montanistas, qui hic dicuntur Phryges, et Sabellianos qui eumdem esse Patrem

ζ'. Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν δεχόμεθα, κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν καὶ συνήθειαν. Ἀρειανοὺς μὲν καὶ Μακεδονιανοὺς, καὶ Σαββατιανοὺς, καὶ Ναυατιανοὺς, τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς καὶ Ἀριστεροὺς καὶ τοὺς Τεσσαρεσκαιδεκατίτας ἤγουν Τευραδίτας, καὶ Ἀπολιναριστὰς, δεχόμεθα διδόντας λιβέλλους καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία, σφραγίζομένους ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τό τε μέτωπον, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥῖνας, καὶ τὸ στόμα, καὶ τὰ ὦτα· καὶ σφραγίζοντες αὐτοὺς λέγομεν· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου· Εὐνομιανοῦς μέντοι τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους καὶ Μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους Φρύγας, καὶ

(45) Non est hic canon in Arabica paraphrasi, nec in Collectione canonum Joannis Antioch. qui et Scholasticus dictus est, patriarcha CP., nec in Epitome canonum Symeonis magistri, uterque enim sex tantum priores canones appellat hujus concilii. Est totidem verbis canon 14 synodi Trullanæ. Vide etiam epistolam ad Martyrium Antioch, apud Leunclavium in *Jure Græco Rom.* pag. 290, unde hic canon descriptus videri potest.

(46) Non videtur apud Socratem Sabbatianorum nomen usurpatum ante an. circiter 392.

Digitized by Google Распознавание текста ABBYY FR

Σαβελλιανοὺς τοὺς υἱοπατορίαν διδάσκοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας, καὶ τὰς ἄλλας πάσας αἱρέσεις· ἐπειδὴ πολλοί εἰσιν ἐνταῦθα μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας ἐρχόμενοι, πάντας τοὺς ἀπ' αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς Ἕλληνας δεχόμεθα· καὶ τὴν πρώτην μὲν ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανούς, τὴν δὲ δευτέραν κατηχουμένους· εἶτα τῇ τρίτῃ ἐξορκίζομεν αὐτούς, μετὰ τοῦ ἐμφυσᾷν τρίτον εἰς τὸ πρόσωπον, καὶ εἰς τὰ ὦτα, καὶ οὕτως κατηχοῦμεν αὐτούς, καὶ ποιοῦμεν χρονίζειν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν Γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ϛ'.

ϛ'. Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν δεχόμεθα, κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν τε καὶ συνήθειαν· Ἀρειανοὺς μὲν καὶ Μακεδονιανοὺς, καὶ Ναυατιανοὺς, καὶ Σαββατιανοὺς, τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς καὶ Ἀριστεροὺς, καὶ τοὺς Τεσσαρεσκαιδεκατίτας ἤγουν Τετραδίτας, καὶ Ἀπολιναριστὰς δεχόμεθα, διδόντας λιβέλλους καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν, μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία, σφραγιζομένους ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τὸ μέτωπον, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥῖνας, καὶ τὸ στόμα, καὶ τὰ ὦτα, καὶ σφραγίζοντες αὐτοὺς λέγομεν· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Περὶ δὲ τῶν Παυλιανισάντων, εἶτα προσελθόντων τῇ καθολικῇ Ἐκκλησίᾳ, ὅρος ἐκτέθειται ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος· Εὐνομιανοὺς μέντοι τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους καὶ Μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους Φρύγας, καὶ Σαβελλιανοὺς τοὺς υἱοπατορίαν δοξάζοντας, καὶ ἕτερά τινα χάλεπὰ ποιοῦντας, καὶ πάσας τὰς ἄλλας αἱρέσεις· ἐπειδὴ πολλοί εἰσιν ἐντεῦθα μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας ἐρχόμενοι, πάντας τοὺς ἀπ' αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ ὡς Ἕλληνας δεχόμεθα· καὶ τὴν μὲν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανούς, τὴν δὲ δευτέραν κατηχουμένους, εἶτα τὴν τρίτην ἐξορκίζομεν αὐτοὺς μετὰ τοῦ ἐμφυσᾷν τρίτον εἰς τὸ πρόσωπον καὶ εἰς τὰ ὦτα, καὶ οὕτω κατηχοῦμεν αὐτοὺς καὶ ποιοῦμεν χρονίζειν εἰς τὴν Ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν Γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν· καὶ τοὺς Μανιχαίους δὲ καὶ τοὺς Οὐαλεντίνους, καὶ Μαρκιωνιστὰς, καὶ τοὺς ἐκ τῶν ὁμοίων αἱρέσεων προσερχομένους, ὡς Ἕλληνας δεχόμενοι ἀναβαπτίζομεν· Νεστοριανοὺς δὲ καὶ Εὐτυχιανιστὰς καὶ Σεβηριανοὺς, καὶ τοὺς ἐκ τῶν θεματίζειν τὴν αἵρεσιν, καὶ Νεστόριον, καὶ Εὐτυχέα, καὶ Διόσκορον, καὶ Σεβῆρον, καὶ τοὺς λοιποὺς ἐξάρχους τῶν τοιούτων αἱρέσεων, καὶ τοὺς φρονοῦντας τὰ αὐτῶν, καὶ πάσας τὰς προαναφερομένας αἱρέσεις, καὶ οὕτω μεταλαμβάνειν τῆς ἁγίας κοινωνίας.

Et Filium opinantur, utrumque simul confundentes, et alia gravia et indigna faciunt: et alias omnes hæreses: quoniam hic multi sunt hæretici, et maxime qui ex Galatarum regione veniunt; quicunque ex his recte fidei ascribi volunt, ut Græcos admittimus: et primo quidem die ipsos Christianos facimus; secundo catechumenos; deinde tertio exorcizamus sive adjuramus ipsos, ter simul in faciem eorum et hores insufflando. Et sic eos catechizamus sive initiamus, et curamus ut longo tempore versentur in ecclesia, et audiant Scripturas; et tunc eos baptizamus.

Concilii œcumenici VI *canon* 95.

95. Eos qui ex hæreticis ad rectam fidem accedunt, et parti eorum qui salvantur, subjecta consequentia et consuetudine recipientes, Arianos quidem et Macedonianos, et Novatianos, qui se Puros appellant, et Aristeros, et 164 Tessareskaidecatitas seu Tetraditas; et Apollinaristas recipimus dantes libellos, et omnem hæresim anathematizantes, quæ non sunt ut sentit sancta Dei universalis et apostolica Ecclesia; sancto primum chrismate inungentes et frontem, et oculos, et nares, et os, et aures; consignantes autem dicimus: Signaculum doni Spiritus sancti. De Paulianistis autem a catholica Ecclesia statutum est, ut ii omnino rebaptizentur. Eunomianos quoque, qui in unam demersionem baptizant, et Montanistas, qui hic dicuntur Phryges, et Sabellianos, qui Filium eumdem esse cum Patre existimant, et alia quædam gravia faciunt, et omnes alias hæreses, quoniam multi sunt, et maxime qui ex Galatarum regione profecti sunt, omnes ex iis qui ad rectam de fide sententiam volunt accedere, ut gentiles recipimus: et primo quidem die eos Christianos facimus; secundo autem catechumenos: deinde tertio adjuramus, simul etiam ter in faciem et aures inspirantes; et sic initiamus, et diu in ecclesia versari et Scripturas audire facimus; et tunc ipsos baptizamus. Quin etiam Manichæos, et Valentinianos, et Marcionistas, et similes hæreticos oportet libellos facere, et hæresim suam anathematizare, et Nestorium, et Eutychem, et Dioscorum, et Severum, et reliquos talium hæreseon principes, et qui eadem quæ illi sentiunt, et omnes 165 prædictas hæreses: et sic fieri sanctæ communionis participes.

Συνόδου Νικαίας τὸ δεύτερον, κανὼν η'.

Ὅτι τοὺς Ἑβραίους οὐ χρὴ δέχεσθαι, εἰ μή ποτε ἐξ εἰλικρινοῦς καρδίας ἐπιστρέψουσιν.

η'. Ἐπειδὴ πλανώμενοί τινες ἐκ τῆς τῶν Ἑβραίων θρησκείας, μυκτηρίζειν ἔδοξαν Χριστὸν τὸν Θεὸν, προσποιούμενοι μὲν χριστιανίζειν, αὐτὸν δὲ ἀρνοῦντες, κρύβδην καὶ λαθραίως σαββατίζοντες, καὶ ἕτερα Ἰουδαϊκὰ ποιοῦντες, ὁρίζομεν τούτους μήτε εἰς

Concilii Nicæni II *canon* 8.

Quod Hebræos non oportet recipere nisi ex pura et sincera mente convertantur.

8. Quoniam Hebræorum religionis quidam errantes Christum Deum nostrum subsannare visi sunt, sese Christianos esse fingentes, ipsum autem clanculum et occulte negant, Sabbata observantes, et alia Judaica facientes, statuimus, ut neque

Digitized by Google Распознавание текста ABKJFR

ad communionem, neque ad ecclesiam admittantur, sed aperte sint secundum suam religionem Hebræi; et neque filios eorum baptizari, neque servum ab eis emi vel possideri. Sin autem ex pura et sincera fide quis eorum conversus, et ex toto corde confessus fuerit, eorum moribus et rebus insultans, veluti triumphum agens, ut et alii refellantur et corrigantur; eum recipi et baptizari et ejus liberos, et cautos reddi, ut se ab Hebræorum studiis et institutis abstineant. Si autem non ita se gerant, eos nullo modo admitti.

A κοινωνίαν, μήτε εἰς εὐχὴν, μήτε εἰς ἐκκλησίαν δέχεσθαι, ἀλλὰ φανερῶς ἔστωσαν κατὰ τὴν ἑαυτῶν θρησκείαν Ἑβραῖοι, μήτε τοὺς παῖδας αὐτῶν βαπτίζειν, μήτε δοῦλον ὠνήσασθαι ἢ κτᾶσθαι. Εἰ δὲ καὶ ἐπιστρέψει τις αὐτῶν ἐξ εἰλικρινοῦς πίστεως, καὶ ὁμολογήσει ἐξ ὅλης καρδίας, θριαμβεύων τὰ κατ' αὐτῶν ἔθη καὶ πράγματα, πρὸς τὸ καὶ ἄλλους ἐλεγχθῆναι καὶ διορθώσασθαι, τοῦτον προσδέχεσθαι καὶ βαπτίζειν, καὶ τοὺς παῖδας αὐτοῦ, καὶ ἀσφαλίζεσθαι αὐτοὺς ἀποστῆναι τῶν Ἑβραϊκῶν ἐπιτηδευμάτων· εἰ δὲ μὴ οὕτως ἔχοιεν, μηδαμῶς αὐτοὺς προσδέχεσθαι.

Basilii canon 47.

47. Encratitæ et Saccophori, etc. *ut supra pag.* 446.

Βασιλείου κανὼν μζ'.

μζ'. Ἐγκρατῖται καὶ Σακκοφόροι, κ. τ. λ.

CAP. XV. — *Utrum dæmoniacus vel in morbo delirans baptizetur.*

ΚΕΦΑΛ. ΙΕ'. — Πῶς ὁ δαιμονιζόμενος, ἢ ὁ ἐν

B νόσῳ παραφρονῶν βαπτίζεται.

Timothei canones 2, 4.

Τιμοθέου κανὼν β', δ'.

Interrogatio. Si catechumenus a dæmone corripiatur et voluerit ipse vel sui, ut sanctum baptismum accipiat, debe.ne accipere annon, et maxime si morti propinquus fuerit?

Ἐρώτησις. β'. Ἐὰν δαιμονιζόμενός τις κατηχούμενος ᾖ, καὶ θέλοι αὐτὸς ἢ οἱ ἴδιοι αὐτοῦ ἵνα λάβῃ τὸ ἅγιον βάπτισμα, εἰ ὀφείλει λαβεῖν ἢ οὔ, καὶ μάλιστα ἐάν περὶ τὸν θάνατόν ἐστιν;

166 *Responsio.* Si is, qui a dæmone corripitur, non fuerit ab immundo spiritu mundatus, non potest sanctum baptismum accipere; sed in exitu e vita baptizatur.

Ἀπόκρισις. Ἐὰν ὁ δαιμονιζόμενος μὴ καθαρισθῇ ἀπὸ τοῦ ἀκαθάρτου πνεύματος, οὐ δύναται λαβεῖν τὸ ἅγιον βάπτισμα· περὶ δὲ τὴν ἔξοδον, βαπτίζεται.

Interrogatio. Si quis catechumenus, cum esset infirmus, emotæ mentis factus sit, etc., ut *pag.* 622.

Ἐρώτησις δ'. Ἐάν τις κατηχούμενος ἀσθενῶν γένηται ἐκφρενὴς, κ. τ. λ., *usque ad* πειράζηται,

CAP. XVI. — *Ne mulier purgationis suæ tempore baptizetur.*

ΚΕΦΑΛ. ΙΣ'. — Περὶ τοῦ μὴ χρῆναι γυναῖκα ἐν ταῖς ἡμέραις τῆς καθάρσεως αὐτῆς βαπτισθῆναι.

Timothei canon 6.

Τιμοθέου κανὼν Σ'.

Interrogatio. Si mulier catechumena dederit C nomen suum, ut baptizetur, et die baptismatis illi sit secundum consuetudinem mulierum, debetne hac die baptizari, an differre, et quantum differre?

Ἐρώτησις Σ'. Ἐὰν γυνὴ κατηχουμένη δέδωκε τὸ ὄνομα αὐτῆς ἵνα φωτισθῇ, καὶ περὶ τὴν ἡμέραν τοῦ βαπτίσματος γέγονεν αὐτῇ τὸ κατ' ἔθος τῶν γυναικῶν, εἰ ὀφείλει φωτισθῆναι κυρίᾳ τῇ ἡμέρᾳ, ἢ ὑπερθέσθαι, καὶ πόσον ὑπερθέσθαι;

Responsio. Non debet donec purgata fuerit.

Ἀπόκρισις. Ὑπερθέσθαι ὀφείλει, ἕως ἂν καθαρισθῇ.

CAP. XVII. — *Quid si catechumenus ante baptismum communicaverit.*

ΚΕΦΑΓ. ΙΖ'. — Ἐὰν ὁ κατηχούμενος πρὸ τοῦ βαπτίσματος κοινωνήσῃ.

Timothei canon 1.

Τιμοθέου κανὼν α'.

Interrogatio. Si puellus catechumenus, utpote annorum septem, vel homo etiam perfectus dum fieret oblatio opportune adfuerit, ejusque nescius particeps factus sit, quid de eo fieri debet?

Ἐρώτησις α'. Ἐὰν παιδίον κατηχούμενον ὡς ἑπτὰ ἐτῶν, ἤγουν ἄνθρωπος τέλειος, εὐκαιρήσῃ τοῦ προσφορᾶς γινομένης, καὶ ἀγνοῶν μεταλάβοι, τί ὀφείλει γίνεσθαι περὶ αὐτοῦ;

Responsio. Debet illuminari: a Deo enim vocatus est.

Ἀπόκρισις. Φωτισθῆναι ὀφείλει· παρὰ Θεοῦ γὰρ D κέκληται.

ΤΙΤΛΟΣ Ε'.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑΦΡΟΝΟΥΝΤΩΝ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ, ΚΑΙ ΣΥΝΑΞΕΩΝ, ΚΑΙ ΜΝΗΜΩΝ, ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΕΘΙΖΟΝΤΩΝ ΕΝ ΕΚΚΛΗΣΙΑ ΚΑΙ ΠΕΡΙ ΑΓΑΠΩΝ.

[167] TITULUS V.

DE IIS QUI CONTEMNUNT ECCLESIAS, ET SYNAXES ATQUE MEMORIAS, ET DE MANDUCANTIBUS IN ECCLESIIS, ET DE AGAPIS.

CAPUT PRIMUM. — *De iis qui docent, Dei domum et synaxes et memorias ludibrio esse habendas.*

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ. — Περὶ τῶν διδασκόντων, τὸν οἶκον τοῦ Θεοῦ, καὶ τὰς συνάξεις καὶ τὰς μνήμας, εὐκαταφρονήτους εἶναι.

Concilii Gangrensis canones 5, 20.

Συνόδου Γαγγρῶν κανὼν ε', κ'.

5. Si quis docet domum Dei esse contemnendam,

ε'. Εἴ τις διδάσκει τὸν οἶκον τοῦ Θεοῦ εὐκαταφρό-

Digitized by Google Распознавание текста ABK/FR

νητον εἶναι, καὶ τὰς ἐν αὐτῷ συνάξεις, ἀνάθεμα ἔστω.

κ'. Εἴ τις αἰτιῶτο ὑπερηφάνῳ διαθέσει κεχρημένος, καὶ βδελυσσόμενος τὰς συνάξεις τῶν μαρτύρων, ἢ τὰς ἐν αὐταῖς γινομένας λειτουργίας, καὶ τὰς μνήμας αὐτῶν, ἀνάθεμα ἔστω.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν οϛ', πη', ϙζ'.

οϛ'. Ὅτι οὐ χρὴ ἔνδον τῶν ἱερῶν περιβόλων καπηλεῖον ἢ τὰ διὰ βρωμάτων εἴδη προτιθέναι, ἢ ἑτέρας πράσεις ποιεῖσθαι, τὸ σεβάσμιον ταῖς ἐκκλησίαις φυλάσσοντας. Ὁ γὰρ Σωτὴρ ἡμῶν καὶ Θεὸς, διὰ τῆς ἐν σαρκὶ πολιτείας παιδαγωγῶν ἡμᾶς, μὴ ποιεῖν τὸν οἶκον τοῦ Πατρὸς αὐτοῦ, ἐμπορίου οἶκον, παρεκελεύετο· ὃς καὶ τῶν κολλυβιστῶν τὸ κέρμα ἐξέχεε, καὶ τοὺς τὸ ἱερὸν καινοποιοῦντας ἀπήλασεν. Εἴ τις οὖν ἐπὶ τῷ προκειμένῳ ἀλῷ πλημμελήματι, ἀφοριζέσθω.

πη'. Μηδεὶς ἔνδον ἱεροῦ ναοῦ, κτῆνος τὸ οἱονοῦν εἰσαγέτω· ἐκτὸς εἰ μή τις ὁδοιπορῶν, μεγίστης καταλαβούσης ἀνάγκης, οἰκίσκου καὶ καταγωγῆς ἀπορῶν, ἐν τῷ τοιούτῳ καταλύσει ναῷ. Διὰ γὰρ τοῦ μὴ τὸ κτῆνος ἔνδον εἰσενεχθῆναι, αὐτὸ μὲν ἔστιν ὅτε διαφθαρήσεται, ὁ δὲ τῇ τοῦ ὑποζυγίου ἀποβολῇ καὶ τῷ ἐντεῦθεν ἀπόρῳ τῆς ἐπὶ τὴν ὁδοιπορίαν ὁρμῆς, θανάτου κινδύνῳ παραδοθήσεται. Τὸ γὰρ Σάββατον διὰ τὸν ἄνθρωπον γενέσθαι ἐκδιδασκόμεθα· ὥστε διὰ πάντων προτιμητέαν ἡγεῖσθαι τὴν τοῦ ἀνθρώπου σωτηρίαν τε καὶ ἀπάθειαν. Εἰ δέ τις φωραθείη χωρὶς ἀνάγκης, κτῆνος εἰσάγων ἔν τῷ ἱερῷ, εἴ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ϙζ'. Τοὺς ἢ γαμετῇ συνοικοῦντας ἢ ἄλλως ἀδιακρίτως τοὺς ἱεροὺς τόπους κοινοποιοῦντας, καὶ καταφρονητικῶς περὶ αὐτοὺς ἔχοντας, καὶ οὕτως ἐν αὐτοῖς καταμένοντας, καὶ ἐκ τῶν ἐν τοῖς σεβασμίοις ναοῖς κατηχουμένων ἐξωθεῖσθαι προστάσσομεν. Εἰ δέ τις μὴ τοῦτο παραφυλάξει, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ΚΕΦΑΛ. Β'. — Περὶ τοῦ μὴ ποιεῖν ἐν ἐκκλησίαις ἀγάπας.

Συνόδου Λαοδικείας κανὼν κη'.

κη'. Ὅτι οὐ δεῖ ἐν τοῖς Κυριακοῖς, ἢ ἐν ταῖς ἐκκλησίαις τὰς λεγομένας ἀγάπας ποιεῖν, καὶ ἔνδον ἐν τῷ οἴκῳ ἐσθίειν καὶ ἀκούδιτα στρωννύειν.

Συνόδου Καρθαγένης κανὼν μβ'.

μβ'. Περὶ τοῦ μὴ συμπόσια ἐν ταῖς ἐκκλησίαις ἐπιτελεῖσθαι.

Ὥστε ἐπισκόπους ἢ κληρικοὺς, ἐν ταῖς ἐκκλησίαις μὴ συμποσιάζεσθαι, εἰ μή γ' ἂν τυχὸν ἀνάγκη ξενίας διαβάντες ἐκεῖ καταλύσωσι· καὶ οἱ λαοὶ δὲ ἀπὸ τῶν τοιουτοτρόπων συμποσίων, ὅσον δυνατόν ἐστι, κωλυθῶσιν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν οδ', οϛ', ϙζ'.

οδ'. Ὅτι οὐ δεῖ ἐν τοῖς Κυριακοῖς ἢ ἐν ταῖς ἐκκλη-

A et quæ fiunt in ea congregationes, sit anathema.

20. Si quis arrogantia utens, et martyrum congregationes abhorrens, et sacra quæ in eis celebrantur, el eorum memorias accuset sit anathema.

Concilii œcumenici sexti canones, 76, 88, 97.

76. Quod non oportet intra sanctos ambitus cauponariam officinam, vel ciborum species proponere, vel alias venditiones facere, suam venerationem ecclesiis servantes. Salvator enim noster, et Deus, per suam in carne vivendi rationem nos instituens, non facere domum Patris sui domum negotiationis jussit [88]; qui etiam nummulariorum mensas effudit, et eos qui forum commune fa-

B ciunt, ejecit. Si quis ergo in prædicto delicto deprehensus fuerit, segregetur.

168 88. Nemo intra ædem sacram quodvis jumentum introducat; nisi forte viator quispiam, maxima urgente necessitate, domunculæ vel diversorii indigens in id templum diverterit. Nisi enim jumentum introductum fuerit, ipsum quidem nonnunquam peribit, hic vero propter jumenti amissionem, et facultatis ad iter peragendum ex eo profectam inopiam, mortis periculo tradetur. Sabbatum enim propter hominem factum esse docemur : quamobrem et per omnia præferendam esse existimare hominis salutem et incolumitatem. Quocirca si quis deprehensus fuerit sine necessitate jumentum in templum introdu-

C cens, si sit quidem clericus, deponatur; si vero laicus, segregetur.

97. Eos qui vel cum uxore cohabitant, vel alioqui indiscriminatim sacra loca communia faciunt : et contemptim in eis afficiuntur, et sic in eis permanent; etiam ex iis, quæ sunt in venerabilibus templis, catechumenorum mansionibus extrudi jubemus. Si quis autem hæc non servavit, si sit quidem clericus, deponatur; si vero laicus, segregetur.

CAP. II. — *Ne in ecclesiis fiant agapæ.*

Concilii Laodiceni canon 28.

28. Quod non oportet in locis Dominicis, vel in ecclesiis, eas quæ dicuntur agapas facere, et in domo Dei comedere, et accubitus sternere.

D *Concilii Carthaginensis canon* 42.

42. *Ut in ecclesiis convivia minime celebrentur.*

Ut nulli episcopi vel clerici in ecclesia conviventur, nisi forte transeuntes hospitiorum necessitate illic 169 reficiant : populi etiam ab hujusmodi conviviis, quantum fieri potest prohibeantur.

Concilii œcumenici sexti canones 74, 76, 97.

74. Quod non oportet in Dominicis locis vel ec-

88 Marc. xi, 17.

Digitized by Google Распознавание текста ABKVFR

clesiis eas quæ dicuntur agapas, id est, charitates facere, et intus in æde comedere, et accubitus sternere. Qui autem hoc ausi fuerint, vel cessent, vel segregentur.

76. Quod non oportet intra sanctos ambitus, etc., *ut supra pag.* 630.

97. Eos qui vel cum uxore cohabitant, etc., *ut pag.* 630.

Et const. 3, tit. 12, lib. 1, cod. vetat, ne qui ad templa confugiunt, in iis edant aut dormiant: sed secure in vestibulis, atriis, porticibus, balneis, et hortis degant.

CAP. III. — *De spernentibus agapas, et quod inde partes auferre non oporteat.*

Concilii Grangresis canon 11.

11. Si quis contemnat eos qui agapas ex fide faciunt, et propter Dei honorem fratres convocant, et nolit vocationibus communicare, quod fit vilipendat, sit anathema.

Concilii Laodiceni canon 27.

27. Quod non oportet eos qui sacrati sunt ordinis, vel clericos vel laicos, ad agapas vocatos, partes tollere, eo quod ignominia inuratur ordini sacerdotali.

A σίαις, τὰς λεγομένας ἀγάπας ποιεῖν, καὶ ἔνδον ἐν τῷ οἴκῳ ἐσθίειν, καὶ ἀκούδιτα στρωννύειν. Οἱ δὲ τοῦτο ποιεῖν τολμῶντες, ἢ παυσάσθωσαν, ἢ ἀφοριζέσθωσαν.

οϛ'. Ὅτι οὐ χρὴ ἔνδον τῶν ἱερῶν περιβόλων, κ.τ.λ.

ϛζ'. Τοὺς ἢ γαμετῇ συνοικοῦντας, κ. τ. λ.

Καὶ ἡ γ' διάταξις τοῦ ιβ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ., κωλύει τοὺς προσφεύγοντας, ἐσθίειν ἢ καθεύδειν ἐντὸς τοῦ ναοῦ, ἀλλὰ διάγειν ἀσφαλῶς ἐντὸς τῶν πρώτων θυρῶν, ἐν αὐλαῖς, καὶ στοαῖς, καὶ λουτροῖς, καὶ κήποις.

ΚΕΦΑΛ. Γ'. — Περὶ τῶν εὐτελιζόντων τὰς γινομένας ἀγάπας, καὶ ὅτι οὐ δεῖ μέρη λαμβάνειν εἰς ἀγάπην.

B Συνόδου Γαγγρῶν κανὼν ια'.

ια'. Εἴ τις καταφρονοίη τῶν ἐκ πίστεως ἀγάπας ποιούντων καὶ διὰ τιμὴν τοῦ Κυρίου συγκαλούντων τοὺς ἀδελφοὺς, καὶ μὴ ἐθέλοι κοινωνεῖν ταῖς κλήσεσι διὰ τὸ ἐξευτελίζειν τὸ γινόμενον, ἀνάθεμα ἔστω.

Συνόδου Λαοδικείας κανὼν κζ'.

κζ'. Ὅτι οὐ δεῖ ἱερατικοὺς, ἢ κληρικοὺς, ἢ λαϊκοὺς, καλουμένους εἰς ἀγάπην μέρη αἴρειν, διὰ τὸ μὴ ὕβριν τῇ τάξει προστρίβεσθαι τῇ ἐκκλησιαστικῇ.

ΤΙΤΛΟΣ ϛ'.

ΠΕΡΙ ΚΑΡΠΟΦΟΡΙΩΝ.

[170] TITULUS VI.

DE FRUCTUUM OBLATIONIBUS.

CAPUT PRIMUM. — *Apostolorum canones* 3, 4, 71.

34. Si quis episcopus vel presbyter præter Domini ordinationem, etc., *ut supra pag.* 442.

71 [70]. Si quis Christianus oleum deferat in templum gentium, vel in synagogam Judæorum in eorum festis, ut lucernam accendat, segregetur. *Concilii œcumenici* VI *canones* 28, 57, 79, 99.

28. Quoniam in diversis ecclesiis intelleximus, una, etc., *ut pag.* 598.

57. Quod ad altare mel et lac offerre non oportet.

79. Absqua ullis secundinis ex virgine partum esse confitentes ut qui sine semine constitutus sit, idque toti gregi annuntiantes, eos qui propter ignorantiam aliquid faciunt quod non decet, correctioni subjicimus. Quare quoniam aliqui post sanctæ Christi Dei nostri nativitatis diem similam coquere ostenduntur, et eam sibi invicem impertiri, honoris scilicet prætextu secundinarum im-

C ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ. — Ἀποστόλων κανὼν γ', δ', οα'.

γ', δ'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος παρὰ τὴν τοῦ Κυρίου διάταξιν, *usque ad* κληρικοῖς.

οα'. Εἴ τις Χριστιανὸς, ἔλαιον ἀπενέγκοι εἰς ἱερὸν ἐθνῶν ἢ εἰς συναγωγὴν Ἰουδαίων ἐν ταῖς ἑορταῖς αὐτῶν, ἢ λύχνους ἀνάψοι, ἀφοριζέσθω.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν κη', νζ', οθ', ϛ'θ'.

D κη'. Ἐπειδὴ ἐν διαφόροις ἐκκλησίαις μεμαθήκαμεν, σταφυλῆς, κ. τ. λ.

νζ'. Ὅτι οὐ χρὴ ἐν τοῖς θυσιαστηρίοις μέλι καὶ γάλα προσφέρεσθαι.

οθ'. Ἀλόχευτον τὸν ἐκ τῆς Παρθένου θεὸν Τόκον ὁμολογοῦντες, ὡς καὶ ἀσπόρως συστάντα, καὶ πᾶσι τῷ ποιμνίῳ κηρύσσοντες, τοὺς ἐξ ἀγνοίας πραττομένας τι τῶν οὐ δεόντων, διορθώτει καθυποβάλλομεν. Ὅθεν ἐπειδή τινες μετὰ τὴν ἡμέραν τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν γεννήσεως δείκνυνται σεμίδαλιν ἕψοντες, καὶ ταύτης ἀλλήλοις μεταδιδόντες προφάσει τιμῆς δῆθεν λοχείων τῆς ἀχράντου Παρθενομήτορος,

Digitized by Google Распознавание текста ABK/FR

ὁρίζομεν μηδὲν τοιοῦτον ὑπὸ τῶν πιστῶν τελεῖσθαι· οὐ γὰρ τιμή γε τοῦτο τῇ Παρθένῳ, τῇ ὑπὲρ νοῦν καὶ λόγον τὸν ἀχώρητον τεκούσῃ Λόγον σαρκί, ἐκ τῶν κοινῶν τε καὶ καθ' ἡμᾶς, τὰ κατὰ τὸν ἄφραστον αὐτῆς τόκον ὁρίζειν ὑπογράφειν. Εἴ τις οὖν ἀπὸ τοῦ νῦν πράττων τοιοῦτον φωραθείη, εἰ μὲν κληρικὸς εἴη καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ϙθ'. Καὶ τοῦτο δὲ ἐν τῇ Ἀρμενίων χώρᾳ γίνεσθαι μεμαθήκαμεν, ὥς τινες ἔνδον ἐν τοῖς ἱεροῖς θυσιαστηρίοις μέλη κρεῶν ἕψοντες, προσάγουσιν ἀφαιρέματα τοῖς ἱερεῦσιν Ἰουδαϊκῶς ἀπονέμοντες. Ὅθεν ἡμεῖς τὸ τῆς ἐκκλησίας φυλάττοντες ἀκηλίδωτον, ὁρίζομεν, μὴ ἐξεῖναί τινι τῶν ἱερέων ἀφωρισμένα κρεῶν μέλη παρὰ τῶν προσαγόντων λαμβάνειν, ἀλλ' οἷς ἄρεσθῇ ὁ προσάγων, τούτοις ἀρκεισθωσαν, ἔξω τῆς ἐκκλησίας τῆς τοιαύτης γινομένης προσαγωγῆς· εἰ δέ τις μὴ τοῦτο οὕτω ποιῇ, ἀφορίζέσθω.

Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κεφ. β'.

Τὰ δὲ ἀδίκως ληφθέντα, κ. τ. λ.

Ἡ λη' διάταξις τοῦ γ' τίτ. τοῦ α' βιβλ. φησὶν, ὅτι οὐ δεῖ τοὺς ἐπισκόπους ἢ τοὺς κληρικοὺς, ἀναγκάζειν τινὰς καρποφορεῖν, ἢ ἀγγαρείας διδόναι, ἢ διὰ ταῦτα ἀφορίζειν, ἢ ἀναθεματίζειν, ἢ μὴ διδόναι κοινωνίαν, ἢ μὴ βαπτίζειν, καὶ ἔθος ἐκράτησε τοιοῦτον. Ὁ δὲ παραβαίνων, ἐκπίπτει τῆς Ἐκκλησίας καὶ τῆς διοικήσεως αὐτῆς, καὶ δίδωσι δέκα λίτρας. Ταῦτα δὲ κρατεῖ ἐν μόνῃ τῇ βασιλευούσῃ καὶ τῇ ἐνορίᾳ αὐτῆς, καὶ τοῖς ἀνήκουσι τόποις τοῖς ὑπὸ τοῦ πατριάρχου χειροτονουμένοις μητροπολίταις, ἢ τοῖς ἐξ ἐκείνων γινομένοις ἐπισκόποις· ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ α' κεφ. του β' τίτ. τούτου τοῦ συντάγματος περὶ προσφορῶν, καὶ τῶν δωρουμένων ἢ καταλιμπανέντων εὐαγέσιν οἴκοις.

ΚΕΦΑΛ. Β'. — Τίνας δεῖ λαμβάνειν ἢ διδόναι καρποφορίαν, καὶ περὶ τῶν λαμβάνοντων ἀπὸ ἐκκλησίας κηρὸν ἢ ἔλαιον.

Ἀποστόλων κανὼν οβ'.

οβ'. Εἴ τις κληρικὸς ἢ λαϊκὸς, ἀπὸ τῆς ἁγίας ἐκκλησίας ἀφέληται κηρὸν ἢ ἔλαιον, ἀφοριζέσθω, καὶ τὸ ἐπίπεμπτον προστιθέτω μεθ' οὗ ἔλαβεν.

Συνόδου Γαγγρῶν κανὼν ζ', η'.

ζ'. Εἴ τις καρποφορίας ἐκκλησιαστικὰς ἐθέλοι λαμβάνειν, ἢ διδόναι ἔξω τῆς ἐκκλησίας παρὰ γνώμην τοῦ ἐπισκόπου, ἢ τοῦ ἐγχειρισμένου τὰ τοιαῦτα, καὶ μὴ μετὰ γνώμης αὐτοῦ ἐθέλοι πράττειν, ἀνάθεμα ἔστω.

η'. Εἴ τις διδοῖ ἢ λαμβάνει καρποφορίαν παρεκτὸς τοῦ ἐπισκόπου, ἢ τοῦ ἐπιτεταγμένου εἰς οἰκονομίαν εὐποιΐας, καὶ ὁ διδοὺς καὶ ὁ λαμβάνων ἀνάθεμα ἔστω.

Θεοφίλου ἐκ τοῦ Ὑπομνηστικοῦ κανὼν ζ'.

ζ'. Τὰ προσφερόμενα εἰς λόγον θυσίας, μετὰ τὰ ἀναλισκόμενα εις τὴν τῶν μυστηρίων χρείαν, οἱ κληρικοὶ διανεμέσθωσαν· καὶ μήτε κατηχούμενος ἐκ

pollutæ virginis matris, statuimus, ut deinceps nihil tale fiat a fidelibus. Neque enim hoc honor est virginis, quæ supra mentem et sermonem, quod comprehendi non potest verbum peperit carne, ex communibus et iis quæ in 171 nobis fiunt, inenarrabilem ejus partum definire, metiri, ac describere. Si quis ergo deinceps hoc facere aggressus fuerit, si sit quidem clericus, deponatur : si vero laicus, segregetur.

25. Præterea renovamus etiam canonem, qui dicit agrestes, et quæ sunt in provincia parochias inconcussas manere apud episcopos, qui eas possident : maxime, si triginta annorum spatio eas sine vi possidentes administraverint. Si autem intra triginta annos fuit vel fuerit aliqua de iis controversia, licere iis, qui se injuria affectos dicunt, de eo actionem apud synodum provinciæ.

36. Renovantes quæ a sanctis centum quinquaginta Patribus, etc., *ut supra pag.* 474.

37. Quoniam diversis temporibus, etc., *ut supra pag.* 487.

191 38. Canonem qui a Patribus factus est, nos quoque observamus, qui sic edicit : Si qua, civitas ab imperiali potestate innovata est, vel rursus innovata fuerit, civiles ac publicos typos ecclesiasticarum quoque rerum ordo consequatur.

39. Cum frater et comminister noster Joannes insulæ Cypri præsul, etc., *ut supra pag.* 474.

Textus. Const. 6, tit. 2, lib. 1. Cod. ait quod, Quæ canonicæ dubietates per universum Illyricum emergunt, eas non absque scientia antistitis urbis Constantinopolitanæ (quæ veteris Romæ prærogativas habet) ejusque [sacerdotales] conventus oporteat decidi. Const. vero 16, tit. 2, Lib. 1 Cod. abrogat quæcunque tempore tyrannidis adversus Zenonem [institutæ], in **192** præjudicium sacerdotum ecclesiasticive status, contra anteriorum principum sanctiones facta sunt, et quæ antea obtinuissent renovat, ac Constantinopolitanum ante alios residendi jus habere dicit. Const. 35, tit. 3, lib. II

A Περὶ τῶν τοὺς ἰδίους λαοὺς ἐγκαταλιμπανόντων.

οὐ'. Πάλιν ἤρεσεν, ὥστε μηδενὶ ἐξεῖναι ἐπισκόπῳ, καταλειφθείσης τῆς αὐθεντικῆς αὐτοῦ καθέδρας, πρός τινα Ἐκκλησίαν ἐν διοικήσει καθεστῶσαν ἑαυτὸν ἀποφέρειν, ἢ ἐν οἰκείῳ πράγματι, ὑπὲρ ὁ χρὴ ἐπὶ πολὺ ἀπασχολουμένῳ, ἀμελεῖν τῆς φροντίδος καὶ τῆς συνεχείας τοῦ ἰδίου θρόνου.

Περὶ ἐκδίκων τῶν Ἐκκλησιῶν τῶν ὀφειλόντων ἀπὸ τοῦ βασιλέως αἰτηθῆναι.

οε'. Σύμπασιν ἔδοξεν αἰτῆσαι ἀπὸ τῶν βασιλέων διὰ τὴν τῶν πενήτων κάκωσιν, ὧν τατς ἐπαχθείαις ἀπαύστως ἡ Ἐκκλησία παρενοχλεῖται, ὥστε ἐνδίκους τούτοις μετὰ τῆς τῶν ἐπισκόπων προνοίας ἐπιλεγῆναι, κατὰ τῆς τῶν πλουσίων τυραννίδος.

B Περὶ ἐλευθεριῶν.

πβ'. Ὁμοίως ἤρεσεν, ἵνα περὶ τῶν ἐν τῇ Ἐκκλησίᾳ γινομένων ἐλευθεριῶν, ἀπὸ τοῦ βασίλεως αἴτησις γένηται.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν κε', λς', λζ', λη', λθ'.

κε'. Πρὸς τοῖς ἄλλοις ἅπασιν ἀνανεοῦμεν καὶ τὸν κανόνα τὸν διαγορεύοντα, τὰς καθ' ἑκάστην Ἐκκλησίαν ἀγροικικὰς παροικίας ἢ ἐγχωρίους, μένειν ἀπαρασαλεύτους παρὰ τοῖς κατέχουσιν αὐτὰς ἐπισκόποις, καὶ μάλιστα εἰ τριακονταετῆ χρόνον ταύτας ἀδιάστως διακατέχοντες ὡκονόμησαν. Εἰ δὲ ἐντὸς τῶν λ' ἐτῶν γεγένηταί τις, ἢ γίνοιτο περὶ αὐτῶν ἀμφισβήτησις, ἐξεῖναι τοῖς λέγουσιν ἠδικῆσθαι, περὶ τούτων κινεῖν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας.

C λς'. Ἀνανεούμενοι τὰ παρὰ τῶν ργ' ἁγίων Πατέρων, κ. τ. λ.

λζ'. Ἐπειδὴ κατὰ διαφόρους καιρούς, κ. τ. λ.

λη'. Τὸν ἐκ τῶν Πατέρων ἡμῶν τεθέντα κανόνα καὶ ἡμεῖς παραφυλάττομεν, τὸν οὕτω διαγορεύοντα· Εἴ τις ἐκ βασιλικῆς ἐξουσίας ἐκαινίσθη πόλις, ἢ αὖθις καινισθείη τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις, καὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων ἡ τάξις ἀκολουθείτω.

λθ'. Τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Ἰωάννου τοῦ τῆς Κυπρίων νήσου, κ. τ. λ.

D Ἡ ς' διάταξις τοῦ β' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὅτι τὰς ἀναφυομένας κανονικὰς ἀμφισβητήσεις ἐν ὅλῳ τῷ Ἰλλυρικῷ, οὐ δεῖ τέμνεσθαι παρὰ γνώμην τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ τῆς αὐτοῦ συνόδου, ἥτις ἔχει τὰ προνόμια τῆς ἀρχαίας Ῥώμης. Ἡ δὲ ις' διάτ. τοῦ αὐτοῦ τίτ. ἀκυροῖ τὰ γενόμενα ἐν τῇ κατὰ Ζήνωνος, τυραννίδι παρὰ τὰ πρώην βασιλικὰ θεσπίσματα περὶ ἱερέων ἢ καταστάσεως ἐκκλησιαστικῆς, καὶ τὰ πρώην ἀνανεοῦται, καί φησι, τὸν Κωνσταντινουπόλεως ἔχειν τῶν ἄλλων τὴν προεδρίαν. Ἡ δὲ λε' διάτ. τοῦ γ' τίτ. τοῦ α' βιβλ. λέγει, ὅτι Ἑκάστη πόλις ἴδιον ἐπίσκοπον

[72] Conc. Carthag. v can. 5 ; Afric. c. 38. [73] Conc. Carthag. v, c. 93. Afric. can. 42. [75] Conc. Afric. c. 49.

(58) Bonifacius in conc. Carthag. anni 525, ex concil. vi, sub Aurelio.

(59) In villa suburbana.

Digitized by Google Распознавание текста ABK/FR

ἐχέτω. Καὶ κἂν διὰ θείας ἀντιγραφῆς τολμήσοι τις ἀφελέσθαι πόλιν τοῦ ἰδίου ἐπισκόπου, ἢ τῆς περιοικίδων αὐτῆς, ἢ τινος ἄλλου δικαίου ; γυμνοῦται τῶν ὄντων καὶ ἀτιμοῦται. Ἐξῄρηται δὲ ἡ Τομέων Σκυθίας πόλις · ὁ γὰρ ἐπίσκοπος αὐτῆς, καὶ τῶν λοιπῶν προνοεῖ · καὶ ἡ Λεοντόπολις Ἰσαυρίας ὑπὸ τὸν ἐπίσκοπόν ἐστιν Ἰσαυροπολεως. Ὅτι δὲ καὶ ἡ Κωνσταντινουπόλεως ἔχει τὰ προνόμια τῆς ἀρχαίας Ῥώμης, εἴρηται καὶ βιβλ. ια' τοῦ κώδ.,τίτ. κα', διατ. α' καὶ μόνη. Ἡ δὲ α' διάτ. τοῦ ιζ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ., Ῥώμην αὐτὴν ὀνομάζεσθαι λέγει.

A Unaquæque, inquit, civitas proprium episcopum habeto. Et si quis vel per divinum rescriptum civitatem [aliquam] aut suo episcopo, aut territorio, aut alio quopiam jure privare audeat : exuitur bonis, et infamis redditur, Excipitur autem Tomensium Scythiæ civitas. Illius enim episcopus reliquarum etiam [civitatum] curam gerit.[Tum] etiam Leontopolis Isauri subest episcopo Isauropolitano. Quod porro Constantinopolis privilegia veteris Romæ habeat, dicitur lib. II cod. tit. 21, const. unica. Const. vero 1 tit. 17, lib. I, cod. ipsam [etiam] Romam nominari dicit.

ΚΕΦΑΛ. Β'. — Περὶ τοῦ μὴ ὡς ἔτυχεν ἀποδημεῖν ἐπίσκοπον ἢ κληρικὸν ἐν ἑτέρᾳ διάγειν παροικίᾳ.

CAP. II. — *Ne temere episcopus peregrinetur, neque clericus in aliena degat parœcia.*

Ἀποστόλων κανὼν ιδ', ιε'.

B *Apostolorum canones* 14, 15.

ιδ'. Ἐπίσκοπον μὴ ἐξεῖναι καταλείψαντα τὴν ἑαυτοῦ παροικίαν, ἑτέρᾳ ἐπιπηδᾷν, κἂν ὑπὸ πλειόνων ἀναγκάζηται · εἰ μή τις εὔλογος αἰτία ᾖ, ἡ τοῦτο βιαζομένη αὐτὸν ποιεῖν, ὡς πλέον τι κέρδος δυναμένου αὐτοῦ τοῖς ἐκεῖσε λόγῳ εὐσεβείας συμβαλέσθαι · καὶ τοῦτο δὲ οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ κρίσει πολλῶν ἐπισκόπων καὶ παρακλήσει μεγίστῃ.

14. Episcopo (60) non licet, sua relicta parochia, ad aliam transilire, etiamsi a pluribus cogatur : nisi sit aliqua causa rationi consentanea, quæ eum cogat hoc facere, utpote ad majus lucrum, cum possit ipse iis, qui illic habitant, pietatis verbo conferre : idque non ex se, sed multorum episcoporum judicio et maxima exhortatione.

ιε'. Εἴ τις πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τῶν κληρικῶν, ἀπολείψας τὴν ἑαυτοῦ παροικίαν, εἰς ἑτέραν ἀπέλθοι, καὶ παντελῶς μεταστὰς διατρίβοι ἐν ἄλλῃ παροικίᾳ παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου, τοῦτον κελεύομεν μηκέτι λειτουργεῖν · εἰ μάλιστα προσκαλουμένου αὐτὸν τοῦ ἐπισκόπου αὐτοῦ ἐπανελθεῖν, οὐχ ὑπήκουσεν, ἐπιμένων τῇ ἀταξίᾳ, ὡς λαϊκὸς μέντοι ἐκεῖσε κοινωνείτω.

15. Si quis [74] presbyter, vel diaconus, vel omnino ex clericorum catalogo, relicta sua parochia, in aliam abscesserit, et cum penitus transierit, præter sui episcopi sententiam in alia parochia maneat, eum non amplius, [193] celebrare jubemus, maxime si, eum adhortante episcopo ut rediret, non paruerit, in contumacia et C insolentia perseverans : is tamen ut laicus communicet.

Συνόδου Ἀγκύρας κανὼν ιη'.

Εἴ τινες ἐπίσκοποι καταστάθέντες, κ. τ. λ.

Concilii Ancyrani canon 18.

Si qui constituti sunt episcopi, etc., *ut supra*, *pag.* 506.

Συνόδου Ἀντιοχείας κανὼν γ', ιγ', κβ'.

γ'. Εἴ τις πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τῶν τοῦ ἱερατείου, καταλιπὼν τὴν ἑαυτοῦ παροικίαν εἰς ἑτέραν ἀπέλθοι, ἔπειτα παντελῶς μεταστὰς, εἰς ἑτέραν παροικίαν διατρίβειν πειρᾶται ἐπὶ πολλῷ χρόνῳ μηκέτι λειτουργεῖν, εἰ μάλιστα καλοῦντι τῷ ἐπισκόπῳ τῷ ἰδίῳ, καὶ ἐπανελθεῖν εἰς τὴν παροικίαν τὴν ἑαυτοῦ παραινοῦντι, μὴ ὑπακοόοι · εἰ δὲ καὶ ἐπιμένοι τῇ ἀταξίᾳ, παντελῶς αὐτὸν καθαιρεῖσθαι τῆς λειτουργίας, ὡς μηκέτι χώραν ἔχειν ἀποκαταστάσεως . εἰ δὲ καθαιρεθέντα διὰ ταύτην τὴν αἰτίαν δέχοιτο ἕτερος ἐπίσκοπος, κἀκεῖνον ἐπιτιμίας τυγχάνειν ὑπὸ κοινῆς συνόδου, ὡς παραλύοντα τοὺς θεσμοὺς τοὺς ἐκκλησιαστικούς.

Concilii Antiochensis canones 3, 13, 22.

3. Si quis presbyter, vel diaconus, vel quis omnino ex sacerdotali ordine relicta sua parochia in aliam abierit, deinde omnino commigrans, in alia parochia longo tempore versari conetur, ne amplius celebret, maxime si proprio vocanti episcopo ut in suam parochiam redeat, exhortantique non pareat. Si autem in insolentia (ἀταξίᾳ), perseverat, is omnino a sacro ministerio depouatur. Si autem eum, qui propter hanc D causam depositus est, alius episcopus receperit, ille quoque a communi synodo puniatur, ut qui ritus ecclesiasticos dissolvat.

ιγ'. Μηδένα ἐπίσκοπον τολμᾷν, κ. τ. λ.

13. Nullus episcopus audeat, etc., *ut pag.* 475.

κβ'. Ἐπίσκοπον μὴ ἐπιβαίνειν ἀλλοτρίᾳ πόλει, κ. τ. λ.

22. Episcopus in alienam civitatem, etc., *ut pag.* 478.

Συνόδου Λαοδικείας κανὼν μα', μβ'.

Concilii Laodiceni canones 41, 42.

μα'. Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν, ἄνευ κανονικῶν γραμμάτων ὁδεύειν.

41. Quod non oportet eum qui est sacratus vel clericus sine canonicis litteris iter ingredi.

74 Nic. can. 16, Antioch. can. 3. — Vide lib. 3, *De vita Constantini*, cap. 61, edit. Valesianæ.

(60) Citantur Constantini epist. 2, ad Euseb. et Antioch. episcopos scriptæ. Exstant apud Euseb. *De vita Constant.* lib. III, cap. 57.

Digitized by Google Распознавание текста ABK/FR

42. Quod non oportet eos qui sunt sacrati vel clerici, sine jussu episcopi iter ingredi.

Concilii Constantinopolitani canon 2.

2. Episcopi ad Ecclesias quæ sunt ultra suam diœcesim, etc., *ut supra pag.* 470.

Concilii Chalcedonensis canones 13, 23.

13. Externos clericos [75] et ignotos in alia civitate sine proprii episcopi commendatitiis litteris nusquam ullo modo ministrare.

23. Pervenit ad aures nostras, quod in provinciis, canonibus constitutæ episcopum synodi non fiant, et ex eo multa ecclesiastica negligantur quæ correctione indigent. Statuit ergo sancta synodus secundum sanctorum Patrum canones, ut bis in anno eumdem in locum conveniant uniuscujusque provinciæ episcopi, ut metropolitanus melius esse perspexerit, et singula emergentia corrigant: episcopi autem, qui non conveniunt, si in eadem metropoli versentur, atque adeo sani sint et ab omni inexcusabili et necessario negotio liberi, fraterne reprehendantur.

ἀναισχυντοῦντες, καὶ ἄκοντας αὐτοὺς διὰ τοῦ αὐτοῦ τόπους.

Concilii Sardicensi canones 3, 11, 12, 16.

3. Osius episcopus dixit: Hoc quoque necessario est adjiciendum, etc., *ut supra pag.* 471.

11. Hosius episcopus dixit: Hoc quoque definire debemus, etc., *ut supra pag.* 606.

12. Hosius episcopus dixit: Quia nihil est prætermittendum, [195] hoc quoque definiatur. Quidam fratres et coepiscopi in civitatibus, in quibus episcopi constituuntur, videntur valde pauca, quæ sibi sint propria, possidere; in aliis autem locis magnas possessiones, ex quibus etiam possunt opem ferre pauperibus: iis igitur ita esse concedendum judico, ut si in suas possessiones venturi sunt, et fructus suos collecturi, tribus diebus Dominicis, id est, tribus septimanis in suis possessionibus degant; et in Ecclesia quæ prope est, in qua presbyter populum congregat, ne congregationis expers esse videatur, conveniat, et officia divina obeat; et ne frequentius in civitate, in qua est episcopus, absit. Eo enim modo et res ejus propter ipsius absentiam nihil detrimenti patientur, et arrogantiæ ac superbiæ crimen effugere videbitur.

Omnes episcopi dixerunt: Placet hæc quoque constitutio.

16. Aetius episcopus dixit: Non ignoratis qualis quantaque sit Thessalonicensium metropolis. Sæpe itaque ad eam ex provinciis presbyteri et diaconi accedunt, et brevis temporis mora non contenti, permanent, et omne tempus illic agentes transigunt; vel vix tandem post plurimum tempus in suas Ecclesias reverti coguntur. De iis ergo definiendum est.

[75] Dist. 71.

μβ'. Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν, ἄνευ κελεύσεως ἐπισκόπου ὁδεύειν.

Συνόδου Κωνσταντινουπόλεως κανὼν β'.

β'. Τοὺς ὑπὲρ διοίκησιν ἐπισκόπους, κ. τ. λ.

Συνόδου Χαλκηδόνος κανὼν ιγ', κγ'.

ιγ'. Ξένους κληρικοὺς καὶ ἀναγνώστας, ἐν ἑτέρᾳ πόλει δίχα συστατικῶν γραμμάτων τοῦ ἰδίου ἐπισκόπου, μηδὲ ὅλου μηδαμοῦ λειτουργεῖν.

κγ'. Ἦλθεν εἰς ἀκοὰς τῆς ἁγίας συνόδου, ὡς κληρικοί τινες καὶ μονάζοντες, μηδὲν ἐγκεχειρισμένοι ὑπὸ τοῦ ἰδίου ἐπισκόπου, ἔστι δὲ ὅτε καὶ ἀκοινώνητοι γενόμενοι παρ' αὐτοῦ, καταλαμβάνοντες τὴν βασιλεύουσαν Κωνσταντινούπολιν, ἐπὶ πολὺν ἐν αὐτῇ διατρίβουσι, ταραχὰς ἐμποιοῦντες καὶ θορυβοῦντες τὴν ἐκκλησιαστικὴν κατάστασιν, ἀνατρέπουσί τε οἴκους τινῶν· ὥρισε τοίνυν ἡ ἁγία σύνοδος, τοὺς τοιούτους ὑπομιμνήσκεσθαι μὲν πρότερον διὰ τοῦ ἐκδίκου τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης Ἐκκλησίας, ἐπὶ τῷ ἐξελθεῖν τῆς βασιλευούσης πόλεως. Εἰ δὲ τοῖς αὐτοῖς πράγμασιν ἐπιμένοιεν ἐκδίκου ἐκβάλλεσθαι, καὶ τοὺς ἰδίους καταλαμβάνειν

Συνόδου Σαρδικῆς κανὼν γ', ια', ιβ', ις'.

γ'. Ὅσιος ἐπίσκοπος εἶπεν· Ἀναγκαῖον καὶ τοῦτο προστεθῆναι, κ. τ. λ.

ια'. Ὅσιος ἐπίσκοπος εἶπε· Καὶ τοῦτο δὲ ὁρίσαι ὀφείλομεν, ἵνα ὁ ἐπίσκοπος, κ. τ. λ.

ιβ'. Ὅσιος ἐπίσκοπος εἶπεν· Ἐπειδὴ οὐδὲν ἐστι παραλειπτέον· καὶ τοῦτο ὁρισθήτω. Τινὲς τῶν ἀδελφῶν καὶ συνεπισκόπων, ἐν ταῖς πόλεσιν ἐν αἷς ἐπίσκοποι καθίστανται, δοκοῦσι κεκτῆσθαι σφόδρα ὀλίγα ὑπάρχοντα ἴδια, ἐν ἑτέροις δὲ τόποις κτήσεις μεγάλας, ἐξ ὧν καὶ ἐπικουρεῖν δυνατοί εἰσι τοῖς πένησιν· οὕτως αὐτοῖς συγχωρητέον εἶναι, ἵνα εἰ μέλλοιεν εἰς τὰς ἑαυτῶν παραγίνεσθαι κτήσεις, καὶ τὴν συγκομιδὴν τῶν καρπῶν ποιεῖσθαι, τρεῖς Κυριακὰς ἡμέρας, τουτέστι τρεῖς ἑβδομάδας, ἐν τοῖς ἑαυτῶν κτήμασιν αὐτοὺς διάγειν, καὶ ἐν τῇ ἀγχιστεούσῃ Ἐκκλησίᾳ, ἐν ᾗ πρεσβύτερος συνάγει, ὑπὲρ τοῦ μὴ χωρὶς συνελεύσεως αὐτὸν δοκεῖν εἶναι, συνέρχεσθαι καὶ λειτουργεῖν· καὶ μὴ συνεχέστερον εἰς τὴν πόλιν ἐν ᾗ ἐστιν ἐπίσκοπος παραγίγνοιτο. Τοῦτον γὰρ τὸν τρόπον καὶ τὰ οἰκεῖα αὐτοῦ πράγματα παρὰ τὴν αὐτοῦ ἀπουσίαν, οὐδὲ μίαν ὑπομενεῖ ζημίαν, καὶ τὸ τῆς ἀλαζονείας καὶ τοῦ τύφου ἐγκλίνειν δόξειεν ἔγκλημα.

Ἅπαντες οἱ ἐπίσκοποι εἶπον· Ἀρέσκει καὶ αὕτη ἡ διατύπωσις.

ις'. Ἀέτιος ἐπίσκοπος εἶπεν· Οὐκ ἀγνοεῖτε ἐποίαν καὶ πηλίκην τυγχάνει ἡ τῶν Θεσσαλονικέων μητρόπολις. Πολλάκις τοιγαροῦν εἰς ταύτην ἀπὸ ἑτέρων ἐπαρχιῶν πρεσβύτεροι καὶ διάκονοι παραγίνονται· καὶ οὐκ ἀρκούμενοι βραχείᾳ διαγωγῇ χρόνου, ἐναπομένουσι, καὶ ἅπαντα τὸν χρόνον αὐτόθι ποιοῦντες διατελοῦσιν, ἢ μολις μετὰ πλεῖστον χρόνον εἰς τὰ ἑαυτῶν ἐπανιέναι Ἐκκλησίας ἀναγκάζονται. Περὶ τούτων οὖν ὁριστέον.

Digitized by Google Распознавание текста ABKFR

Ἅπαντες οἱ ἐπίσκοποι εἶπον· Ἀρέσκει. A Omnes episcopi dixerunt : Placet.

Ὅσιος ἐπίσκοπος εἶπεν· Οὗτοι οἱ ὅροι, οἱ καὶ ἐπὶ τῶν ἐπισκόπων ὡρισμένοι, φυλαττέσθωσαν καὶ ἐπὶ τούτων τῶν προσώπων.

Hosius episcopus dixit : Hæc decreta, quæ de episcopis constituta sunt, serventur etiam in ejusmodi personis.

Συνόδου Καρθαγέννης κανὼν κγ', οα', οδ'.

196 *Concilii Carthaginensis canones* 23, 71, 74.

Ὥστε τοὺς ἐπισκόπους πέραν θάλάσσης μὴ ἀποδημεῖν.

Ut episcopi trans mare non proficiscantur.

κγ'. Ὁμοίως ἐπίσκοποι πέραν θαλάσσης μὴ ἀποδημείτωσαν, εἰ μὴ μετὰ ψηφίσματος τῆς πρώτης καθέδρας τοῦ ἰδίου ἑκάστης χώρας ἐπισκόπου, τουτέστιν εἰ μὴ ἀπ' αὐτοῦ πρωτεύοντος κατ' ἐξαίρετον λάβῃ τὴν ἧτις λέγεται ἀπολυτικὴ τετυπωμένην, ἤτοι παραθεσιν.

Item ut episcopi trans mare non proficiscantur, nisi consulto primæ sedis episcopo suæ cujusque provinciæ ut ab eo præcipue possint [*ms.* a quo possint] sumere formatam vel condemnationem.

Περὶ τῶν τοὺς ἰδίους λαοὺς ἐγκαταλιμπανόντων.

De his, qui plebes proprias derelinquunt.

οα'. Πάλιν ἤρεσεν ὥστε μηδενὶ ἐξεῖναι ἐπισκόπῳ, B κ. τ. λ.

71. Rursus placuit, etc., *ut pag.* 655.

Περὶ τοῦ μὴ ὀφείλειν ἐπίσκοπον ἐπιξενούμενον, καθέζεσθαι ἐν ᾗ καθέδρᾳ ἐπιξενοῦται.

Ne interventor (61) *episcopus cathedram, ubi interventor est, teneat.*

οδ'. Ὁμοίως ὡρίσθη, ὥστε μηδενὶ ἐξεῖναι μεσίτῃ τὴν καθέδραν κατέχειν, ᾗτινι μεσίτης δίδοται διὰ οἱασδήποτε τῶν λαῶν σπουδῆς ἢ διχοστασίας, ἀλλὰ σπουδάζειν ἐντὸς ἐνιαυτοῦ, τοῖς αὐτοῖς προνοεῖσθαι ἐπίσκοπον· εἰ δὲ περὶ τοῦτο ἀμελήσοι μετὰ τὴν περαίωσιν τοῦ ἐνιαυτοῦ, ἕτερος ψηφισθῇ μεσίτης.

74. Item constitutum est[76] (62), ut nulli intercessori licitum sit cathedram, cui intercessor datus est, quibuslibet populorum studiis vel seditionibus retinere, sed dare operam, ut intra annum eisdem episcopum provideant. Quod si neglexerit, anno exempto interventor alius tribuatur.

Συνόδου οἰκουμενικῆς ἕκτης κανόνες ιζ', ιη', κ'.

Concilii œcumenici VI *canones* 17, 18, 20.

ιζ'. Ἐπειδήπερ διαφόρων Ἐκκλησιῶν κληρικοί, κ. τ. λ.

17. Quoniam diversarum Ecclesiarum, etc., *ut sup. pag.* 546.

ιη'. Τὰς προφάσει βαρβαρικῆς ἐπιδρομῆς, κ. τ. λ.

18. Eos qui barbaricæ incursionis prætextu, etc., *ut pag.* 547.

κ'. Μὴ ἐξέστω ἐπισκόπῳ εἰς ἑτέραν, κ. τ. λ. C

20. Ne liceat episcopo, etc., *ut ibid.*

Συνόδου Νικαίας τὸ δεύτερον κανὼν ι'.

Concilii Nicæni II *canon* 10.

Ὅτι οὐ δεῖ κληρικοὺς ἀπολιπεῖν τὴν ἑαυτῶν παροικίαν, καὶ ἐν ἑτέρᾳ ἀφικέσθαι χωρὶς εἰδήσεως τοῦ ἐπισκόπου.

Quod non oportet clericos, sua relicta parœcia, in alium excurrere, nescio episcopo.

ι'. Ἐπειδή τινες τῶν κληρικῶν παραλογιζόμενοι τὴν κανονικὴν διάταξιν, ἀπολιπόντες τὴν ἑαυτῶν παροικίαν, εἰς ἑτέραν παροικίαν ἐκτρέχουσι, κατὰ πλεῖστον δὲ ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει, καὶ εἰς ἄρχοντας προσεδρεύουσιν, ἐν τοῖς αὐτῶν εὐκτηρίοις τὰς λειτουργίας ποιοῦντες, τούτους οὖν χωρὶς τοῦ ἰδίου ἐπισκόπου καὶ τοῦ Κωνσταντινουπόλεως, οὐκ ἔξεστι δεχθῆναι ἐν οἱῳδήποτε ῥίκῳ ἢ ἐκκλησίᾳ. Εἰ δέ τις τοῦτο ποιήσει, ἐπιμένων καθαιρείσθω, ὅσοι δὲ μετ' εἰδήσεως τῶν προλεχθέντων ἱερέων τοῦτο ποιοῦσιν, οὐκ ἔξεστι αὐτοῖς κοσμικὰς D καὶ βιωτικὰς φροντίδας ἀναλαμβάνεσθαι, ὡς κεκωλυμένοις τοῦτο ποιεῖν παρὰ τῶν θείων κανόνων. Εἰ δέ τις φωραθείη τῶν λεγομένων μειζοτέρων τὴν φροντίδα ἐπέχων, ἢ παυσάσθω ἢ καθαιρείσθω· μᾶλλον μὲν οὖν ἤτω πρὸς διδασκαλίαν τῶν τε παίδων καὶ τῶν οἰκετῶν, ἐπαναγινώσκων αὐτοῖς τὰς θείας Γραφάς· εἰς τοῦτο γὰρ καὶ τὴν ἱερωσύνην ἐκληρώσατο.

10. Quoniam nonnulli clerici, **197** canonicam constitutionem circumscribentes, sua relicta parœcia, in alias parœcias excurrunt, ut plurimum autem in hanc a Deo custoditam et imperatoriam urbem, et apud principes assident, et in eorum oratoriis divina mysteria faciunt : eos sine proprio episcopo et Constantinopolitano non licet in quavis æde vel ecclesia recipi. Si quis autem hoc fecerit, si perseveret, deponatur. Quicunque autem cum prædictorum sacerdotum consensu hoc faciunt, non licet eis curas sæculares et mundanas suscipere, ut qui sint a canonibus prohibiti hoc facere. Si quis autem eorum qui majores, id est curatores, appellantur, curationem obtinere deprehensus fuerit, vel cesset, vel deponatur, potius autem offerat se ad docendos filios et servos, legens eis divinas Scripturas : ad hoc enim etiam sacerdotium sortitus est.

[76] Conc. Carthag. v, can. 8. Afric. c. 41.

(61) Græce *peregrinus* hic dicitur, male.
(62) Bonifacius Carthag. an. 525, ex concil. VI, sub Aurelio.

Digitized by Google Распознавание текста ABK/FR

Synodi quæ prima et secunda nuncupatur Constantinopoli in templo Sanctorum Apostolorum congregatæ canon 16.

Propter contentiones atque tumultus, etc., *ut pag.* 486.

Const. 42, tit. 3, lib. 1 cod. ait : Ob multum omnino negotium citra jussum principis Constantinopoli episcopus esto, sed apocrisiarios mittito. Qui transgreditur, [a sacerdotio] removetur, ac in indignationem incurrit. Const. autem 1, tit. 1, Novellarum ait : Nullus episcopus a sua Ecclesia amplius annum, nisi ex principis jussu, abesto. Patriarchæ illos in Ecclesiis suis perdurare cogunto. Si [quis] vero citra imperatoriam jussionem ultra annum absit, ejus tractus patriarcha sacrorum canonum 198 præscriptiones observans, solemnibus ipsum vocato edictis: et si omnino immorigerus maneat, ipsum ab episcopatu depellito, atque alium facito. Si vero non metropolitanus, sed alius episcopus sit, qui emanet, metropolitanus prædicta super illo facito. Verum si causentur ob propriam ecclesiasticamve litem [se Ecclesiam] deserere debere: libellos supplices ad imperatoriam majestatem per œconomos, clericos, aut apocrisiarios mittunto, quæ in [rebus] ecclesiasticis desiderant, impetraturi. Proinde antequam secundum canones litteras commendatitias (ut vocantur) quæ testimonium de necessitate peregrinationis suæ perhibeant, a metropolitano suo ad imperatoriam majestatem acceperit: episcopus Byzantium ne venito. Metropolitanus peregrinaturus patriarchales litteras accipito Ne ipsi per se [de rebus suis] ad imperatoriam majestatem referunto : sed cum patriarcha, aut suæ ditionis apocrisiariis communicanto, ac cum illis [ad imperatorem] ingrediuntor. Licet autem ipsis etiam per referendarios magnæ Ecclesiæ vel patriarcharum horum ad imperatorem referre. Constit. porro 7, ejusdem tit. 1 Novellarum : Quod si episcopus, inquit, multo tempore Ecclesiam suam reliquerit, ne ipse œconomus sumptus suppeditato : sed istiusmodi sumptus in occasiones ecclesiasticas et pias præbeto. Et ejusdem tit. constit. 3 : Quod si episcopus sine litteris sui patriarchæ Constantinopolim ierit, se ab habitu alienum facit. Const. vero 2, ejusdem tit. 1 Novellarum ait : Episcopi necessaria de causa peregrinaturi, patriarcharum aut metropolitanorum suorum litteras accipiunto, vel imperatoriæ majestatis jussu peregrinantor ; et qui patriarchæ Constantinopolitano subsunt, sine 199 ipsius permissu ipsum ne accedunto. Qui hoc pacto peregrinatur, ne amplius anno Ecclesiam suam relinquito. Qui episcopus Constantinopolim venerit, qualiscunque sit, ad patriarcham ingreditor, et per ipsum ad imperatorem. Contra hæc, aut supra [statutum] tempus peregrinantibus œconomi sumptus ne subministranto : et sacerdotes sub quibus censentur, ut revertantur, per litteras hortantor : si different, ad [judicii] certamina evo-

A Συνόδου α' καὶ β' συγκροτηθείσης ἐν Κωνσταντινουπόλει, ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων, κανὼν ις'.

Διὰ τὰς φιλονεικίας τε καὶ ταραχὰς, κ. τ. λ.

Ἡ μβ' διάταξις τοῦ γ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὅτι Ἐπίσκοπος ἐφ' οἱῳδήποτε πράγματι παρὰ κέλευσιν βασιλέως, ἐν Κωνσταντινουπόλει μὴ γινέσθω, ἀλλ' ἀποκρισιαρίους στελλέτω· ὁ δὲ παραβαίνων ἀγανακτεῖται καὶ ἀφορίζεται. Ἡ δὲ α' διάτ. τοῦ α' τίτ. τῶν Νεαρῶν φησί· Μηδεὶς ἐπίσκοπος ἔξω τῆς αὐτοῦ Ἐκκλησίας, πλέον ἐνιαυτοῦ ἀπολιμπανέσθω, εἰ μὴ κατὰ βασιλικὴν κέλευσιν, τῶν πατριαρχῶν ἀναγκαζόντων αὐτοὺς, ταῖς αὐτῶν Ἐκκλησίαις προσκαρτερεῖν. Εἰ δὲ παρὰ βασιλικὴν κέλευσιν, πέρα τοῦ B ἐνιαυτοῦ ἀπολειφθείη, ὁ τοῦ κλίματος πατριάρχης αὐτὸν καλείτω τοῖς νενομισμένοις κηρύγμασι, φυλάττων τὴν τῶν ἱερῶν κανόνων παρατήρησιν. Εἰ δὲ μείνοι μέχρι παντὸς ἀπειθῶν, ἐξωθείτω αὐτὸν τῆς ἐπισκοπῆς, καὶ ἕτερον ποιείτω· εἰ δὲ μὴ μητροπολίτης, ἀλλ' ἕτερος ἐπίσκοπός ἐστιν ὁ ἀπολιμπανόμενος, ὁ μητροπολίτης ἐπ' αὐτῷ τὰ εἰρημένα ποιείτω. Εἰ δὲ προφασίζοιτο δίκης ἕνεκεν ἰδικῆς ἢ ἐκκλησιαστικῆς, ὀφείλειν ἀπολιμπάνεσθαι, δεήσεις τῇ βασιλείᾳ διὰ τῶν οἰκονόμων, ἢ κληρικῶν, ἢ ἀποκρισιαρίων πεμπέτωσαν, τευξόμενοι περὶ τῶν ἐκκλησιαστικῶν, τῶν ζητουμένων. Μὴ ἀνιέτω δὲ ἐπίσκοπος ἐν Βυζαντίῳ, πρὶν ἂν κατὰ τοὺς κανόνας, τοῦ οἰκείου μητροπολίτου λάβοι γράμματα τὰ καλούμενα συστατικὰ, πρὸς τὴν βασιλείαν, μαρτυροῦντα τῷ C ἀναγκαίῳ τῆς ἀποδημίας. Ὁ δὲ μητροπολίτης ἀποδημῶν, πατριαρχικὰ λαμβανέτω γράμματα, καὶ μὴ δ' ἑαυτῶν μηνυέτωσαν πρὸς τὴν βασιλείαν, ἀλλὰ τῷ πατριάρχῃ ἢ τοῖς ἀποκρισιαρίοις τῆς αὐτῶν διοικήσεως κοινούσθωσαν, καὶ αὐτοῖς συνεισίτωσαν. Ἔξεστι δὲ αὐτοῖς, καὶ διὰ τῶν βαιφερενδαρίων τῆς μεγάλης Ἐκκλησίας, ἢ διὰ τῶν ἀποκρισιαρίων τῶν πατριαρχῶν αὐτῶν, ἀναφέρειν τῷ βασιλεῖ. Ἡ δὲ ζ' διάτ. τοῦ αὐτοῦ α' τίτ. τῶν Νεαρῶν φησὶν, ὅτι Ἐὰν ἐπίσκοπος χρόνον πολὺν τῆς ἰδίας Ἐκκλησίας ἀπολειφθῇ, μὴ χορηγείτω αὐτῷ δαπάνας ὁ οἰκονόμος, ἀλλ' ἡ τοιαύτη δαπάνη παρεχέσθω εἰς προφάσεις ἐκκλησιαστικὰς καὶ εὐσεβεῖς. Καὶ ἡ γ' τοῦ αὐτοῦ τίτ. διάτ. φησὶν, ὅτι Ὁ ἐπίσκοπος χωρὶς γραμμάτων τοῦ πατριάρχου αὐτοῦ, ἀνιὼν ἐν Κωνσταντινουπόλει, ἀλλότριον ἑαυτὸν ποιεῖ τοῦ σχήματος. Ἡ δὲ β' διάτ. D τοῦ αὐτοῦ α' τῶν Νεαρῶν φησὶν, ὅτι Κατὰ χρείας ἀναγκαίας ἐκδημοῦντες οἱ ἐπίσκοποι, γράμματα λαμβανέτωσαν τῶν πατριαρχῶν αὐτῶν ἢ μητροπολιτῶν, ἢ κατὰ βασιλικὴν κέλευσιν ἀποδημείτωσαν· καὶ οἱ ὑπὸ τὸν Κωνσταντινουπόλεως πατριάρχην, χωρὶς ἐπιτροπῆς αὐτοῦ εἰς αὐτὴν μὴ ἀνίτωσαν· καὶ ὁ οὕτως ἀποδημῶν, μὴ πλέον ἐνιαυτοῦ τὴν ἰδιαν Ἐκκλησίαν ἐάτω. Ὁ δὲ παραγινόμενος ἐν Κωνσταντινουπόλει οἱοσδήποτε ἐπίσκοπος, εἰσίτω πρὸς τὸν πατριάρχην, καὶ δι' αὐτοῦ πρὸς τὸν βασιλέα. Τοῖς παρὰ ταῦτα, ἢ ὑπὲρ τὸν χρόνον ἀποδημοῦσιν, οἱ οἰκονόμοι δαπάνας μὴ χορηγείτωσαν, καὶ προτρεπέτωσαν αὐτοὺς οἱ ἱερεῖς ὑφ' οὓς τελοῦσι διὰ γραμ-

Digitized by Google Распознавание текста ABK/FR

μάτων ὑποστρέψαι· καὶ ὑπερτιθεμένους, πρὸς τοὺς κανόνας καλεῖτωσαν· καὶ μὴ ὑποστρέφοντας ἐμπω τοῦ ὁριζομένου χρόνου, ἐκβαλλέτωσαν, καὶ ἄλλους χειροτονείτωσαν. Τὰ αὐτὰ καὶ περὶ κληρικῶν οἱουδήποτε βαθμοῦ κρατεῖ. Ἡ δὲ ιβ' διάτ. τοῦ αὐτοῦ α' τίτ. τῶν Νεαρῶν παρακελεύεται, ἵνα Ἐάν τινος Ἐκκλησίας ἀποστῶσι κληρικοὶ, ἕτεροι ἀντικαθιστάμενοι τὰς αὐτῶν σιτήσεις λαμβάνωσι, καὶ μὴ ὑποστρέφοντας αὐτοὺς λαμβάνειν αὐτὰς, καὶ μηδὲ κερδαίνειν αὐτὰς τοὺς χορηγοῦντας· εἰ δὲ στερήσουσι, κτῆσις αὐτῶν ῥητὴ τοῖς πριβάτοις ἀφορίζεται, ὥστε τὴν χορηγίαν τῆς σιτήσεως ἐκεῖθεν γίνεσθαι.

ΚΕΦΑΛ. Γ'. — Περὶ τοῦ χρῆναι τοὺς ἐπισκόπους τὰς αἰτίας τῆς ὁδοιπορίας τῶν δι' αὐτῶν παριόντων ἐπισκόπων πολυπραγμονεῖν.

Συνόδου Σαρδικῆς κανὼν κα'.

Γαυδέντιος ἐπίσκοπος εἶπε· Ταῦτα τὰ σωτηριωδῶς καὶ ἀκολούθως ὁρισθέντα καὶ πρεπόντως τῇ ἐπιτιμίᾳ ὑμῶν τῶν ἱερέων, καὶ Θεῷ ἀρέσαντα καὶ ἀνθρώποις, τὴν δύναμιν καὶ τὴν ἰσχὺν ἑαυτῶν κατασχεῖν οὐ δυνήσονται, ἐὰν μὴ καὶ φόβος ταῖς ἐξενεχθείσαις ἀποφάσεσιν ἀκολουθήσῃ. Ἴσμεν γὰρ καὶ αὐτοὶ πλεονάκις, διὰ τὴν ὀλίγων ἀναισχυντίαν, τὸ θεῖον καὶ σεβασμιώτατον ὄνομα τῆς ἱερωσύνης εἰς κατάγνωσιν ἐληλυθέναι. Εἰ τοίνυν τις παρὰ τὰ πᾶσι δόξαντα, τολμήσοι σπουδάζων, τύφῳ μᾶλλον καὶ ἀλαζονείᾳ, ἢ τῷ Θεῷ ἀρέσαι, ἕτερόν τι διαπράξασθαι, ἤδη γινωσκέτω ἐγκλήματι ἀπολογίας ἑαυτὸν ὑπεύθυνον καθίστασθαι, καὶ τὴν τιμὴν καὶ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς ἀποβάλλειν.

Ἅπαντες ἀπεκρίναντο· Πρέπει καὶ ἀρέσκει ἡμῖν ἡ τοιαύτη γνώμη. Καὶ τοῦτο δὲ ἐκεῖθεν μάλιστα γνώριμον γενήσεται, καὶ πληρωθήσεται, ἐὰν ἕκαστος ἡμῶν τῶν ἐν ταῖς παρόδοις ἤτοι καναλίῳ καθεστώτων ἐπισκόπων, ἐπιζητοίη τὴν αἰτίαν τῆς παρόδου, καὶ ποῦ τὴν πορείαν ποιεῖται. Καὶ ἐὰν μὲν εὕρῃ αὐτὸν ἐπὶ τὸ στρατόπεδον ἀπιόντα, ἐπιζητήσει τὰς αἱρέσεις τὰς ἐπάνω προκειμένας· κἂν κεκλημένος ἀφικνῆται, ἀπιόντι αὐτῷ μηδὲν ἐμπόδιον γίγνοιτο. Εἰ δὲ ἐπιδείξεως χάριν, καθὼς προείρηται τῇ ὑμετέρᾳ ἀγάπῃ, ἢ διά τινας ἀξιώσεις σπουδάζοι ἐπὶ τὸ στρατόπεδον, μήτε τοῖς γράμμασιν αὐτοῦ ὑπογράφειν, μήτε κοινωνεῖν τῷ τοιούτῳ.

Ἅπαντες εἶπον· Ὁριζέσθω καὶ τοῦτο.

ΚΕΦΑΛ. Δ'. — Περὶ ἐπίσκοπον ἢ κληρικῶν ἀπιόντων πρὸς βασιλέα ἢ τοὺς περὶ αὐτόν.

Συνόδου Ἀντιοχείας κανὼν ια', ιβ'.

ια'. Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ ὅλως τοῦ κανόνος, ἄνευ γνώμης καὶ γραμμάτων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων, καὶ μάλιστα τοῦ κατὰ τὴν μητρόπολιν, ὁρμήσειε πρὸς βασιλέα ἀπελθεῖν, τοῦτον ἀποκηρύττεσθαι καὶ ἀπόβλητον γίνεσθαι, οὐ μόνον τῆς κοινωνίας, ἀλλὰ καὶ τῆς ἀξίας ἧς μετέχων τυγχάνει, ὡς παρενοχλεῖν τολμῶντα τὰς τοῦ θεοφιλεστάτου βασιλέως ἡμῶν ἀκοὰς, παρὰ τὸν θεσμὸν τῆς Ἐκκλησίας· εἰ δὲ ἀναγκαῖα καλοίη χρεία πρὸς βασι-

canto : et nisi intra præstitutum tempus revertantur, ejiciunto, atque alios ordinanto. Eadem etiam in clericis cujuscunque gradus obtinento. Const. denique 12 ejusdem tit. 1 Novellarum jubet, ut Si ab aliqua Ecclesia recedant clerici, alii qui subrogantur, annonarias pensiones percipiant : neque illi, si revertantur, illas capiant : neque qui id genus erogationis sustinent, illas lucrentur. Si vero [erogatores] ex annonariis pensionibus [quippiam] interverterint, certa [ex] illorum possessionibus [portio principis] privatis assignetur, ut inde illarum fiat erogatio.

CAP. III. — *Quod debeant episcopi causas scrutari, ob quas episcopi apud se transeuntes peregrinantur.*

Concilii Sardicensis canon 21

[20] Gaudentius episcopus dixit : Hæc salutariter et congruenter definita, et nostræ sacerdotum dignitati convenienter, et quæ Deo et hominibus placuerunt, potentiam et vires suas obtinere non poterunt, nisi etiam metus editas sententias consecutus fuerit. Ipsi enim scimus, sæpe propter paucorum impudentiam, divinum et in primis venerandum sacerdotii nomen in damnationem [vituperationem, *vel* contemptum] 200 incurrisse. Si quis ergo præter ea quæ omnibus visa sunt, ausus fuerit, studens fastui magis et arrogantiæ servire, quam Deo placere, aliquid aliud agere : sciat jam se criminis reum, ac defensioni obnoxium constituere, et episcopatus honorem ac dignitatem amittere..

Omnes responderunt : Decet, et placet nobis hæc sententia. Porro autem hoc quoque illinc erit maxime notum et reipsa observatum, si unusquisque nostrum, qui sumus prope vias publicas seu canale constituti episcopi, cum viderit episcopum, quærat causam transitus, et quo pergat : et si eum quidem in castra proficiscentem invenerit, quærat conditiones, quæ superius propositæ sunt : et si evocatus veniat, ei abeunti nihil impedimenti fiat. Sin autem ostentationis gratia, quemadmodum vestræ dilectioni superius dictum est, vel propter aliquorum postulata in castra festinat; nec litteris ejus subscribat, nec cum eo communicet.

Omnes dixerunt : Hoc quoque decernatur.

CAP. IV. — *De episcopis vel clericis ad imperatorem vel ejus aulam pergentibus.*

Concilii Antiocheni canones 11, 12.

11. Si quis episcopus, vel presbyter, vel omnino ex canone citra sententiam et litteras episcoporum provinciæ, et maxime metropolitanorum ad imperatorem proficisci aggressus fuerit, is abdicetur et ejiciatur non solum a communione, sed etiam a dignitate cujus est particeps, ut qui 201 religiosissimi imperatoris nostri auribus molestiam afferre audeat præter ritum Ecclesiæ. Si autem necessarius usus exigat ut ad

Digitized by Google Распознавание текста ABK/FR

imperatorem se conferat, id agat cum deliberatione et sententia metropolitani provinciæ, et eorum qui sunt in ea, eorumque litteris munitus iter invadat.

12. Si quis a proprio episcopo depositus presbyter, vel diaconus, vel episcopus a synodo, ausus fuerit imperatoris auribus molestiam exhibere, cum oporteat ad majorem synodum converti, et jus, quod se habere putat, ad plures episcopos referre, eorumque examinationem et judicium suscipere: qui itaque, his contemptis, imperatori molestus fuerit, is, nulla venia dignus, neque sui defendendi locum habeat, nec restitutionis futuræ spem exspectet.

Concilii Sardicensis canon 7, 8, 9, 20.

7. Hosius episcopus dixit: Importunitas nostra, et multa assiduitas, et injustæ preces effeceront, ut nos non habeamus tantam gratiam et libertatem dicendi, quantam debeamus habere. Multi enim episcopi non intermittunt ad castra accedere, et maxime Afri, qui, quemadmodum cognovimus a dilecto fratre nostro et coepiscopo Grato, salutaria consilia non admittunt, sed ita contemnunt, ut unus homo in castra plurimas, et diversas, et quæ non possunt juvare Ecclesias, preces afferat, et non (ut debet fieri, et convenit) pauperibus et laicis, vel viduis opem et auxilium ferat, sed sæculares dignitates et functiones aliquibus acquirat. Hæc ergo perversitas detrimentum non sine offendiculo et condemnatione 202 nobis conciliat. Convenientius autem esse existimavi, ut episcopus illi suum auxilium præbeat, cui ab aliquo vis affertur, vel si quæ vidua injuria afficiatur, vel si quis pupillus privetur iis, quæ ad ipsum pertinent; si quidem hæc nomina justam habeant causam et supplicationem. Si itaque dilecti fratres, hoc omnibus videtur iis quæ ad ipsum pertinent; si quidem hæc nomina justam habeant causam et supplicationem. Si itaque, dilecti fratres, hoc omnibus videtur, statuite nullum oportere episcopum ad castra accedere, præter eos quos pius imperator noster suis litteris accersit. Sed quia sæpe contingit, aliquos qui egent misericordia, ad Ecclesiam confugere, qui propter sua peccata vel relegatione, vel in insulam deportatione damnati, vel quavis alia sententia addicti sunt; iis non esse negandum auxilium, sed sine cunctatione et dubitatione iis veniam esse petendam. Si itaque hoc quoque placet, omnes una vestrum suffragium ferte. Responderunt omnes: Decernatur et hoc.

8. Hosius episcopus dixit: Hoc quoque vestra solertia judicet, ut quia visum est, ne aliquis episcopus in condemnationem incidat ad castra veniens, si qui eorum ejusmodi, quarum superius meminimus, habeant preces, per proprium diaconum mittant. Ministri enim persona non est invidiosa, et quæ concessa fuerint, citius perferri poterunt. Responderunt omnes: Sanciatur et hoc.

Α λέα ὁρμᾶν, τοῦτο πράττειν μετὰ σκέψεως καὶ γνώμης τοῦ κατὰ τὴν μητρόπολιν τῆς ἐπαρχίας ἐπισκόπου καὶ τῶν ἐν αὐτῇ, τοῖς τε τούτων γράμμασιν ἐφοδιάζεσθαι.

ιβ'. Εἴ τις ὑπὸ τοῦ ἰδίου ἐπισκόπου καθαιρεθεὶς πρεσβύτερος, ἢ διάκονος, ἢ καὶ ἐπίσκοπος ὑπὸ συνόδου, ἐνοχλῆσαι τολμήσειε τὰς βασιλέως ἀκοάς, δέον ἐπὶ μείζονα ἐπισκόπων σύνοδον τρέπεσθαι, καὶ ἃ νομίζει δίκαια ἔχειν, προσαναφέρειν πλείοσιν ἐπισκόποις, καὶ τὴν παρ' αὐτῶν ἐξέτασίν τε καὶ ἐπίκρισιν ἐκδέχεσθαι· εἰ καὶ τούτων ὀλιγωρήσας ἐνοχλήσειε τῷ βασιλεῖ, τοῦτον μηδεμιᾶς συγγνώμης ἀξιοῦσθαι, μηδὲ χώραν ἀπολογίας ἔχειν, μηδὲ ἐλπίδα μελλούσης ἀποκαταστάσεως προσδοκᾶν.

Συνόδου Σαρδικῆς κανὼν ζ', η', θ' κ'.

Β ζ'. Ὅσιος ἐπίσκοπος εἶπεν· Ἡ ἀκαιρία ἡμῶν, καὶ ἡ πολλὴ συνέχεια, καὶ αἱ ἄδικοι ἀξιώσεις πεποιήκασιν ἡμᾶς μὴ τοσαύτην ἔχειν χάριν καὶ παῤῥησίαν ὅσην ὀφείλομεν κεκτῆσθαι. Πολλοὶ γὰρ τῶν ἐπισκόπων οὐ διαλείπουσιν εἰς τὸ στρατόπεδον παραγινόμενοι, καὶ μάλιστα οἱ Ἀφροί· οἵτινες, καθὼς ἔγνωμεν παρὰ τοῦ ἀγαπητοῦ ἀδελφοῦ ἡμῶν καὶ συνεπισκόπου Γράτου, τὰς σωτηριώδεις συμβουλὰς οὐ παραδέχονται, ἀλλὰ καταφρονοῦσιν οὕτως, ὡς ἕνα ἄνθρωπον εἰς τὸ στρατόπεδον πλείστας καὶ διαφόρους καὶ μὴ δυναμένας ὠφελῆσαι τὰς Ἐκκλησίας δεήσεις διακομίζειν· καὶ μὴ ὡς ὀφείλει γίνεσθαι, καὶ ὡς προσῆκόν ἐστι τοῖς πένησι καὶ τοῖς λαϊκοῖς ἢ ταῖς χήραις συναίρεσθαι καὶ ἐπικουρεῖν, ἀλλὰ κοσμικὰ ἀξιώματα καὶ πράξεις περιποιεῖν τισιν. Αὕτη τοίνῦν ἡ σκαιότης, τὸν θραυσμὸν οὐκ ἄνευ σκανδάλου τινὸς ἡμῖν C καὶ καταγνώσεως προξενεῖ· πρεπωδέστερον δὲ εἶναι ἐνόμισα, ἐπίσκοπον τὴν ἑαυτοῦ βοήθειαν παρέχειν ἐκείνῳ, ὅστις ἂν ὑπό τινος βιάζοιτο, ἢ εἴ τις τῶν χηρῶν ἀδικοῖτο, ἢ αὖ πάλιν ὀρφανός τις ἀποστεροῖτο τῶν αὐτῷ προσηκόντων, εἴπερ ἄρα καὶ ταῦτα τὰ ὀνόματα δικαίαν ἔχει τὴν ἀξίωσιν. Εἰ τοίνυν, ἀγαπητοὶ ἀδελφοί, πᾶσι τοῦτο δοκεῖ, ἐπικρίνατε μηδένα ἐπίσκοπον χρῆναι εἰς τὸ στρατόπεδον παραγίνεσθαι, παρεκτὸς τούτων οὓς ἂν ὁ εὐσεβέστατος βασιλεὺς ἡμῶν τοῖς ἑαυτοῦ γράμμασι μετακαλοῖτο· ἀλλ' ἐπειδὴ πολλάκις συμβαίνει τινὰς οἴκτου δεομένους, καταφυγεῖν ἐπὶ τὴν Ἐκκλησίαν, διὰ τὰ ἑαυτῶν ἁμαρτήματα εἰς περιορισμὸν ἢ νῆσον καταδικασθέντας, ἢ αὖ πάλιν οἱαδηποτοῦν ἀποφάσει ἐκδεδομένους, τοῖς D τοιούτοις μὴ ἀρνητέαν εἶναι τὴν βοήθειαν, ἀλλὰ χωρὶς μελησμοῦ, καὶ ἄνευ τοῦ διστάσαι, τοῖς τοιούτοις αἰτεῖσθαι συγχώρησιν. Εἰ τοίνυν καὶ τοῦτο ἀρέσκει, σύμψηφοι γίνεσθε ἅπαντες. Ἅπαντες ἀπεκρίναντο· Ὁριζέσθω καὶ τοῦτο.

η'. Ὅσιος ἐπίσκοπος εἶπε. Καὶ τοῦτο ἡ ἀγχίνοια ὑμῶν κρινάτω, ἵν' ἐπειδὴ ἔδοξε διὰ τὸ μὴ πίπτειν ὑπό κατάγνωσίν τινα τῶν ἐπισκόπων ἀφικνούμενον εἰς τὸ στρατόπεδον, εἴ τινες αὐτῶν τὰς τοιαύτας ἔχοιεν δεήσεις, οἵων ἐπάνω ἐπεμνήσθημεν, διὰ ἰδίου διακόνου ἀποστέλλοιεν. Τοῦ γὰρ ὑπηρέτου τὸ πρόσωπον οὐκ ἐπίφθονον τυγχάνει, καὶ τὰ παρασχεθησόμενα, θᾶττον κομισθῆναι δυνήσεται. Ἀπεκρίναντο πάντες· Καὶ τοῦτο ὁριζέσθω.

Digitized by Google Распознавание текста ABK/FR

θ'. Ὅσιος ἐπίσκοπος εἶπε· Καὶ τοῦτο ἀκόλουθον εἶναι νομίζω, ἵνα εἰ ἐν οἱῳδηποτοῦν ἐπαρχίᾳ ἐπίσκοποι πρὸς ἀδελφὸν καὶ συνεπίσκοπον ἑαυτῶν ἀποστέλλοιεν δεήσεις, ὁ ἐν τῇ μείζονι τυγχάνων πόλει, τουτέστι τῇ μήτροπόλει, αὐτὸς καὶ τὸν διάκονον αὐτοῦ καὶ τὰς δεήσεις ἀποστέλλοι, παρέχων αὐτῷ καὶ συστατικὰς ἐπιστολὰς, γράφων δηλονότι κατὰ ἀκολουθίαν καὶ πρὸς τοὺς συναδελφοὺς καὶ συνεπισκόπους ἡμῶν, οἵτινες ἐν ἐκείνῳ τῷ καιρῷ ἐν τοῖς τόποις ἢ ἐν ταῖς πόλεσι διάγοιεν, ἐν αἷς ὁ εὐσεβέστατος βασιλεὺς τὰ δημόσια πράγματα διακυβερνᾷ. Εἰ δὲ ἔχοι τις τῶν ἐπισκόπων φίλους ἐν τῇ αὐλῇ τοῦ παλατίου, καὶ βούλοιτο περί τινος, ὅπερ πρεπωδέστατον εἴη ἀξιῶσαι, μὴ κωλύοιτο διὰ τοῦ ἑαυτοῦ διακόνου, καὶ ἀξιῶσαι καὶ ἐντέλασθαι τούτοις, οὓς τε τὴν αὐτῶν ἀγαθὴν βοήθειαν ἀξιοῦντι αὐτῷ παρέχειν ἠγοῖτο. Οἱ δὲ εἰς Ῥώμην παραγινόμενοι, καθὼς προείρηκα, τῷ ἀγαπητῷ ἀδελφῷ ἡμῶν καὶ συνεπισκόπῳ Ἰουλίῳ, τὰς δεήσεις ἃς ἔχοιεν διδόναι, ὀφείλουσι παρέχειν, ἵνα πρότερος αὐτὸς δοκιμάζοι, εἰ μή τινες ἐξ αὐτῶν ἀναισχυντοῖεν, καὶ οὕτως τὴν ἑαυτοῦ προστασίαν καὶ φροντίδα παρέχων, εἰς τὸ στρατόπεδον αὐτοὺς ἀποστέλλοιεν. Ἅπαντες οἱ ἐπίσκοποι ἀπεκρίναντό ἀρίσκειν αὐτοῖς καὶ πρεπωδεστάτην εἶναι τὴν συμβουλὴν ταύτην.

9. Hosius episcopus dixit : Hoc quoque consequens esse existimo, ut in quacumque provincia episcopi ad fratrem et coepiscopum suum mittant preces, is qui est in majori civitate, hoc est in metropoli, ipse ministrum suum et preces mittat, præbens ei 203 commendatitias quoque litteras, scribens videlicet per consequentiam etiam ad fratres et coepiscopos nostros, qui scilicet illo tempore in locis vel civitatibus agant, in quibus piissimus imperator rempublicam gubernat. Si quis autem episcopus habet amicos in aula palatii, et velit aliquid, quod sit honestum et justum, impetrare, ne prohibeatur per suum ministrum et rogare, et iis mandare, ut bonum suum auxilium ei velint præbere. Qui autem Romam accedunt (quemadmodum superius dictum est) dilecto fratri nostro et coepiscopo Julio preces, quas habent dandas, præbere debent, ut ipse prius examinet, si aliquæ earum non sunt impudentes ; et sic suam opem et curam præbens, eos ad castra mittat. Omnes episcopi dixerunt sibi placere et esse convenientissimum hoc consilium.

ι'. Γαυδέντιος ἐπίσκοπος εἶπε· Ταῦτα τὰ σωτηριωδῶς, κ. τ. λ.

20. Gaudentius episcopus dixit : Hæc salutariter, etc., *ut pag.* 666.

Καὶ τοῦτο δὲ ἐκεῖθεν μάλιστα γνώριμον, κ. τ. λ.

Porro autem quoque illinc erit maxime notum, etc., *ut pag.* 666.

Ἅπαντες εἶπον· Ὁριζέσθω καὶ τοῦτο.

Omnes dixerunt : Hoc quoque decernatur.

Συνόδου Καρθαγένης κανὼν ρδ', ρϛ'.

Concilii Carthaginensis canones 104, 106.

Περὶ τῶν τὴν διάγνωσιν τῶν δημοσίων δικαστηρίων ἀπὸ τοῦ βασιλέως αἰτούντων.

De his qui publicorum judiciorum cognitionem ab imperatore poposcerint.

ρδ'. Ἤρεσεν ἵνα ὁστισδήποτε ἀπὸ τοῦ βασιλέως διάγνωσιν δημοσίων δικαστηρίων αἰτήσοι, τῆς ἰδίας τιμῆς στερηθείη· ἐὰν δὲ κρίσιν ἐπισκοπικὴν ἀπὸ τοῦ βασιλέως αἰτήσοι, μηδὲν αὐτῷ ἐμποδίσοι.

104. Placuit [77], ut quicumque ab imperatore cognitionem judiciorum publicorum petierit, honore proprio privetur ; si autem episcopale judicium ab imperatore postularit, nihil ei obsit.

Ἵνα οἱ ἐπὶ τὸ κομιτάτον πορευόμενοι, τὴν αἰτίαν ἑαυτῶν καὶ τῷ ἐν Καρχηδόνι καὶ τῷ Ῥωμαΐκῳ ἱερεῖ, σπουδάσωσιν ἐμφανίσαι.

204 *Ut pergentes ad comitatum, causam suam vel Carthaginensi vel Romano pontifici insinuare procurent.*

ρϛ'. Ἤρεσεν ἵνα ὁστισδήποτε πρὸς τὸ κομιτάτον πορευθῆναι θελήσειε, τῇ ἀπολυτικῇ τῇ ἐπὶ τὴν Ἐκκλησίαν Ῥώμης πεμπομένῃ κατάδηλος γένηται, καὶ ἵνα ἐκεῖθεν ἔτι μὴν ἀπολυτικὴν λάβῃ ἐπὶ τὸ κομιτάτον. Διὸ ἐὰν ὁ λαβὼν ἀπολυτικὴν πρὸς τὴν Ῥώμην μόνον, σιωπήσας τὴν ἀνάγκην, δι' ἣν εἰς τὸ κομιτάτον αὐτὸν χρὴ πορευθῆναι, θελήσῃ εὐθέως ἐπὶ τὸ κομιτάτον βαδίσαι, ἀποκινηθῇ τῆς κοινωνίας. Ἐὰν δὲ ἐκεῖσε ἐν τῇ Ῥώμῃ αἰφνιδία ἀνάγκη ἀποφυῇ τοῦ ἀπελθεῖν εἰς τὸ κομιτάτον, ἐμφανίσει αὐτὴν τὴν ἀνάγκην τῷ ἐπισκόπῳ Ῥώμης, καὶ παρακομίσει ἀντίγραφα τοῦ αὐτῆς Ῥώμης ἐπισκόπου· αἱ ἀπολυτιλαὶ δὲ αἱ ἀπὸ τῶν πρωτευόντων, ἢ τῶν οἱωνδήποτε ἐπισκόπων, τοῖς ἰδίοις κληρικοῖς διδόμεναι, σχῶσι τὴν ἡμέραν τοῦ Πάσχα. Ἐὰν δὲ ἀκμὴν ἡ ἡμέρα τοῦ Πάσχα τοῦ αὐτοῦ ἐνιαυτοῦ κατάδηλος οὐκ ἔστιν, ἡ τοῦ προηγησαμένου προσζευχθείη, ὃν τρό-

106. Placuit [78], ut quicunque ad comitatum ire voluerit, in formata quæ ad urbis Romæ Ecclesiam mittitur, intimetur, ut inde etiam ad comitatum formatam accipiat. Quod si accipiens ad Romam tantummodo formatam, et tacens necessitatem qua ad comitatum illi pergendum est, voluerit statim ad comitatum pergere, a communione removeatur. Quod si ibi Romæ ei repentina necessitas orta fuerit ad comitatum pergendi, alleget apud episcopum urbis Romæ ipsam necessitatem, et de hoc rescripta ejusdem Romani episcopi perferat. Formatæ autem, quæ a primatibus vel a quibuscumque episcopis clericis propriis dantur, habeant diem Paschæ : quod si adhuc ejusdem anni Paschæ dies incertus est, ille præcedens adjungatur, quomodo solet post consulatum in publicis gestis ascribi. Placuit et illud, ut adversus Donatistas et paganos,

[77] Conc. Afric. Can. 71. [78] Ibid. 73.

Digitized by Google Распознавание текста ABK/FR

vel eorum superstitiones, legati missi de hoc glorioso concilio quidquid utile porviderint, de gloriosissimis principibus impetrent.

Placuit etiam petitum omnium episcoporum, ut epistolis omnibus de concilio dandis sanctitas tua sola subscribat. Et subscripserunt. Aurelius episcopus Carthaginensis huic decreto consensi, et prælecto subscripsi. Similiter et cæteri episcopi subscripserunt.

πων, ἵνα πάσαις ταῖς ὀφειλούσαις δοθῆναι ταῖς τῆς συνόδου ἐπιστολαῖς, ἡ σὴ ἁγιωσύνη μόνη ὑπογράψῃ· Καὶ ὑπέγραψαν· Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι Ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ παραναγνωσθέντι ὑπέγραψα. Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

205 CAP. V. — *De hospitum susceptione, et de pacificis et commendatitiis epistolis.*

Apostolorum canones 12, 33.

12. Si quis clericus vel laicus segregatus, sive non recipiendus, discedens, in altera urbe receptus fuerit absque litteris commendatitiis, segregetur, et qui excepit, et qui exceptus est.

33. Nullus externorum episcoporum, vel presbyterorum, vel diaconorum sine commendatitiis recipiatur, iisque afferentibus examinentur. Sin minus, iis quæ sunt necessaria, aliis exhibitis, ad communionem ne admittantur; multa enim per surreptionem fiunt.

Concilii Antiocheni canones 7, 8, 11.

7. Nullus externus sine pacificis suscipiatur.

8. Nec presbyteri qui sunt in pagis, dent canonicas epistolas, vel ad solos vicinos episcopos epistolas emittant. Chorepiscopi autem nulli reprehensioni affines dent pacificas.

11. Si quis episcopus, vel presbyter, vel omnino ex canone, etc., *ut supra pag.* 666

Concilii Laodiceni canones 41, 42.

41. Quod non oportet eum qui est sacratus vel clericus sine canonicis litteris iter ingredi.

42. Quod non oportet eos qui sunt sacrati vel clerici, sine jussu episcopi iter ingredi.

Concilii Chalcedonensis canon 13.

13. Externos clericos et ignotos in alia civitate, etc., *ut pag.* 659.

206 *Concilii Sardicensis canon* 9.

Hosius episcopus dixit: Hoc quoque consequens esse existimo, etc., *ut pag.* 667.

Concilii Carthaginensis canon 23.

Ut episcopi trans mare non proficiscantur.

Item, ut episcopi trans mare, etc., *ut supra pag.* 662.

Concilii œcumenici VI, *canon* 17.

Quoniam diversarum Ecclesiarum clerici, etc., *ut pag.* 545.

CAP. VI. — *In quo differant pacificæ epistolæ a commendatitiis epistolis.*

Concilii Chalcedonensis canon 11.

Omnes pauperes, et qui auxilio indigent,

A πον εἴωθε μετὰ τὴν ὑπατείαν γράφεσθαι ἐν τοῖς δημοσίοις πεπραγμένοις.

Ἤρεσε δὲ κἀκεῖνο, ὥστε κατὰ τῶν Δοναττιστῶν, καὶ τῶν Ἑλλήνων, καὶ τῶν θρησκειῶν αὐτῶν, τοὺς πεμφθέντας τοποτηρητὰς ἐκ τῆς τιμίας ταύτης συνόδου, κἂν ὁτιοῦν χρήσιμον συνιδωσιν, ἐκ τῶν ἐνδοξοτάτων αἰτήσασθαι βασιλέων. Ἤρεσεν ἔτι μὴν τῇ αἰτήσει πάντων τῶν ἐπισκόπων, ἵνα πάσαις ταῖς ὀφειλούσαις δοθῆναι ταῖς τῆς συνόδου ἐπιστολαῖς, ἡ σὴ ἁγιωσύνη μόνη ὑπογράψῃ· Καὶ ὑπέγραψαν· Αὐρήλιος ἐπίσκοπος τῆς ἐν Καρχηδόνι Ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ παραναγνωσθέντι ὑπέγραψα. Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν.

ΚΕΦΑΛ. Ε'. — Περὶ ὑποδοχῆς ξένων, καὶ περὶ εἰρηνικῶν καὶ συστατικῶν ἐπιστολῶν.

Ἀποστόλων κανὼν ιβ', λγ'.

ιβ'. Εἴ τις κληρικὸς ἢ λαϊκὸς, ἀφωρισμένος ἤτοι ἄδεκτος, ἀπελθὼν ἐν ἑτέρᾳ πόλει δεχθῇ ἀνευ γραμμάτων συστατικῶν, ἀφοριζέσθω καὶ ὁ δεξάμενος καὶ ὁ δεχθείς.

λγ'. Μηδένα τῶν ξένων ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων, ἄνευ συστατικῶν προσδέχεσθαι· καὶ ἐπιφερομένων δὲ αὐτῶν ἀνακρινέσθωσαν, καὶ ἐὰν μὲν ὦσι κήρυκες τῆς εὐσεβείας, προσδεχέσθωσαν. Εἰ δὲ μή γε τὰ πρὸς τὰς χρείας αὐτοῖς ἐπιχορηγήσαντες, εἰς κοινωνίαν αὐτοὺς μὴ προσδέξησθε· πολλὰ γὰρ κατὰ συναρπαγὴν γίνεται.

Συνόδου Ἀντιοχείας κανὼν ζ', η', ια'.

ζ'. Μηδένα ἄνευ εἰρηνικῶν γραμμάτων δέχεσθαι τῶν ξένων.

η'. Μηδὲ πρεσβυτέρους τοὺς ἐν ταῖς χώραις κανονικὰς ἐπιστολὰς διδόναι, ἢ πρὸς μόνους τοὺς γείτονας ἐπισκόπων ἐπιστολὰς ἐκπέμπειν· τοὺς δὲ ἀνεπιλήπτους χωρεπισκόπων, διδόναι εἰρηνικάς.

ια'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, ἢ ὅλως τοῦ κανόνος, κ. τ. λ.

Συνόδου Λαοδικείας κανὼν μα', μβ'.

μα'. Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν ἄνευ κανονικῶν γραμμάτων ὁδεύειν.

μβ'. Ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν ἄνευ κελεύσεως ἐπισκόπων ὁδεύειν.

Συνόδου Χαλκηδόνος κανὼν ιγ'.

ιγ'. Ξένους κληρικοὺς καὶ ἀναγνώστας ἐν ἑτέρᾳ πόλει, κ. τ. λ.

Συνόδου Σαρδικῆς κανὼν θ'.

Ὅσιος ἐπίσκοπος εἶπε· Καὶ τοῦτο ἀκόλουθον εἶναι νομίζω, κ. τ. λ.

Συνόδου Καρθαγένης κανὼν κγ'.

Ὥστε τοὺς ἐπισκόπους πέραν θαλάσσης μὴ ἀποδημεῖν.

Ὁμοίως ἐπίσκοποι πέραν θαλάσσης, κ. τ. λ.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιζ'.

Ἐπειδήπερ διαφόρων Ἐκκλησιῶν κληρικοὶ, κ. τ. λ.

ΚΕΦΑΛ. ς'. — Περὶ διαφορᾶς εἰρηνικῶν καὶ συστατικῶν ἐπιστολῶν.

Συνόδου Χαλκηδόνος κανὼν ια'.

Πάντας τοὺς πένητας καὶ δεομένους ἐπικουρίας,

Digitized by Google Распознавание текста ABK/FR

μετὰ δοκιμασίας ἐπιστολίοις εἴτουν εἰρηνικοῖς ἐκκλησιαστικοῖς μόνοις ὁδεύειν ὡρίσαμεν, καὶ μὴ συστατικοῖς, διὰ τὸ τὰς συστατικὰς ἐπιστολὰς προσήκειν τοῖς οὖσιν ἐν ὑπολήψει μόνοις παρέχεσθαι προσώποις.

Συνόδου Καρθαγέννης κανὼν ρϛ'.

Ἵνα οἱ ἐπὶ τὸ κομιτάτον πορευόμενοι τὴν αἰτίαν ἑαυτῶν, καὶ τῷ ἐν Καρχηδόνι, καὶ τῷ Ῥωμαϊκῷ ἱερεῖ σπουδάσωσιν ἐμφανίσαι.

ρϛ'. Ἤρεσεν ἵνα ὁστισδήποτε πρὸς τὸ κομιτάτον, κ. τ. λ.

ΚΕΦΑΛ. Ζ'. — Τίσι δεῖ τοὺς ἐπισκόπους βοηθεῖν· καὶ περὶ ἐπισκόπων, καὶ πρεσβυτέρων, καὶ διακόνων, μὴ χορηγούντων τοῖς ἐνδεέσιν ἐκκλησιαστικοῖς.

Ἀποστόλων κανὼν νθ'.

νθ'. Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, τινὸς τῶν κληρικῶν ἐνδεοῦς ὄντος, μὴ ἐπιχορηγεῖ τὰ δέοντα, ἀφοριζέσθω· ἐπιμένων δὲ, καθαιρείσθω ὡς φονεύσας τὸν ἀδελφὸν αὐτοῦ.

Συνόδου Σαρδικῆς κανὼν ζ'.

ζ'. Ὅσιος ἐπίσκοπος εἶπεν· Ἡ ἀκαιρία ἡμῶν, κ.τ.λ.

Οἱ πενόμενοι αἱρετικοί, οὐ χορηγοῦνται τὰ λεγόμενα ἀξιωματικὰ ἀπὸ τῶν δικαστηρίων ἢ τῶν Ἐκκλησιῶν, ὡς βιβλ. α' τίτ. ε', διατ. κ'.

ΚΕΦΑΛ. Η'. — Περὶ συνόδων καὶ τῶν εἰς αὐτὰς μὴ ἀπιόντων.

Ἀποστόλων κανὼν λζ'

λζ'. Δεύτερον τοῦ ἔτους σύνοδος γινέσθω τῶν ἐπισκόπων, καὶ ἀνακρινέτωσαν ἀλλήλους τὰ δόγματα τῆς εὐσεβείας, καὶ τὰς ἐμπιπτούσας ἐκκλησιαστικὰς ἀντιλογίας διαλυέτωσαν, ἅπαξ μὲν τῇ τετάρτῃ ἑβδομάδι τῆς Πεντηκοστῆς, δεύτερον δὲ Ὑπερβερεταίου δωδεκάτῃ, κατὰ Ῥωμαίους ὀκτωβρίου.

Συνόδου Νικαίας κανὼν ε'.

ε'. Περὶ τῶν ἀκοινωνήτων γενομένων, εἴτε τῶν ἐν κλήρῳ, εἴτε τῶν ἐν λαϊκῷ ταγματι, ὑπὸ τῶν καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόπων, κρατείτω ἡ γνώμη, κατὰ τὸν κανόνα τὸν διαγορεύοντα τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας, ὑφ' ἑτέρων μὴ προσίεσθαι. Ἐξεταζέσθω δὲ μὴ μικροψυχίᾳ πάντως, εἰ φιλονεικίᾳ, ἤ τινι τοιαύτῃ ἀηδίᾳ τοῦ ἐπισκόπου, ἀποσυνάγωγοι γεγένηνται. Ἵνα οὖν τοῦτο τὴν πρέπουσαν ἐξέτασιν λαμβάνοι, καλῶς ἔχειν ἔδοξεν ἑκάστου ἐνιαυτοῦ καθ' ἑκάστην ἐπαρχίαν δὶς τοῦ ἔτους, συνόδους γίνεσθαι· ἵνα κοινῇ πάντων τῶν ἐπισκόπων τῆς ἐπαρχίας ἐπὶ τὸ αὐτὸ συναγομένων τὰ τοιοῦτα ζητήματα ἐξετάζοιτο, καὶ οὕτως οἱ ὁμολογουμένως προσκεκρουκότες τῷ ἐπισκόπῳ, κατὰ λόγον ἀκοινώνητοι παρὰ πᾶσιν εἶναι δόξωσι, μέχρις ἂν τῷ κοινῷ τῶν ἐπισκόπων δόξῃ τὴν φιλανθρωποτέραν ὑπὲρ αὐτῶν ἐκθέσθαι ψῆφον. Αἱ δὲ σύνοδοι γινέσθωσαν, μία μὲν πρὸ τῆς Τεσσαρακοστῆς, ἵνα πάσης μικροψυχίας ἀναιρουμένης, τὸ δῶρον καθαρὸν προσφέρηται τῷ Θεῷ· δευτέρα δὲ περὶ τὸν τοῦ μετοπώρου καιρόν.

cum examinatione, cum epistolis seu pacificis ecclesiasticis solis viam ingredi statuimus, et non cum commendatitiis : quoniam litteras commendatitias iis solis personis quæ sunt suspectæ, præberi oportet.

Concilii Carthaginensis canon 106.

Ut pergentes ad comitatum causam suam vel Carthaginensi vel Romano pontifici insinuare procurent.

106. Placuit, ut quicunque ad comitatum, etc., *ut pag.* 680.

207 CAP. VII. — *Quibusnam debeant opem ferre episcopi. Et de episcopis, presbyteris, diaconis qui non largiuntur egentibus ecclesiasticis.*

Apostolorum canon 59.

59. Si quis episcopus vel presbyter, cum sit aliquis ex clericis egenus, ea quæ sunt necessaria ei non suppeditat, segregetur : sin autem perseveret, deponatur, ut qui fratrem suum interfecerit.

Concilii Sardicensis canon 7.

7. Hosius episcopus dixit : Importunitas nostra, etc., *ut pag.* 667.

Indigentes hæretici non accipiunt e judiciis aut Ecclesiis ea quæ honoraria dicuntur, ut lib. I, tit. 5, const. 8.

CAP. VIII. — *De synodis, et de non concurrentibus ad ipsas.*

Apostolorum canon 37.

37. Bis in anno fiat episcoporum synodus, et inter [79] se examinent decreta religionis, et incidentes ecclesiasticas controversias componant : semel quidem quarta hebdomada Pentecostes, iterum autem hyperberetæi duodecimo secundum Romanos octobris.

Concilii Nicæni canon 5.

5. De iis qui a [80] communione segregati sunt, sive clericorum sive laicorum sint ordinis, ab episcopis, qui sunt in unaquaque provincia, valeat sententia secundum canonem, qui pronuntiat eos, qui ab aliis ejecti sunt, non esse ab aliis admittendos : examinetur autem, nunquid vel pusillanimitate vel 208 contentione, vel aliqua ejusmodi episcopi acerbitate, congregatione pulsi sint. Ut hoc ergo conveniantem examinationem accipiat, recte habere visum est, ut singulis annis in unaquaque provincia bis [81] in anno synodi fiant : ut cum omnes provinciæ episcopi in eumdem locum communiter conveniont, ejusmodi quæstiones examinentur : et sic quos episcopum offendisse constiterit, juste esse congregatione separati apud omnes videantur, donec episcoporum congregationi videatur pro iis humaniorem proferre sententiam. Synodi autem fiant, una quidem ante quadragesimam, ut, omnibus animi sordibus sublatis, purum munus Deo offeratur : secunda autem autumni tempore.

[79] Nic. can. 5. [80] Apost. 13 et 33, Antiogh. 6, 73, 11, q. 3. [81] Apost. 28; Antioch. 15; Innoc. 10.

Digitized by Google Распознавание текста ABKFR

Concilii Antiocheni canon 20.

20. Propter usus ecclesiasticos, et pro componendis controversiis, recte habere visum est, ut synodi episcoporum in unaquaque provincia fiant bis in anno: semel quidem post tertiam hebdomadem festi Paschæ, ut quarta hebdomade Pentecostes perficiatur synodus, metropolitano provinciales episcopos admonente secundam synodum idibus octobris futuram, qui est decimus hyperberetæi: ut in his ipsis synodis accedant presbyteri et diaconi, et omnes qui se injuria affectos putant, et a synodo judicium assequantur, nec ullis liceat synodos per se facere, sine iis quibus sunt creditæ metropoles.

Συνόδου Ἀντιοχείας κανὼν κ'

5 Aurelius episcopus dixit: Avaritiæ (12) cupiditas, quam rerum omnium malarum matrem esse, nemo qui (13) dubitet, proinde inhibenda est, ne quis alienos fines usurpet (14), aut per præmium terminos Patrum statutos transcendat, nec omnino cuiquam clericorum liceat de qualibet re fenus accipere. Quanquam novellæ suggestiones, quæ vel obscuræ sunt, vel sub genere latent (15) inspectæ a nobis formam accipiant : cæterum de quibus apertissime divina Scriptura sanxit, non est ferenda sententia, sed potius exsequenda. Proinde quod in laicis reprehenditur, id multo magis debet in clericis prædamnari. Universum consilium dixit : Nemo contra prophetas, nemo contra Evangelia facit sine periculo (16).

λῶν, ξίφει καὶ θηρίοις ὑποβληθῆναι · ἐπὶ δὲ τοῦ κατὰ βλακείαν ἤγουν ἀμέλειαν φονεύοντος, πενταετὴς ἐξορία · ἐπὶ δὲ τοῦ ἀκουσίου, συγγνώμη δίδοται · ζητῶν οὖν περὶ φόνων, ἀναγίνωσκε τοὺς εἰρημένους τίτ. σὺν τοῖς αὐτῶν παρατίτλοις. Εὕρηται δὲ γενικῶς βιβλ. μη', τίτ. ιθ', διγ. ε', ὅτι ἐν πᾶσι τοῖς ἐγκλήμασι δεῖ ζητεῖν, ἐκ προνοίας τίς ἢ κατὰ τύχην ἥμαρτε, καὶ οὕτως ἢ πρὸς τὸν νόμον, ἢ πραοτέραν τιμωρίαν ἐπιφέρειν · καὶ δίγ. ια', ὅτι ἢ ἀπὸ προνοίας ἁμαρτάνει τις, ὡς ὁ φατρίαν συνιστῶν · ἢ ἐξ ὀργῆς, ὡς ὁ θυμούμενος · ἢ κατὰ τύχην, ὡς ὁ ἐν θήρᾳ κατὰ θηρίου ῥίψας καὶ φονεύσας ἄνθρωπον.

ΚΕΦΑΛ. ΚΖ'. — Περὶ ἐπισκόπων καὶ κληρικῶν κυβευόντων, ἢ μεθυσκομένων, ἢ θέαις παρεμβαλλόντων, τυμβωρυχούντων, κλεπτόντων, ἐπιορκούντων, τοκιζόντων, ἢ λαμβανόντων ἡμιολίας, ἢ ἕτερον ἑαυτοῖς αἰσχρὸν ἐπινοούντων κέρδος.

Ἀποστόλων κανὼν κε', μβ', μγ'.

κε'. Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἐπὶ πορνείᾳ, ἢ ἐπιορκίᾳ, ἢ κλοπῇ ἁλοὺς, κ. τ. λ.

μβ'. Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, κύβοις σχολάζων καὶ μέθαις, ἢ πυσάσθω, ἢ καθαιρείσθω.

μγ'. Ὑποδιάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης τὰ ὅμοια ποιῶν, ἢ πυσάσθω ἢ ἀφοριζέσθω · ὡσαύτως καὶ λαϊκός.

Συνόδου Νικαίας κανὼν ιζ'.

ιζ'. Ἐπειδὴ πολλοὶ ἐν τῷ κανόνι ἐξεταζόμενοι κ. τ. λ.

Συνόδου Λαοδικείας κανὼν δ', νδ'.

δ'. Περὶ τοῦ μὴ δεῖν ἱερατικοὺς δανείζειν, καὶ τόκους καὶ τὰς λεγομένας ἡμιολίας λαμβάνειν.

νδ'. Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς τινας θεωρίας θεωρεῖν ἐν γάμοις ἢ δείπνοις, ἀλλὰ πρὸ τοῦ εἰσέρχεσθαι θυμελικοὺς, ἐγείρεσθαι αὐτοὺς καὶ ἀναχωρεῖν ἐκεῖθεν.

Συνόδου Καρθαγέννης κανὼν ε', ις'.

Περὶ ἁπληστίας.

ε'. Αὐρήλιος ἐπίσκοπος εἶπεν · Τὴν τῆς ἁπληστίας ἐπιθυμίαν, ἣν πάντων τῶν κακῶν μητέρα εἶναι οὐδεὶς ἀμφιβάλλει, δέον ἐπέχειν, ἵνα μή τις τοῖς ἀλλοτρίοις ὅροις κατακέχρηται, μὴ δὲ ἵνα διὰ κέρδος τοὺς τῶν Πατέρων ὅρους τις ὑπερβαίνῃ, μὴ δὲ ἵνα παντοίως τινὶ κληρικῷ ἐξὸν εἴη ἀπὸ οἱουδήποτε πράγματος τόκον λαμβάνειν · καὶ τὰ μὲν νεωστὶ ἀνενεχθέντα ἀμαυρὰ ὄντα καὶ καθόλου λανθάνοντα, σκοπούμενα παρ' ἡμῶν τυπωθήσονται · περὶ δὲ ὧν φανερώτατα ἡ θεία Γραφὴ ἐθέσπισεν, οὐ δεῖ ψηφίζεσθαι · ἀλλὰ μᾶλλον ἔπεσθαι · ἀκολούθως γὰρ τὸ ἐν λαϊκοῖς ἐπιλήψιμον, πολλῷ μᾶλλον ἐν κληρικοῖς ὀφείλει καταδικάζεσθαι.

(12) Ms. Avaritia et cupiditas.
(13) Ms. nemo quis.
(14) Citatur in concil. Aquisgran. anni 789. cap. 33. Est ex concil. Carthag. sub Grato an. 348. can. 10 et 13.
(15) Ms. al vel sub diverso genere.
(16) *al.* Ms. sine suo periculo, ut in concil. Illiber. et alibi.

Digitized by Google Распознавание текста ABKJER

Ὥστε μηδένα ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἔκληψίν τινα λαμβάνειν, κ. τ. λ.

ις'. Ὁμοίως ἤρεσεν, ἵνα ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι, ἐκλήπτορες μὴ γίνωνται, κ. τ. λ.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ι', κγ', κδ'. ν'.

ι'. Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τόκους, κ. τ. λ.

κγ'. Περὶ τοῦ μηδένα τῶν εἴτε ἐπισκόπων ἢ πρεσβυτέρων, κ. τ. λ.

κδ'. Μὴ ἐξέστω τινὶ τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι, ἢ μοναχῶν, ἐν ἱπποδρομίαις ἀνιέναι, ἢ θυμελικῶν παιγνίων ἀνέχεσθαι· ἀλλ' εἴ καί τις κληρικὸς κληθείη ἐν γάμῳ, ἡνίκα δ' ἂν τὰ πρὸς ἀπάτην εἰσέλθοιεν παίγνια, ἐξαναστήτω καὶ παραυτίκα ἀναχωρείτω, οὕτω τῆς Πατέρων ἡμῶν προστατούσης διδασκαλίας· εἰ δέ τις ἐπὶ τούτῳ ἁλῷ, ἢ παυσάσθω ἢ καθαιρείσθω.

ν'. Μηδένα τῶν ἁπάντων εἴτε λαϊκῶν εἴτε κληρικῶν κυβεύειν ἀπὸ τοῦ νῦν· εἰ δέ τις τοιοῦτο φωραθείη πράττων, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκός, ἀφοριζέσθω.

Συνόδου Νικαίας τὸ β' κανὼν δ'.

Περὶ τοῦ ἀπέχεσθαι τοὺς ἐπισκόπους πάσης δοσοληψίας.

δ'. Ὁ κῆρυξ τῆς ἀληθείας Παῦλος, κ. τ. λ.

Βασιλείου κανὼν ι', ιδ', ιζ'.

ι'. Οἱ ὀμνύοντες μὴ καταδέχεσθαι τὴν χειροτονίαν, κ. τ. λ.

ιδ'. Ὁ τόκους λαμβάνων, ἐὰν καταδέξηται τὸ ἄδικον κέρδος εἰς πτωχοὺς ἀναλῶσαι, καὶ τοῦ λοιποῦ τοῦ νοσήματος τῆς φιλοχρηματίας ἀπαλλαγῆναι, δεκτός ἐστιν εἰς ἱερωσύνην.

ιζ'. Ἠρώτησας ἡμᾶς περὶ Βιάνορος τοῦ πρεσβυτέρου, εἰ δεκτός ἐστιν εἰς τὸν κλῆρον διὰ τὸν ὅρκον· ἐγὼ δὲ ἤδη τινὰ καὶ κοινὸν ὅρον περὶ πάντων ὁμοῦ τῶν μετ' αὐτοῦ ὁμωμοκότων τοῖς κατὰ Ἀντιόχειαν κληρικοῖς οἶδα ἐκτεθεικώς· ὥστε τῶν μὲν δημοσίων αὐτοὺς ἀπέχεσθαι συλλόγων, ἰδίᾳ δὲ ἐνεργεῖν τὰ τῶν πρεσβυτέρων· τὸ δὲ αὐτὸ τοῦτο καὶ πρὸς τὴν ἑαυτοῦ ὑπηρεσίαν, ἄδειαν αὐτῷ παρέχει· διότι οὐκ ἐν Ἀντιοχείᾳ ἐστὶν ἡ ἱερωσύνη, ἀλλ' ἐν Ἰκονίῳ, ἣν ὡς αὐτὸς ἐπέστειλας ἡμῖν τῆς Ἀντιοχείας εἰς οἴκησιν ἀντηλλάξατο· ἔστιν οὖν δεκτὸς ὁ ἀνὴρ ἐκεῖνος, ἀπαιτούμενος παρὰ τῆς εὐλαβείας σου, μεταμέλεσθαι ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, ὃν ἐπὶ τοῦ ἀπίστου ἀνδρὸς ἐξωμόσατο, βαστάξαι νὴν ἐνόχλησιν τοῦ μικροῦ ἐκείνου κινδύνου μὴ δυνηθείς.

Ἡ λδ' διάταξις τοῦ δ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησίν· Ἐπίσκοπος ἢ κληρικὸς, κυβεύων ἢ κοινωνῶν τοῖς κυβεύουσιν ἢ παρακαθήμενος, ἢ θέατρον ἢ κυνήγιον θεωρῶν, ἀφορίζεται πάσης ἱερατικῆς λειτουργίας, καὶ τῶν σιτήσεων αὐτοῦ στερεῖται, καὶ ὁρίζεται αὐτῷ χρόνος εἰς μετάνοιαν· καὶ ἐὰν ἀξίως εἴσω τοῦ χρόνου φανῇ μετανοήσας, ἱερατικῆς ἀξιοῦται φιλανθρωπίας· εἰ δὲ μετὰ τὸν χρόνον ἐπιμείνοι, τελείως

A *Ut nullus episcopus, presbyter et diaconus conductor exsistat*, etc , *ut pag.* 550.

16. Item placuit ut episcopi, presbyteri et diaconi non sint conductores, etc., *ut pag.* 550.

Concilii œcumenici VI *canones* 10, 23, 24, 50.

10. Episcopus, presbyter, vel diaconus qui usuras, etc., *ut pag.* 750.

23. Ut nullus sive episcopus, sive presbyter, etc., *ut pag.* 515.

24. Ne cui liceat eorum, qui in sacerdotait ordine enumerantur, vel monachorum, in equorum curriculis 297 subsistere, vel scenicos ludos sustinere. Sed et si quis clericus ad nuptias vocetur, quando ad deceptionem comparata ludicra B ingressa fuerint, surgat et discedat, Patrum nostrorum sic jubente doctrina. Si quis autem ejus rei convictus fuerit, vel cesset, vel deponatur.

50. Nullum omnium 59*, sive clericum, sive laicum, ab hoc deinceps tempore alea ludere. Si quis autem hoc deinceps facere deprehensus fuerit, si sit quidem clericus, deponatur; si laicus, segregetur.

Concilii Nicæni II *canon* 4.

Quod episcopi ab omni avaritia sese abstinere debeant.

4. Veritatis præco Paulus, etc., *ut pag.* 515.

Basilii canones 10, 14, 17.

10. Qui jurant se ordinationem non accepturos, etc., *ut pag.* 503.

C 14. Qui usuras accipit, si voluerit injustum lucrum in pauperes insumere, et deinceps ab avaritiæ morbo liberari, ad sacerdotium admitti potest.

17. Interrogasti nos de Bianore presbytero, an in clerum admitti possit, propter jusjurandum. Ego autem me jam communem aliquam regulam de omnibus qui una cum eo juraverant, Antiochenis clericis edidisse memini : ut ipsi a publicis quidem conventibus abstineant, privatim vero munia obeant presbyterorum. Id ipsum autem etiam ei muneris sui peragendi præbet libertatem, quod non sit Antiochiæ sacerdotium, sed Iconii : quam urbem, ut ipse ad nos scripsisti, Antiochia ad habitandum permutavit. Ergo vir ille suscipi potest; postulante ab eo pietate tua, ut pœnitentiam agat, D ob facilem et promptum ad jusjurandum animum, quod coram infideli viro juravit, molestiam ferre exigui illius periculi non valens.

Textus. 298 Const. 34, tit. 4, lib. I cod. Episcopus aut clericus, inquit, qui aut alea ludit, aut cum aleatoribus commercium habet, vel [iis] assidet, aut spectacula arenariasve venationes spectat: ab omni sacro segregatur ministerio, annonariis suis privatur pensionibus : et constituitur illi pœnitentiæ tempus, intra quod si digne pœnitere videatur, sacerdotali benignitate dignus habetur : ut si [in

59* Can. apost. 42, 43.

Digitized by Google Распознавание текста ABK/FR

vitiis istis] perstiterit, omnino e clero ejicitur, et cujus civitatis clericus erat, ejus cum substantia sua curiæ mancipatur : aut si ea civitas curiam non habet, concedit in destitutam [aliquam curiam] vicinarum [civitatum]. Quod si nullas facultates habeat, fit apparitor. Custodiunt autem hæc patriarchæ, episcopi, ecclesiæ defensores, cujusque jurisdictionis præfecti et præsides. Atque defensores hæc sacerdotibus annuntiant. Oportet etiam hæc summa cum diligentia coram Evangeliis inquiri, et in calumniatores indignationem concipi : ac in præsides, cohortes, atque defensores, si ubi hæc didicerint, competentibus sacerdotibus non annuntiarint, diversas pœnas statui. Verum const. 2, tit. 1 Novellarum dicit, ut triennio illi a ministerio prohibeantur, ac in monasterium conjiciantur : facultatem sacerdotibus præbens, ut, si pœnitentia compareat, tempus imminuant.

Textus. Non modo pejerare, verum etiam jurare in universum clericis prohibetur. Dicitur enim lib. I cod. tit. 3, const. 25, quod clerici litigantes. fidejussiones dent usque ad quinquaginta libras [auri] et si res [hanc summam] excedat, pro exsuperanti cautionem injurati faciant : eo quod et leges et canones clericum jurare prohibeant, quanquam [vel] maxime dicatur eodem lib. tit. 12, const. 3, quod oporteat eos qui [ad ecclesias] confugiunt, 299 admonitos, et de securitate jurejurando accepto, deponere quæ [in illas] intulerint arma : et constit. 6, ejusdem XII lib. dicat : Quod si suspicio sit de clerico, tanquam res [aliquas] confuge habeat, jussu episcopi sui juret. De prohibitione autem, ne clerici usuras accipiant ubique, [ubi] de pecuniæ creditæ sive pacti [actionibus], quinetiam iis quæ ex dilatione actionum bonæ fidei tacite competunt [agitur] mihi esse dictum videtur.

Textus. Atqui const. 3, tit. 2 Novellarum in piis legatis propter dilationem usuras atque fructus exigi dicit.

Proinde de furtis clericorum speciatim lex non disserit. Generaliter autem de furtis tractat tit. 2, lib. VI cod. et tit. 5, lib. XLVII, dig. Furtorum autem duæ sunt species, quarum altera manifestum furtum dicitur : altera nec manifestum. Manifestus fur est, qui cum furtiva re a qualicunque persona, priusquam eam perferat, quo eo die [perferre] destinarat, sive in loco publico sive in privato deprehenditur. Sed si pertulerit quo destinavit, tametsi postmodum cum re furtiva deprehendatur : non est fur manifestus. Qui vero talis non [est] fur nec manifestus. Cæterum pœna furis manifesti procedit ad quadruplum pretii rei furtivæ, interdum etiam ejus quod interest : non manifesti, ad duplum. Et ab utroque exacta ea pœna, datur [insuper] res [furtiva] ejusve æstimatio.

Textus. Qui ex incendio aut naufragio [quidpiam] capit, extra rem [captam] intra utilem annum quadruplum ei cui furatus est, et quadruplum fisco dat : post annum vero simplum, ut lib. VI cod.

A ἐκβάλλεται τοῦ κλήρου, καὶ γίνεται βουλευτὴς μετὰ τῆς αὐτοῦ περιουσίας τῆς πόλεως ἧς ἦν κληρικὸς, ἢ τῆς πόλεως ἐκείνης οὐκ ἐχούσης βουλευτήριον, γίνεται εἰς τὴν χρήζουσαν ἐκ τῶν πλησιαζουσῶν · εἰ δὲ μὴ ἔχει ἐξουσίαν, γίνεται ταξεώτης · παραφυλάττουσι δὲ ταῦτα οἱ πατριάρχαι καὶ οἱ ἐπίσκοποι καὶ οἱ ἐκκλησιέκδικοι, καὶ οἱ ἑκάστης διοικήσεως ὕπαρχοι, καὶ οἱ ἄρχοντες καὶ ἔκδικοι ταῦτα τοῖς ἱερεῦσι προσαγγέλλουσι · δεῖ δὲ τοιαῦτα μετὰ ἀκριβείας, ἐπὶ τῶν Εὐαγγελίων ζητεῖσθαι, καὶ τοὺς συκοφάντας ἀγανακτεῖσθαι · ποινὰς δὲ διαφόρους ὁρίζει κατὰ τῶν ἀρχόντων καὶ τῶν ταξεώτων καὶ τῶν ἐκδίκων, εἰ ταῦτα μαθόντες μὴ προσαγγείλωσι τοῖς προσφόροις ἱερεῦσιν · ἡ μέντοι β' διάτ. τοῦ α' τίτ. τῶν Νεαρῶν, ἐπὶ τριετίαν εἶπεν αὐτοὺς τῆς λειτουργίας κωλύεσθαι, καὶ μοναστηρίῳ ἐμβάλλεσθαι · ἄδειαν παρασχοῦσα τοῖς ἱερεῦσι μετανοίας ἐπιδεικνυμένης, ἐλαττοῦν τὸν χρόνον.

B Οὐ μόνον ἐπιορκεῖν κωλύεται κληρικὸς, ἀλλὰ καθόλου ὀμνύναι · εἴρηται γὰρ τοῦ κώδ. βιβλ. α', τίτ. γ', διάτ. κε', ὅτι οἱ κληρικοὶ δικαζόμενοι διδόασιν ἐγγύας μέχρι ν' λιτρῶν · εἰ δὲ τὸ πρᾶγμα ὑπερβαίνει, ὁμολογίαν ἐπὶ τῷ ὑπερβαίνοντι ποιοῦσιν ἀνώμοτον · διότι καὶ οἱ νόμοι καὶ οἱ κανόνες, κωλύουσι κληρικὸν ὀμνύειν · εἰ καὶ τὰ μάλιστα εἴρηται βιβλ. τῷ αὐτῷ, τίτ. ιβ', διάτ. γ', ὅτι δεῖ τοὺς προσφεύγοντας, προτρεφομένους καὶ ὅρκον ἐπὶ τῇ ἀσφαλείᾳ λαμβάνοντας, ἀποτίθεσθαι ἅπερ ἐπιφέρονται ὅπλα · καὶ ἡ ς' διάτ. τοῦ αὐτοῦ βιβλ. φησὶν, ὅτι ἐὰν ἔστιν ὑπόνοια περὶ κληρικοῦ ὡς ἔχοντος πράγματα C τοῦ προσφεύγοντος, κελεύσει τοῦ ἐπισκόπου ὀμνύει · ἡ δὲ κώλυσις τοῦ λαμβάνειν κληρικὸν τόκους, ἐμοὶ φαίνεται παντὸς μᾶλλον περὶ τῶν ἀπὸ δανείου ἡγουν συμφώνου λελέχθαι. οὐ μὴν περὶ τῶν σιωπηρῶς ἁρμοζόντων ἐξ ὑπερθέσεως ἐπὶ τῶν βόνα φίδε ἀγωγῶν.

Ἀμέλει καὶ ἡ γ' διατ. τοῦ β' τίτ. τῶν Νεαρῶν, ἐπὶ ληγάτων εὐσεβῶν ἐξ ὑπερθέσεως εἶπεν ἀπαιτεῖσθαι καὶ τόκους καὶ καρπούς.

Περὶ δὲ κλοπῆς κληρικῶν, ἰδικῶς ὁ νόμος οὐ διαλέγεται, γενικῶς δὲ διαλαμβάνει περὶ κλοπῆς, οβ' τίτ. τοῦ μζ' βιβλ. τῶν δίγ. Δύο δὲ εἴδη τῆς κλοπῆς, καὶ τὸ μὲν αὐτῆς λέγεται φανερὰ κλοπὴ, τὸ δὲ ἀφανής · φανερὸς κλέπτης ἐστὶν, ὁ μετὰ τοῦ ἐπικλοπιμαίου πράγματος ἐξ οἱουδήποτε προσώπου D λαμβάνομενος πρὶν ἡ τὸ πρᾶγμα ἐπαγάγοι, ἔνθα προέθετο ἐν αὐτῇ τῇ ἡμέρᾳ, εἴτε ἐν δημοσίῳ εἴτε ἐν ἰδιωτικῷ τόπῳ · εἰ δὲ ἀπήγαγεν ἔνθα προέθετο αὐτὸ, κἂν λοιπὸν συλληφθῇ μετ' αὐτοῦ, οὐκ ἔστι φανερὸς κλέπτης · ὁ δὲ μὴ τοιοῦτος, ἀφανὴς κλέπτης ἐστίν · ἡ δὲ ποινὴ τοῦ μὲν φανεροῦ κλέπτου γίνεται, εἰς τὸ τετραπλοῦν τοῦ τιμήματος τοῦ κλαπέντος · ἔστιν ὅτε καὶ τοῦ διαφέροντος · τοῦ δὲ ἀφανοῦς, εἰς τὸ διπλοῦν · καὶ ἑφ' ἑκατέρου, ἔξωθεν τῆς τοιαύτης δίδοται τὸ πρᾶγμα ἢ ἡ διατίμησις αὐτοῦ.

Ὁ δὲ ἀπὸ ἐμπρησμοῦ ἢ ναυαγίου λαμβάνων ἔξωθεν τοῦ πράγματος, δίδωσιν εἴσω μὲν οὐτιλίου ἐνιαυτοῦ τὸ τετραπλοῦν τῷ κλαπέντι, καὶ τῷ φίσκῳ τὸ τετραπλοῦν· μετὰ δὲ τὸν ἐνιαυτὸν, τὸ ἁπλοῦν, ὡς βιβλ. ς' τοῦ

Digitized by Google Распознавание текста ABKAFR

κώδ. τίτ., β', διάτ. ιη', καὶ ἐν τῷ θ' τίτ. τοῦ μζ' βιβλ.

Ὡς ἐπὶ τὸ πολὺ δὲ ἐγκληματικῶς οἱ κλέπται κατηγοροῦνται, κλοπῆς ἡγουμένης, ὡς δίγ. ζγ' τοῦ αὐτοῦ τίτ. καὶ ἡ τοῦ διπλοῦ ἢ τοῦ τετραπλοῦ ποινὴ ἀργεῖ· εἴρηται γὰρ δίγ. νζ' τοῦ αὐτοῦ, ὅτι ἐάν τις τὸν κλέπτην παραδῷ νυκτεπάρχῳ ἢ τῷ ἄρχοντι, καὶ καταδικασθεὶς παράσχῃ τὸ πρᾶγμα ἢ τὴν διατίμησιν αὐτοῦ, ἀναιρεῖται ἡ κατ' αὐτοῦ ἀγωγὴ ὡς αὐτοῦ κινδυνεύσαντος· ὁ δὲ καταδικασθεὶς ἐπὶ κλοπῇ, ἢ φιλικῶς ἀπαλλαγεὶς ἐπὶ δόσει χρημάτων, ἄτιμος γίνεται, ὡς βιβλ. γ', τίτ. β', δίγ. β', κανὼν ς'.

Περὶ τυμβωρύχων γενικῶς διαλαμβάνει ὁ ιβ' τίτ. τοῦ μη' βιβλ. ἐν ᾧ φησιν, ὅτι. Καὶ χρηματικῶς καὶ ἐγκληματικῶς· ὑπόκεινται· καὶ ἔστιν ἡ χρηματικὴ ποινὴ, ποτὲ μὲν εἰς ρ', ποτὲ δὲ εἰς σ', ποτὲ δὲ εἰς τὸ διαφέρον τῆς γενομένης ζημίας, καὶ ἄτιμος γίνεται ὁ καταδικαζόμενος.

Οἱ δὲ τυμβωρυχοῦντες, εἰ μὲν κατὰ ὅπλων, κεφαλικῶς τιμωροῦνται· εἰ δὲ χωρὶς ὅπλων, μέχρι μετάλλων· οἱ δὲ τὰ λείψανα ἢ τὰ ὀστᾶ μετακινοῦντες, εὐτελεῖς μὲν ὄντες, ἄκρως τιμωροῦνται· οἱ δὲ ἄλλως περὶ μνημεῖον πλημμελοῦντες, ἐξορίζονται, ἢ εἰς μέταλλον καταδικάζονται· πῶς δὲ δυνατὸν ἀκινδύνως καὶ ἀζημίως μεταφέρειν λείψανα, καὶ φιλοκαλεῖν μνημεῖον, διδάσκει ὁ αὐτὸς τίτ. καὶ ὁ ζ' τοῦ ια' βιβλ. τῶν διγ. ὑπόκεινται δὲ οἱ τυμβωρύχοι, καὶ τῷ περὶ ἱεροσυλίας νόμῳ, ὡς βιβλ. μη', τίτ. ιγ', διάτ. ε' τοῦ ιθ' τίτ. τοῦ θ' βιβλ. τοῦ κώδ., ἐν ᾧ καὶ τὰς χρηματικὰς αὔξει ποινὰς, ποτὲ μὲν στέρησιν κτήματος ἢ ἀγροῦ ἢ οἴκου ἐπάγων, ἐάν εἰς αὐτοὺς ὕλη ἀπενεχθῇ ἀπὸ μνημείου· ποτὲ δὲ ι' λιτρῶν ποινὴν ἐπάγων, καὶ κ' τῷ ἄρχοντι μὴ ἐπεξιόντι· καὶ ἐν ταῖς ἡμέραις δὲ τοῦ Πάσχα οἱ τυμβωρύχοι ἐγκλείονται καὶ δεσμοῦνται, ὡς βιβλ. α' τοῦ κώδ., τίτ. δ', διάτ. γ'.

ΚΕΦΑΛ. ΚΗ'. — Περὶ τῶν βδελυττομένων τὸν γάμον ἢ τὸν οἶνον ἢ τὰ κρέα.

Ἀποστόλων κανὼν να', νγ'.

να'. Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, γάμου καὶ κρεῶν, κ. τ. λ.

νγ'. Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἐν ταῖς ἡμέραις τῶν ἑορτῶν, κ. τ. λ.

Συνόδου Ἀγκύρας κανὼν ιδ'.

ιδ'. Τοὺς ἐν κλήρῳ πρεσβυτέρους ὄντας ἢ διακόνους, κ. τ. λ.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ιγ', λ'.

ιγ'. Ἐπειδὴ ἐν τῇ Ῥωμαίων Ἐκκλησίᾳ, κ. τ. λ.

λ'. Πάντα πρὸς οἰκοδομὴν τῆς Ἐκκλησίας βουλόμενοι διαπράττεσθαι, καὶ τοὺς ἐν ταῖς βαρβαρικαῖς Ἐκκλησίαις ἱερεῖς οἰκονομεῖν διεγνώκαμεν· ὥστε εἰ τὸν ἀποστολικὸν κανόνα, τὸν περὶ τοῦ προφάσει εὐλαβείας τὴν οἰκείαν γαμετὴν μὴ ἐκβάλλειν, ὑπερανιβαίνειν οἴονται δεῖν, καὶ πέρα τῶν ὁρισθέντων ποιεῖν, ἐκ τούτου τε μετὰ τῶν οἰκείων συμφωνοῦντες συμβίων, τῆς πρὸς ἀλλήλους ὁμιλίας ἀπ-

A tit. 2, const. 18, et tit. 9, lib. XLVII [dicunt]. **300** Plerumque criminaliter scriptura præcedente fures accusantur, quemadmodum digest. 93, ejusdem tit. [de furtis traditur], et cessat dupli aut quadrupli pœna. Dicitur enim digest. 57, ejusdem [tit.] quod si quis furem tradat præfecto vigilum aut præsidi, et [ille] condemnatus rem ejusve pretium dederit: tollatur adversus ipsum actio, [ideo] quod [de majore pœna] periclitetur. Qui autem furti damnatus est, aut amice datis pecuniis [de eo] transegit: infamis redditur, ut lib. III, tit. 2, digest. 2, canon 6.

Textus. De sepulcrorum violatoribus generaliter tractat tit. 12, lib. XLVIII, cum dicit: [Sepulcri violati reus] tam pecuniarie tum criminaliter tenetur. Ac pecuniaria [quidem] pœna alias in centum B aureos, alias in ducentos, alias ad id quod interest damnum factum esse procedit. Condemnatus autem infamis fit.

Qui sepulcra violant, si armati [id faciant], capite plectantur: si sine armis, usque ad metalli [pœnam proceditur] Qui vero reliquias aut ossa removerint, si humilis fortunæ sint, summo supplicio afficiuntur: si honesti, deportantur. Qui aliter in monumentum [quidpiam] commiserint, aut relegantur, aut in metallum damnantur. Qui idem tit. ac 7, lib. II Dig [etiam] docet, quomodo citra periculum et damnum mortuorum corpora transferri et monumenta exornari possint. Qui sepulcra violant, etiam sacrilegii lege tenentur, ut lib. XLVIII, tit. 13, et const, 5, tit. 19, lib. IX, cod. [traditur] in quo C [posteriore tit.] pœnæ etiam augentur, alias possessionum, agri, aut domus, si in ea materia [aliqua] de monumento [detracta] asportata fuerit, privatione inducta: alias decem pondo [auri reis], et viginti magistratui hoc facinus non vindicanti multa irrogata. Denique in diebus Paschatis sepulcrorum violatores [in carcerem] includuntur atque vinciuntur, ut lib. I, cod. tit. 4, const. 3, [traditur.]

301 CAP. XXVIII. — *De vituperatoribus nuptiarum, vini et carnium.*

Apostolorum canones 51, 53.

51 [50]. Si quis episcopus, presbyter, vel diaconus, vel omnino ex sacerdotali numero, etc., *ut pag.* 731.

52 [53.] Si quis episcopus, vel presbyter, vel D diaconus in festis diebus, etc., *ut pag.* 746.

Concilii Ancyrani canon 14.

14. Qui in clero sunt, presbyteros vel diaconos, *ut pag.* 747.

Concilii œcumenici VI *canones* 13, 30.

13. Quoniam Romanæ Ecclesiæ, etc. *ut pag.* 759.

30. Ad Ecclesiæ ædificationem omnia facere volentes, etiam sacerdotes, qui sunt in Barbaricis Ecclesiis, complecti cura constituimus. Quare si aposticum canonem de uxore non ejicienda pietatis ac religionis prætextu, se supergredi debere existimant; et ultra ea quæ sunt constituta, facere, et ideo communi cum suis consortibus conventione et consensu inito, a mutua consuetudine abstinent,

Digitized by Google Распознавание текста ABK/FR

statuimus eos non amplius cum illis ullo modo cohabitare debere, ut eo nobis perfectam sui promissi demonstrationem præbeant. Hoc autem illis non propter aliud quam propter eorum pusillanimitatem, extraneosque ac non satis firmos mores concessimus.

302 CAP. XXIX. — *De licitis et illicitis nuptiis. Et quod lectores jam puberes interrogari oporteat utrum nubere velint. Et de concubinatu, fornicatione, et adulterio.*

Apostolorum canones 17, 18, 19, 25, 26.

17 [16]. Qui post sanctum baptisma duobus conjugibus fuerit implicitus, etc., *ut pag.* 511.

18 [17]. Qui viduam accepit, vel ejectam, vel meretricem, vel servam, etc., *ut pag.* 511.

19 [18]. Qui duas sorores duxit, vel consobrinam, non potest esse clericus.

25 [24]. Episcopus, vel presbyter, vel diaconus fornicationis vel perjurii, etc., *ut pag.* 743.

26 [25]. Ex iis, qui non ducta uxore ad clerum promoti sunt, jubemus, si velint uxorem ducere lectores et cantores solos.

Concilii Ancyrani canon 10.

10. Quicunque diaconi constituti, etc., *ut pag.* 747.

Concilii Neocæsariensis canones 1, 9, 10.

1. Presbyter si uxorem duxerit, ordine suo moveatur. **303** Si autem fornicatus fuerit, vel adulterium commiserit, penitus extrudatur, et ad pœnitentiam deducatur.

9. Si presbyter, qui corpore prius peccaverat, etc., *ut pag.* 547.

10. Similiter et diaconus, si in idem peccatum inciderit, ministri ordinem habeat.

Concilii Chalcedonensis canones 14, 15.

14. Quoniam in nonnullis, provinciis concessum est lectoribus et cantoribus uxores ducere, decrevit sancta synodus nulli eorum licere diversæ a recta opinionis uxorem ducere: eos autem qui ex ejusmodi matrimonio liberos susceperunt, si eos quidem baptizare apud hæreticos prævenerint, ad catholicæ Ecclesiæ communionem adducere: si autem non baptizaverint, non posse eos apud hæreticos baptizare. Sed neque hæretico, vel pagano, vel Judæo, matrimonio conjungere, nisi utique persona, quæ orthodoxæ, conjungitur, se ad orthodoxam fidem convertendam spondeat. Si quis autem hoc sanctæ synodi decretum transgressus fuerit, canonicis pœnis subjiciatur.

15. Diaconissam non esse mulierem ordinandam, etc., *ut pag.* 550.

Concilii Carthaginensis canon 16.

Ut nullus episcopus, presbyter, et diaconus conductor exsistat, etc., *ut pag.* 550.

Item placuit, ut episcopi, presbyteri et diaconi non sint conductores, etc., *ut pag.* 550.

A ἐχονται, ὁρίζομεν τούτους μηκέτι ταύταις συνοικεῖν καθ' οἱονδήποτε τρόπον, ἕως ἂν ἡμῖν ἐντεῦθεν ἐντελῆ τῆς ὑποσχέσεως παρέξοιεν τὴν ἀποδειξιν· πρὸς τοῦτο δὲ αὐτοῖς, οὐ δι' ἄλλο τι ἢ διὰ τὴν τῆς γνωμης μικροψυχίαν, καὶ τὸ τῶν ἠθῶν ἀπεξενωμένον καὶ ἀπαγὲς ἐνδεδώκαμεν.

ΚΕΦΑΛ. ΚΘ'. — Περὶ ἐπιτετραμμένων ἢ κεκωλυμένων γάμων· καὶ περὶ τοῦ ἐρωτᾶσθαι τοὺς ἀναγνώστας ἐφήβους γινομένους, εἰ βούλονται γαμεῖν· καὶ περὶ παλλακισμοῦ, καὶ πορνείας, καὶ μοιχείας.

Ἀποστόλων κανὼν ιζ' ιη', ιθ', κε', κς'.

ιζ'. Ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα, κ. τ. λ.

ιη'. Ὁ χήραν λαβὼν, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, B ἢ οἰκέτην, κ. τ. λ.

ιθ'. Ὁ δύο ἀδελφὰς ἀγόμενος ἢ ἀδελφὴν, οὐ δύναται εἶναι κληρικὸς.

κε'. Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἐπὶ πορνείᾳ, ἢ ἐπιορκίᾳ, κ. τ. λ.

κς'. Τῶν εἰς κλῆρον προελθόντων ἀγάμων, κελεύομεν βουλομένους γαμεῖν, ἀναγνώστας καὶ ψάλτας μόνον.

Συνόδου Ἀγκύρας κανὼν ι'.

ι'. Διάκονοι ὅσοι καθίστανται παρ' αὐτὴν κατάστασιν, κ. τ. λ.

Συνόδου Νεοκαισαρείας κανὼν α', θ', ι'.

α'. Πρεσβύτερος ἐὰν γήμῃ, τῆς τάξεως αὐτὸν μετατίθεσθαι· ἐὰν δὲ πορνεύσῃ ἢ μοιχεύσῃ, ἐξωθεῖσθαι αὐτὸν τέλεον καὶ ἄγεσθαι εἰς μετάνοιαν. C

θ'. Πρεσβύτερος ἐὰν προήμαρτηκὼς, κ. τ. λ.

ι'. Ὁμοίως καὶ ὁ διάκονος, ἐὰν τῷ αὐτῷ ἁμαρτήματι περιπέσῃ, τὴν τοῦ ὑπηρέτου τάξιν ἐχέτω.

Συνόδου Χαλκηδόνος κανὼν ιδ', ιε'.

ιδ'. Ἐπειδὴ ἔν τισιν ἐπαρχίαις συγκεχώρηται τοῖς ἀναγνώσταις καὶ ψάλταις γαμεῖν, ὥρισεν ἡ ἁγία σύνοδος, μὴ ἐξεῖναί τινι αὐτῶν ἑτερόδοξον γυναῖκα λαμβάνειν· τοὺς ἤδη ἐκ τοιούτου γάμου παιδοποιήσαντας, εἰ μὲν ἔφθασαν βαπτίσαι τὰ ἐξ αὐτῶν τεχθέντα παρὰ τοῖς αἱρετικοῖς, προσάγειν αὐτὰ τῇ κοινωνίᾳ τῆς καθολικῆς Ἐκκλησίας· μὴ βαπτίσαντας δὲ, μὴ δύνασθαι ἔτι βαπτίζειν αὐτὰ παρὰ τοῖς D αἱρετικοῖς· μήτε τὴν συνάπτειν πρὸς γάμον αἱρετικῷ ἢ Ἰουδαίῳ ἢ Ἕλληνι, εἰ μὴ ἄρα ἐπαγγέλλοιτο μετατίθεσθαι εἰς τὴν ὀρθόδοξον πίστιν τὸ συναπτόμενον πρόσωπον τῷ ὀρθοδόξῳ· εἰ δέ τις τοῦτον τὸν ὅρον παραβαίη τῆς ἁγίας συνόδου, κανονικῷ ὑποκείσθω ἐπιτιμίῳ.

ιε'. Διακόνισσαν μὴ χειροτονεῖσθαι γυναῖκα, κ. τ. λ.

Συνόδου Καρθαγέννης κανὼν ις'.

Ὥστε μηδένα ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἐκληψίν τινα λαμβάνειν.

ις'. Ὁμοίως ἤρεσεν, ἵνα ἐπίσκοποι, καὶ πρεσβύτεροι, καὶ διάκονοι, ἐκλήπτορες μὴ γίνωνται, κ. τ. λ.

Digitized by Google Распознавание текста ABK/FR

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν γ', δ', ς', ιβ', ιγ', μη', νθ'.

Περὶ ἱερέων καὶ κληρικῶν.

γ'. Ἐπειδὴ δὲ ὁ εὐσεβὴς καὶ φιλόχριστος ἡμῶν βασιλεὺς, κ. τ. λ.

δ'. Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, κ. τ. λ.

ς'. Ἐπειδὴ παρὰ τοῖς ἀποστολικοῖς κανόσιν εὕρηται, τῶν εἰς κλῆρον προαγομένων ἀγάμων, μόνους ἀναγνώστας καὶ ψάλτας γαμετὴν, καὶ ἡμεῖς τοῦτο παραφυλάττοντες ὁρίζομεν, ἀπὸ τοῦ νῦν μηδαμῶς ὑποδιάκονον, ἢ διάκονον, ἢ πρεσβύτερον, μετὰ τὴν ἐπ' αὐτῷ προερχομένην χειροτονίαν, ἔχειν ἄδειαν γαμικὸν ἑαυτῷ συνιστᾶν συνοικέσιον· εἰ δὲ τοῦτο τολμήσοι ποιῆσαι, καθαιρείσθω· εἰ δὲ βούλοιτό τις τῶν εἰς κλῆρον προερχομένων, γάμου νόμῳ συνάπτεσθαι γυναικὶ, πρὸ τῆς τοῦ ὑποδιακόνου, ἢ διακόνου, ἢ πρεσβυτέρου χειροτονίας, τοῦτο πραττέτω.

ιβ'. Καὶ τοῦτο δὲ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἐν τῇ Ἀφρικῇ, κ. τ. λ.

ιγ'. Ἐπειδὴ ἐν τῇ Ῥωμαίων Ἐκκλησίᾳ, κ. τ. λ.

μη'. Ἡ τοῦ πρὸς ἐπισκοπῆς προεδρίαν ἀναγομένου γυνὴ, κατὰ κοινὴν συμφωνίαν τοῦ οἰκείου ἀνδρὸς προδιαζευχθεῖσα, μετὰ τὴν ἐπ' αὐτῷ τῆς ἐπισκοπῆς χειροτονίαν, ἐν μοναστηρίῳ εἰσίτω, πόρρω τῆς τοῦ ἐπισκόπου καταγωγῆς ὠκοδομημένῳ, καὶ τῆς ἐκ τοῦ ἐπισκόπου προνοίας ἀπολαυέτω· εἰ δὲ καὶ ἀξία φανείη, καὶ πρὸς τὸ τῆς διακονίσσης ἀναβιβαζέσθω ἀξίωμα.

νθ'. Μηδεὶς ἐν εὐκτηρίῳ οἴκῳ, κ. τ. λ.

Βασιλείου κανὼν γ', ς', ξθ', ο'.

γ'. Διάκονος μετὰ τὴν διακονίαν πορνεύσας, κ. τ. λ.

ς'. Τῶν γαμικῶν τὰς πορνείας εἰς γάμον μὴ καταλογίζεσθαι, ἀλλὰ παντὶ τρόπῳ διασπᾶν αὐτῶν τὴν συνάφειαν· τοῦτο γὰρ καὶ τῇ Ἐκκλησίᾳ πρὸς ἀσφάλειαν λυσιτελὲς, καὶ τοῖς αἱρετικοῖς οὐ δώσει καθ' ἡμῶν λαβὴν, ὡς διὰ τὴν τοῦ ἁμαρτάνειν ἄδειαν, ἐπισπωμένων πρὸς ἑαυτούς.

ξθ'. Ἀναγνώστης εἰ τῇ ἑαυτοῦ μνηστῇ πρὸ γάμου συγκλίξειεν, ἐνιαυτὸν ἀργήσας εἰς τὸ ἀναγινώσκειν δεχθήσεται, μένων ἀπρόσκοπος· κλεψιγαμήσας δὲ ἄνευ μνηστείας, παυθήσεται τῆς ὑπηρεσίας· τὸ δὲ αὐτὸ καὶ ὑπηρέτης.

υ'. Διάκονος ἐν χείλεσι μιονθεὶς, κ. τ. λ.

Θεοφίλου ἐκ τοῦ Ὑπομνηστικοῦ κανὼν δ', ε'.

δ'. Περὶ δὲ Πανοὺφ, κ. τ. λ.

ε'. Περὶ Ἰακὼβ ζητῆσαι, κ. τ. λ.

Ἡ α' τοῦ κώδ., τίτ. γ', διάτ. ε', ἐάν τις μόνον πειραθῇ λαβεῖν γαμετὴν παρθένον ἱεράν, κεφαλικῶς τιμωρεῖται· καὶ διάτ. μδ' τοῦ αὐτοῦ τίτ. ὅτι ἐὰν πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος γαμήσῃ, ὑπόκειται μὲν τοῖς κανόσιν, οἵτινες οὐχ ἧττον τῶν νόμων ἰσχύουσι, καὶ τῆς ἱερωσύνης ἐκπίπτει, καὶ οἱ παῖδες ὡς ἐξ ἀθεμίτων γάμων τεχθέντες, οὔτε

A 504 *Concilii œcumenici* VI, *canones* 3, 4, 6, 12, 13, 48, 49.

De sacerdotibus et clericis.

3. Quoniam vero pius Christique amator imperator noster, etc., *ut pag.* 511.

4. Si quis episcopus, vel presbyter, vel diaconus, etc., *ut pag.* 750.

6 Quoniam in 00 apostolicis canonibus dictum est eorum qui non ducta uxore in clerum promoventur, solos lectores et cantores uxorem posse ducere; et nos hoc servantes decernimus, ut deinceps nulli penitus hypodiacono, vel diacono, vel presbytero post sui ordinationem contrahere liceat. Si autem fuerit hoc ausus facere, deponatur. Si quis autem eorum, qui in clerum accedunt, velit lege matrimonii mulieri conjungi antequam hypodiaconus, vel presbyter ordinetur, hoc faciat.

12. Porro hoc quoque ad nostram cognitionem pervenit, quod in et Africa, etc., *ut pag.* 514.

13. Quoniam Romanæ Ecclesiæ, etc., *ut pag.*, 759.

48. Uxor ejus qui ad episcopalem dignitatem promovetur, communi sui viri consensu prius separata, postquam in episcopum ordinatus est ac consecratus, monasterium ingrediatur procul ab episcopi habitatione exstructum, et episcopi providentia fruatur. Sin autem digna visa fuerit, etiam ad diaconatus dignitatem provehetur.

C 59. In æde oratoria, etc., *ut pag.* 607.

305 *Basilii canones* 3, 6, 69, 70.

3. Diaconus post diaconatum fornicatus, etc., *ut pag.* 753.

6. Canonicarum stupra pro matrimonio non reputentur, sed earum conjunctio ominno divellatur. Hoc enim et Ecclesiæ ad securitatem est utile, et hæreticis non dabit adversus nos ansam, quasi per peccandi libertatem ad nos attrahamus.

69. Lector, si cum sua sponsa ante matrimonium commercium habuerit, postquam anno cessaverit, ad legendum suscipietur; non tamen ultra promovendus. Quod si absque desponsatione furtim coierit, cessabit a ministerio. Eadem et D ministri ratio.

306 70. Diaconus qui pollūtus est in labris, etc., *ut pag.* 755.

Theophili ex commonitorio canones 4, 5.

4. De Panuph, etc., *ut pag.* 550.

5. De Jacob quærere, etc., *ut pag.* 550.

Textus. Lib. I, cod. tit. 3, const. 5. Si quis sacram virginem uxorem ducere tantummodo tentarit, capitali pœna feritur. Et constit. 44, ejusdem tit. Si presbyter, aut diaconus, aut hypodiaconus nuptias contraxerit, canonibus tenetur, qui non minus valent quam leges, et sacerdotio excidit. Liberi autem, tanquam ex illicitis nuptiis nati,

Digitized by Google Распознавание текста ABKAFR

neque naturales neque adoptivi sunt, et neque ex donatione, successione, facto deb[illegible] aut alterius obligatione quicquam percipiunt a patribus suis: sed neque matres ipsorum: verum ea capit Ecclesia, in qua illi deservierint. Dicit vero etiam const. 13, tit. 1 Novellarum: Si monachus clericus factus sit, ad matrimonium deveniat ne audeto: tametsi in clero eum gradum nactus sit, in quo clericis matrimonium contrahere licet. [quales videlicet, cantores, et lectores obtineat.] Aliis enim omnibus in universum nuptiæ interdictæ sunt. At si aut nuptias contrahat, aut concubinam habeat, aut impudice vivat, ejicitor. ac plebeius esto. Ad militiam [vero] vel aliud officium deveniat ne audeto. Et constit. 1, ejusdem tit. Nullus qui matrimonium iteravit, presbyter aut diaconus ordinator: neque etiam qui uxori cohabitat, quæ maritum suum facto divortio reliquit: neque qui concubinam habet. At [talis] castam vitam agat, aut etiam uxori cohabitet, vel unius [uxoris ejusdemque] castæ, ac ex virginitate [assumptæ] maritus fuerit. Cæterum si quis cum presbyter sit, aut diaconus aut hypodiaconus, vel palam, vel clam, vel sub aliquo prætextu [ad se] uxorem aut concubinam introduxerit: sacro confestim ordine excidito, et privatus atque plebeius esto. Lector autem matrimonium iterans [ad altiora] ne progreditor, neque ad tertias nuptias devenito. Ac si post iteratum conjugium progredi enitatur, plebeius esto.

Dicit item: Quæ diaconissæ ordinantur, admonentor: [ac] sciunto, quod si contracto matrimonio aliave vitæ ratione [suscepta] dedecorare ordinationem ausæ fuerint reæ mortis fient, et facultates suæ monasteriis aut Ecclesiis suis applicabuntur. Qui vero ducere illas aut constuprare ausi fuerint, gladio obnoxii erunt, eorumque substantiam fiscus capiet.

Textus. Constit. 2, ejusdem tit. Si decurio aut cohortalis, ubi quindecim annis monachus fuerit, clericus fiat, [ac] deinde nuptias contrahat. [pristinæ] suæ fortunæ restituitur. [Quod] idem et in aliis qui ex monachis clerici [facti sunt, obtinet]: tametsi decuriones aut cohortales non fuerint. Et: Qui cælibem ordinat, interrogato illum, an sine legitima uxore caste vivere possit. Qui vero tempore ordinationis diacono post ordinationem matrimonium contrahere permiserit, ab episcopatu ejicitur. Porro presbyter, aut diaconus, aut hypodiaconus qui post ordinationem matrimonium contrahit, e clero ejicitur, et cum rebus suis curiæ civitatis in qua clericus erat, traditur. Item lector qui nuptias iterat, aut viduam, vel divortio disjunctam, vel legibus canonibusve interdictam [in uxorem] assumit, in alium gradum ne procedito. Quin et si processerit, priori restituitur.

Dicit insuper: Qui ascetriam, aut monastriam, aut diaconissam, aut alium religiosum habitum gestantem [mulierem] rapiunt, corrumpunt, vel constuprant, quique [illis sese] associant: capitali supplicio afficiuntur, ac res illorum injuria affectæ

[illegible] ἢ ἄλλως ἐκτὸς γάμου, καὶ τέκνα κατὰ διαδοχήν, ἢ δωρεάν, ἢ ἐπιτροπεύουσιν ὄντας, ἢ ἕτερον ἐνοχλοῦν, ἀκολουθοῦσι τοῖς τούτων πατράσιν, ἢ αἱ μητέρες αὐτῶν. ἀλλὰ ταῦτα λαμβάνει ἡ κατ' αὐτοὺς ἐκκλησία· λέγει δὲ ἡ ιγ' διατ. τοῦ α' τίτ. τῶν Νεαρῶν, ὅτι ἐὰν μοναχὸς κληρικὸς γένηται, μὴ ἐξέστω αὐτῷ πρὸς γάμον ἐλθεῖν, καὶ τοιοῦτο βαθμὸν τετύχηκεν ἐν τῷ κλήρῳ ἐν ᾧ τοῖς κληρικοῖς ἔξεστι γαμεῖν, τοιοῦτος ὢν καὶ ἀνεγνωσμένος· τοῖς γὰρ ἄλλοις ἅπασι κεκώλυται ὁ γάμος ἀπαγορεύεσθαι· εἰ δὲ γαμήσει, ἢ παλλακὴν σχήσει, ἢ ἀπλῶς ζήσει, ἐκβάλλεσθω τοῦ κλήρου, καὶ ἰδιώτης ἔστω, πλὴν σκεύεσι καὶ ἑτέραν ἐπιτηδεύσει ἐλευθέριον θάλασσαν· καὶ ἡ β' διάτ. τοῦ αὐτοῦ τίτ., ὅτι μηδὲς δευτερογαμήσας χειροτονείσθω πρεσβύτερος ἢ διάκονος, μήτε μὲν εἰ γυναικὶ συνοικεῖ τὴν ἴδιαν λύσας κατάστασιν, μήτε εἰ παλλακὴν ἔχει, ἀλλὰ σωφρονοῦσαν σχῆν, καὶ ἢ γαμετῇ συνοικοῦν, ἢ μιᾶς ἄνδρι γενομένης σώφρονος καὶ ἐκ παρθενίας· εἰ δὲ τις πρεσβύτερος ὢν, ἢ διάκονος, ἢ ὑποδιάκονος γαμετὴν ἢ παλλακὴν εἰσάγοιτο φανερῶς ἢ ἐσχηματισμένως, ἐλέσθω τῆς ἱερᾶς ἐκπίπτειν τάξεως, καὶ ἰδιώτης καὶ λαϊκὸς ἔστω· ἀναγνώστης δὲ δευτερογαμῶν, μὴ προκοπτέτω, μὴ μὴν καὶ τριγαμείτω· εἰ δὲ δευτερογαμήσας σκεύεσι προκόψαι, γινέσθω ἰδιώτης.

Λέγει δὲ ὅτι χειροτονοῦμεναι αἱ διάκονοι, νουθετείσθωσαν· εἰδυῖαι ὡς εἰ θαρρήσειεν κατισχύσαι τὴν χειροτονίαν, προσομιλοῦσαι γάμῳ ἢ ἄλλου βίου πορείᾳ, θανάτῳ ζημιοῦσθαι ἔνοχοι· καὶ τοῖς αὐτῶν ἐκκλησίαις αἱ περιουσίαι αὐτῶν προσκυρωθήσονται· οἱ δὲ γῆμαι ἢ φθεῖραι αὐτὰς τολμήσαντες, ὑπεύθυνοί εἰσι ξίφει, καὶ τὴν οὐσίαν αὐτῶν τὸ δημόσιον λήψεται.

Καὶ ἡ β' διάτ. τοῦ αὐτοῦ τίτ., ὅτι ἐὰν βουλευτὴς ἢ ταξεώτης, ἐπὶ ιε' μονάσας ἔτη γένηται κληρικὸς, εἶτα γαμήσῃ, ἀποδίδοται τῇ ἰδίᾳ τύχῃ· τὰ αὐτὰ δὲ καὶ περὶ τῶν ἄλλων κληρικῶν τῶν ἀπὸ μοναχῶν, κἂν μὴ γεγόνασι βουλευταὶ ἢ ταξεῶται· καὶ ὅτι ὁ χειροτονῶν ἄγαμον, ἐρωτάτω αὐτὸν εἰ δύναται χωρὶς νομίμου γαμετῆς σεμνῶς βιοῦν· ὁ δὲ τῷ καιρῷ τῆς χειροτονίας ἐπιτρέπων διακόνῳ ἢ ὑποδιακόνῳ γαμῆσαι μετὰ τὴν χειροτονίαν, τῆς ἐπισκοπῆς ἐκβάλλεται· πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος, μετὰ τὴν χειροτονίαν γαμῶν ἐκβάλλεται τοῦ κλήρου, καὶ μετὰ τοῦ αὐτοῦ πραγμάτων ὀίδοται τῇ βουλῇ τῆς πόλεως ἐν ᾗ κληρικὸς ἦν· δευτερογαμῶν δὲ ἀναγνώστης, ἢ χήραν ἢ διεζευγμένην λαμβάνων, ἢ τοῖς νόμοις ἢ τοῖς κανόσιν ἀπηγορευμένην, εἰς ἄλλον μὴ προβαινέτω βαθμὸν, ἀλλὰ καὶ προβὰς ἀποκαθίσταται τῷ προτέρῳ.

Λέγει δὲ ὅτι οἱ ἁρπαζόντες, ἢ ὑπονοθεύοντες, ἢ διαφθείροντες ἀσκήτριαν ἢ μονάστριαν, ἢ διακόνισσαν, ἢ ἄλλο εὐλαβὲς ἔχουσαν σχῆμα, καὶ οἱ μετασχόντες, κεφαλικῶς τιμωροῦνται, καὶ τὰ πράγματα αὐτῶν τῇ Ἐκκλησίᾳ ἢ τῷ μοναστηρίῳ τῆς ὑπ' ὁρισθείσης περι-

Digitized by Google Распознавание текста ABK/FR

ποιοῦνται διὰ τοῦ ἐπισκόπου ἢ τοῦ οἰκονόμου καὶ τῶν ἀρχόντων καὶ τῶν τάξεων· αὕτη δὲ μετὰ τῶν αὐτῆς πραγμάτων, μοναστηρίῳ ἐμβάλλεται ἀσφαλῶς φυλαχθησομένη· εἰ δὲ διακόνισσα ἐστιν ἔχουσα νομίμους παῖδας, τὸ νόμιμον μέρος λαμβάνουσιν· εἰ δὲ ἐπὶ ἐνιαυτὸν μετὰ τὸ γνωσθῆναι τὸ μῦτος μὴ ἐκδικήσουσι τὰ πράγματα οἱ εὐαγεῖς οἶκοι, ὁ φίσκος αὐτὰ λαμβάνει, τοῦ ἀμελοῦντος αὐτὰ ἐκδικηθῆναι ἄρχοντος ἀποζωννυμένου, καὶ ε' λίτρας τοῖς πριβίτοις προστιμωμένου.

ΚΕΦΑΛ. Λ'. — Περὶ τῶν ἐπὶ γάμῳ γυναῖκας ἁρπαζόντων.

Ἀποστόλων κανὼν ξζ'.

ξζ'. Εἴ τις παρθένον ἀμνήστευτον βιασάμενος ἔχει, κ. τ. λ.

Συνόδου Ἀγκύρας κανὼν ια', κε'.

ια'. Τὰς μνηστευθείσας κόρας, καὶ μετὰ ταῦτα ὑπὸ ἄλλων ἁρπαγείσας, ἔδοξεν ἀποδίδοσθαι τοῖς προμνηστευσαμένοις, εἰ καὶ βίαν ὑπ' αὐτῶν πάθοιεν.

κε'. Μνηστεύσαμένός τις κόρην, πρωσεφθάρη τῇ ἀδελφῇ αὐτῆς, ὡς καὶ ἐπιφορῆσαι αὐτήν· ἔγημε δὲ τὴν μνηστὴν μετὰ ταῦτα, ἡ δὲ φθαρεῖσα ἀπήγξατο· οἱ συνειδότες ἐκελεύσθησαν ἐν δεκαετίᾳ δεχθῆναι εἰς τοὺς συνεστῶτας, κατὰ τοὺς ὡρισμένους βαθμούς.

Συνόδου Χαλκηδόνος κανὼν κζ'.

κζ'. Τοὺς ἁρπάζοντας γυναῖκας, κ. τ. λ.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ξβ'.

ξβ'. Τοὺς ἁρπάζοντας γυναῖκας ἐπ' ὀνόματι συνοικεσίου, ἢ συμπράττοντας, ἢ συναιρομένους τοῖς ἁρπάζουσιν, ὥρισεν ἡ ἁγία σύνοδος, εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτειν τοῦ οἰκείου βαθμοῦ· εἰ δὲ λαϊκοί, ἀναθεματίζεσθαι.

Θεοφίλου ἐκ τοῦ Ὑπομνηστικοῦ κανὼν β'.

β'. Περὶ Βήστου καταστάντος ἐν Ἐρέσῳ πρεσβυτέρου ζητητέον, καὶ εἰ μὲν ἀποταξαμένην τινὰ ζῶντος τοῦ ἀνδρὸς ἐδιάσατο, μὴ συγχωρείσθω εἶναι πρεσβύτερος· ὅπου γε οὐδὲ ὡς λαϊκὸς ὀφείλει συνάγεσθαι, τῆς Ἐκκλησίας εἰωθυίας τοὺς τοιούτους χωρίζειν· οὐ φέρει γὰρ τοῦτο πρόκριμα τῷ ἐπισκόπῳ Ἀπόλλωνι, εἰ ἐξ ἀγνοίας αὐτὸν κατέστησε, τῆς ἁγίας συνόδου κελευσάσης τοὺς ἀναξίους μετὰ τὴν χειροτονίαν ἐλεγχομένους ἐπὶ ἐγκλήμασιν ἐκβάλλεσθαι.

Βιβλ. α', τίτ. γ', διάτ. ε', ἐάν τις ἁρπάσῃ, ἢ μόνον πειραθῇ λαβεῖν γαμετὴν παρθένον ἱερὰν, κεφαλικῶς τιμωρεῖται· καὶ διάτ. νγ' τοῦ αὐτοῦ τίτ., τοῖς γονεῦσι, καὶ τοῖς ἀδελφοῖς, καὶ τοῖς κηδεμόσι τῶν παρθένων, καὶ διακονισσῶν, καὶ τῶν ἀνειμένων τῷ Θεῷ χηρῶν, ἔξεστι τοὺς ἁρπαγας αὐτῶν, καὶ τοὺς ἐν καιρῷ τῆς ἐφόδου βοηθοῦντας αὐτοῖς, ἐπ' αὐτοφώρῳ φονεύειν· εἰ δὲ διαφύγωσιν, ἀναζητοῦσιν αὐτοὺς, ἐν Κωνσταντινουπόλει μὲν οἱ ὕπαρχοι καὶ ὁ ἔπαρχος, ἐν δὲ ταῖς ἐπαρχίαις, πάντες οἱ ἄρχοντες, πολιτικοί τε καὶ στρατιωτικοί, καὶ μετὰ σύστασιν

[mulieris] ecclesiæ aut monasterio per œconomum, 308 episcopum præsides et cohortes vindicantur : ipsa vero cum rebus suis in monasterium conjicitur, [ibidem] caute asservanda. Plane si diaconissa sit, et legitimos liberos habeat, [illi] legitimam partem capiunt. Quod si intra annum quo istiusmodi scelus innotuit, [eas] facultates venerabiles domus non vindicent : fiscus illas accipit. Quas si præses vindicare neglexerit, cingulo privatur, atque quinque libris [auri rebus principis] privatis [applicandis] multatur.

CAP. XXX. — *De iis qui matrimonii causa mulieres rapiunt.*

Apostolorum canon 67.

67 [66]. Si quis virginem non desponsatam, vi allata habet, etc., *ut pag.* 838.

Concilii Ancyrani canones 11, 25.

11. Desponsatas aliis puellas, et ab aliis postea raptas, visum est iis, quibus desponsatæ erant, reddi, etiam si vim passæ sunt.

25. Quidam cui erat puella desponsata, ejus sorori vitium attulit, ita ut ea etiam conciperet. Sponsam autem postea uxorem duxit. Ea autem cui vitium erat allatum, se suffocavit. Qui conscii fuerant, jussi sunt decennio in eos qui consistunt, recipi per gradus definitos.

Concilii Chalcedonensis canon 27.

27. Eos qui nomine conjugii, etc., *ut pag.* 750.

Concilii œcumenici VI *canon* 92.

92. Eos qui nomine matrimonii mulieres rapiunt [60], quique opera opeque sua raptores adjuvant, statuit sancta synodus : si sint quidem clerici, proprio gradu excidere; si vero laici, anathemate percuti.

309 *Theophili ex Commonitorio canon* 2.

2. De Bisto, qui in Ereba constitutus est presbyter, quærendum est; et si alicui quidem mulieri separatæ, vivente marito, vim attulit, non sinatur esse presbyter; nam ne ut laicus quidem debet communicare, cum eos qui tales sunt separare consueverit Ecclesia. Hoc autem nullum affert episcopo Apollini præjudicium, si eum per ignorantiam constituit; cum sancta synodus jusserit eos, qui post ordinationem propter crimen indigni esse convincuntur, expelli.

Textus. Lib. I, tit. 3, const. 5. Si quis rapuerit, aut saltem in uxorem capere sacratam virginem conatus sit, capitali pœna feritur. Et const. 53, ejusdem tit. Parentibus fratribus, et tutoribus sive curatoribus virginum, diaconissarum, et consecratarum Deo viduarum, licet raptores earum, et qui eis auxilium tempore invasionis præbent, in ipso actu deprehensos occidere. Sin autem fuga evaserint, investigant ipsos Constantinopoli præfecti [prætorio] et præfectus [urbis] : in provinciis vero quicunque magistratus et civiles et militares : et

60 Basil. canon 30 ; Chalced. 27.

Digitized by Google Распознавание текста ABK/FR

post [testium] coactionem illos nulla admissa fori præscriptione ultimo supplicio afficiunt : ac bona raptoris, ejusque qui (ut dictum est) illi suppetias tulit, capit monasterium aut asceterium, ut inde vim passa illic alatur. Si vero quæ vim passa est, diaconissa duntaxat sit, non autem ascetria, neque monastria : proprietatem ipsius ecclesia, ipsa vero usumfructum capit. Cæterum qui alio modo ipsis adjumento fuerunt, aut ministerium præbuerunt, aut conscii fuerunt, aut susceperunt, aut quamcunque opem attulerunt, ultimo tantummodo supplicio subjacent. Locum autem prædicta [habent,] tametsi volens dictarum mulierum aliqua rapta sit. Lib. I, tit. 4, 310 const. 3. Et in diebus Paschatis virginum raptores [in carcerem] includuntur et vinciuntur. Lib. III, tit. 24, const. 1. Qui illustris non est, sed tantummodo clarissimus, si raptum virginis in provincia commiserit : illic legibus subjugatur, nec fori præscriptione utitur.

Textus. Tit. 41, const. 4. Qui dicit a servo uxorem suam raptam esse, non dominum, sed ipsum accusare debet. Lib. VII, tit. 3, const. 3. Si servus detulerit virginis raptum, pacto aut dissimulatione celatum, libertate donatur. Lib. IX, tit. 9, const. 7. Maritus de violenta virginis constupratione, ante matrimonium [facta], nisi [illa] sponsa ejus fuerat, [actionem] movere, tanquam maritus, non potest, ipsa autem una cum curatoribus movet. Tit. 10, const. 1. Si quis eam cujus tutor fuit, stupraverit, deportatur, ejusque universæ facultates publicantur. Tit. 11, const. 3. Si rapta fuerit sponsa filii mei, legem [Juliam] de vi moveo. Lib. IX, tit. 13, const. 1, et unica. Si quis qualemcunque mulierem, sive ingenuam sive servam, rapuerit : tametsi ipsi desponsa fuerit, capitali sententia condemnatus moritur, et pariter cum eo qui in raptu auxilium tulerint. Raptarum autem patribus, fratribus, tutoribus vel curatoribus, patronis et dominis invasionis tempore hos interficere licet. Sin autem fuga evaserint, investigant ipsos Byzantii præfecti [prætorio] et præfectus [urbis:] in provinciis vero quicunque magistratus, magistri militum, et duces : atque post [testium] coactionem interimunt, fori præscriptione aut provocatione uti non queuntes.

Et si quidem ancilla vel libertina rapta fuerit, interficiuntur raptores : sed nullam substantiæ imminutionem sustinent. At si ingenua rapta sit, omnes res raptoris, 311 eorumque qui ipsi auxilium præbuerunt applicantur raptæ : quæ ne consentiente quidem patre raptori suo nubere potest. Eamdem autem pœnam et mortis et [amissionis] rerum excipiunt, qui ad aggressuram raptorem comitati sunt. Sed conscii, et ministri, et susceptores, et qui quomodocunque raptoribus opem tulerint, [utriuscunque] sexus, et cujuscunque aut fortunæ, aut gradus, aut dignitatis sint : pœnam tantummodo capitalem subeunt, [idque] etiamsi mulier volens rapta sit. Plane si parentes raptæ

A μὴ χρωμένους παραγραφῇ, τιμωροῦνται ἐσχάτως· καὶ τὰ πράγματα τοῦ ἅρπαγος, καὶ τοῦ, ὡς εἴρηται, βοηθήσαντος αὐτῷ, λαμβάνει τὸ μοναστήριον ἢ τὸ ἀσκητήριον, ἐφ' ᾧ καὶ τὴν βιασθεῖσαν ἐξ αὐτῶν ἐκεῖ τρέφεσθαι· εἰ δὲ μόνον διακόνισσά ἐστιν ἡ βιασθεῖσα καὶ οὐκ ἀσκήτρια ἢ μονάστρια, τὴν μὲν δεσποτείαν ἡ κατ' αὐτὴν Ἐκκλησία λαμβάνει, αὐτὴ δὲ τὴν χρῆσιν· οἱ δὲ ἄλλως αὐτῇ βοηθήσαντες, ἢ ὑπουργήσαντες, ἢ συνειδότες, ἢ ὑποδεξάμενοι, ἢ σπουδὴν οἱανδήποτε συνεισαγαγόντες, μόνῃ τῇ ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται· χώρα δὲ τοῖς εἰρημένοις, κἂν ἑκοῦσά τις τῶν εἰρημένων γυναικῶν ἁμαρτηθῇ, βιβλ. α', νίτ. δ', διάτ. γ'· καὶ ἐν ταῖς ἡμέραις τοῦ Πάσχα οἱ τῶν παρθένων ἅρπαγες ἐγκλείονται καὶ δεσμοῦνται· βιβλ. γ', τίτ. κδ', διάτ. α', ὁ μὴ ὢν ἰλλούστριος ἀλλὰ B μόνον λαμπρότατος, ἁρπαγὴν ἐν ἐπαρχίᾳ παρθένου πλημμελήσας, ἐκεῖ τοῖς νόμοις ὑποβάλλεται, μὴ χρώμενος φόρου παραγραφῇ.

Τίτ. μα', διάτ. δ', ὁ λέγων παρὰ δούλου τὴν αὐτοῦ γαμετὴν ἁρπαγῆναι, οὐ τοῦ δεσπότου ἀλλ' αὐτοῦ κατηγορεῖν ὀφείλει· βιβλ. ζ' τίτ. γ', διάτ. γ', ἐὰν δοῦλος καταμηνύσῃ ἁρπαγὴν παρθένου λαθοῦσαν, πάκτῳ ἢ ἀποπροσποιήσει ἐλευθεροῦται· βιβλ. θ', τίτ. θ', διάτ. ζ', ὁ ἀνὴρ οὐ δύναται κινεῖν ὡς ἀνὴρ περὶ τῆς πρὸ τοῦ γάμον βιαίας τῆς παρθένου φθορᾶς, εἰ μὴ ἦν αὐτοῦ μνηστή· αὐτὴ δὲ κινεῖ συνόντων τῶν κουρατώρων· τίτ. ι' διάτ. α', ἐάν τις φθείρῃ τὴν παρ' αὐτοῦ ἐπιτροπευθεῖσαν δεπορτατεύεται, καὶ εἰς ὁλόκληρον δημεύεται· τίτ. ια', διάτ. γ', ἐὰν ἁρπαγῇ ἡ C μνηστὴ τοῦ υἱοῦ μου, κινῶ τὸν περὶ βίας νόμον· βιβλ. θ', τίτ. ιγ', διάτ. α' καὶ μόνη, ἐάν τις ἁρπάσῃ οἱανδήποτε γυναῖκα δούλην ἢ ἐλευθέραν, κἂν ἦν αὐτῷ μεμνηστευμένη, κεφαλικῶς καταδικαζόμενος ἀποθνήσκει, καὶ οἱ ἐν τῇ ἁρπαγῇ βοηθήσαντες αὐτῷ, καὶ τοῖς πατράσι τῶν ἁρπαγεισῶν ἔξεστι, καὶ τοῖς ἀδελφοῖς καὶ τοῖς κηδεμόσι καὶ πάτρωσι καὶ δεσπότας, ἐν τῷ καιρῷ τῆς ἐφόδου τούτους φονεύειν· εἰ δὲ διαφύγωσιν, ἀναζητοῦσιν αὐτοὺς, ἐν μὲν Βυζαντίῳ οἱ ὕπαρχοι καὶ ὁ ἔπαρχος, ἐν δὲ ταῖς ἐπαρχίαις πάντες οἱ ἄρχοντες, καὶ στρατηλάται, καὶ δοῦκες, καὶ μετὰ σύστασιν ἀναιροῦσι, μὴ δυναμένους χρήσασθαι φόρου παραγραφῇ ἢ ἐκκλήτῳ.

Καὶ ἡ μὲν δούλη ἢ ἀπελευθέρα ἁρπαγῇ, ἀναιD ροῦνται οἱ ἅρπαγες, οὐ μὴν καὶ μείωσιν τῆς οὐσίας ὑφίστανται· εἰ δὲ εὐγενὴς ἡρπάγη, πάντα τὰ πράγματα τοῦ ἁρπάσαντος καὶ τῶν βοηθησάντων αὐτῷ, προσκυροῦνται τῇ ἁρπαγείσῃ· οὔτε δὲ συναινοῦντος τοῦ πατρὸς, δύνανται γαμετεσθαι τῷ ἁρπάσαντι· τὴν αὐτὴν δὲ ποινὴν τοῦ θανάτου καὶ τῶν πραγμάτων ὑφίστανται, οἱ πρὸς τὴν ἔφοδον αὐτῆς ἀκολουθήσαντες· οἱ δὲ συνίστορες καὶ οἱ ὑπουργοὶ καὶ οἱ ὑποδοχεῖς, καὶ οἱ ὁπωσοῦν αὐτοῖς σπουδάσαντες, οἵας ἂν εἶεν φύσεως καὶ τύχης καὶ βαθμοῦ ἢ ἀξίας, μόνην τὴν κεφαλικὴν ὑφίστανται τιμωρίαν, εἰ καὶ ἑκοῦσα ἡ γυνὴ ἡρπάγη· εἰ δὲ οἱ γονεῖς τῆς ἁρπαγείσης ἀνάσχωνται καὶ παραχωρήσουσι, δεπορτατεύονται· οἱ δὲ

Digitized by Google Распознавание текста ABKAER

ὑπουργήσαντες δοῦλοι καίονται· καὶ ἀργεῖ πάντα τὰ περὶ ἁρπαγῆς γυναικῶν ἀλλαχοῦ νενομοθετημένα, τῆς παρούσης διατάξεως ἀρκούσης ἐπὶ αὐτῶν καὶ ἱερῶν καὶ χηρῶν.

Καὶ μζ', τίτ. β', δίγ. λθ', ὁ δούλην ἀλλοτρίαν πόρνην οὖσαν ἁρπάζων ἢ κρύπτων, οὔτε ὡς κλέπτης, οὔτε ὡς ἀνδραποδιστὴς ἐνέχεται· οὐ γὰρ κλοπῆς ἀλλ' ἡδονῆς χάριν τοῦτο ἐποίησε· βιβλ. μη', τίτ. ε', δίγ. κθ', ὁ ὡρισμένος εἰς κατηγορίαν τῆς μοιχείας χρόνος τῆς πενταετίας, οὐκ ἔχει χώραν ἐπὶ τῆς κατὰ βίαν γενομένης φθορᾶς· ἀπροσδιορίστως γὰρ κινεῖται, ἐπειδὴ καὶ δημοσία βία πλημμελεῖται. Ὁμοίως δίγ. ε' τοῦ ς' τίτ. τοῦ αὐτοῦ βιβλ. ἐν ᾧ φησιν ὅτι Ἡ ἁρπαγὴ μείζων ἐστὶ τῆς μοιχείας, καὶ ὁ ἁρπάσας γεγαμημένην ἢ μὴ γεγαμημένην, ἐσχάτως τιμωρεῖται, καὶ ἐξωτικοῦ κατηγοροῦντος, ἐὰν ὁ τῆς κόρης πατὴρ παρακληθεὶς συγχωρήσῃ.

Λέγει δὲ καὶ διάτ. α' τοῦ α' τίτ. τῶν Νεαρῶν, ὅτι οἱ φθείροντες διακόνισσαν, ὑπεύθυνοί εἰσι ξίφει, καὶ τὰς οὐσίας αὐτῶν λαμβάνει τὸ δημόσιον· ἡ δὲ περὶ μανδάτων τῶν ἀρχόντων διαλεγομένη ιζ' Νεαρὰ, ἀπαγορεύει ὅρους ἀσυλίας φυλάττεσθαι τοῖς ἅρπαξι τῶν παρθένων· καὶ ἡ β' τοῦ αὐτοῦ διατάγ. φησὶν, ὅτι οἱ ἁρπάζοντες, ἢ ὑπονοθεύοντες, ἢ διαφθείροντες ἀσκήτριαν, ἢ διακόνισσαν, ἢ μονάστριαν, ἢ ἄλλην εὐλαβῆ ἔχουσαν σχῆμα, καὶ οἱ μετέχοντες, κεφαλικῶς τιμωροῦνται· καὶ τὰ πράγματα αὐτῶν τῇ Ἐκκλησίᾳ ἢ τῷ μοναστηρίῳ τῆς ὑβρισθείσης περιποιοῦνται διὰ τοῦ ἐπισκόπου, καὶ τοῦ οἰκονόμου, καὶ τῶν ἀρχόντων καὶ τῶν τάξεων· αὐτὴ δὲ μετὰ τῶν πραγμάτων αὐτῆς ἐμβάλλεται μοναστηρίῳ ἀσφαλῶς φυλαχθησομένη· εἰ δὲ διακόνισσα ἐστιν ἔχουσα νομίμους παῖδας, τὸ νόμιμον μέρος λαμβάνουσιν· εἰ δὲ ἐπὶ ἐνιαυτὸν μετὰ τὸ γνωσθῆναι τὸ μυσος, μὴ ἐκδικήσουσι τὰ πράγματα οἱ εὐαγεῖς οἶκοι, ὁ φίσκος αὐτὰ λαμβάνει· τοῦ ἀμελοῦντος αὐτὰ ἐκδικηθῆναι ἄρχοντος ἀποζωννυμένου καὶ ε' λίτρας τοῖς πριβάτοις προστιμωμένου· ἡ δὲ ρμτ' νεαρὰ διαλεγομένη περὶ γυναικὸς ἁρπαγείσης, καὶ γαμηθείσης τῷ ἁρπάσαντι, φησὶ, τὴν τοιαύτην μὴ δύνασθαι λαβεῖν τὰ πράγματα αὐτοῦ, μήτε τῶν μετασχόντων τοῦ μύσους, ἀλλ' οἱ γονεῖς αὐτῆς λαμβάνουσιν αὐτὰ, εἰ μὴ τῷ γάμῳ ἰδικῶς συνῆνεσαν· εἰ γὰρ συνῆνεσαν, εἰ μὴ περιεισι, φισκοῦνται τὰ τοιαῦτα πράγματα.

ΚΕΦΑΛ. ΛΑ'. — Περὶ ἱερατικῶν συλλουομένων γυναιξίν.

Συνόδου Λαοδικείας κανὼν λ'.

λ'. Ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἢ ἀσκητὰς ἐν βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι, μήτε ὅλως Χριστιανὸν ἢ λαϊκόν· αὕτη γὰρ πρώτη κατάγνωσις παρὰ τοῖς ἔθνεσιν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν οζ'.

οζ'. Ὅτι οὐ δεῖ ἱερατικοὺς, ἢ κληρικοὺς, ἢ ἀσκητὰς, ἐν βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι, μηδὲ πάντα Χριστιανὸν ἢ λαϊκόν· αὕτη γὰρ πρώτη κατά-

A [mulieris] patientiam præbuerint et conniverint, deportantur. Servi et ancillæ, qui [in raptu] ministerium præbuerint, concremantur. Porro cum hæc constitutio de raptu mulierum et sacratarum et viduarum sufficiat: cessant quæ de eo alibi constituta sunt omnia.

Textus. Et lib. XLVI, tit. 2, digest. 39. Qui meretricem alienam ancillam rapuit, vel celavit: neque ut fur neque ut plagiarius tenetur. Non enim furti, sed libidinis causa hoc fecit. Lib. XLVIII, tit. 5, digest. 26. Quinquennii tempus accusationi adulterii præfinitum, in stupro per vim facto locum non habet. Nam cum vis publica commitatur, citra temporis præfinitionem [illa] instituitur. Similiter digest. 5, tit. 6, ejusdem libri, cum dicit,
B quod raptus enormior sit adulterio. Et, quod qui nuptam aut innuptam rapuit, ultimo supplicio puniatur: [idque] extraneo etiam postulante, si pater mulieris exoratus connixerit.

Dixit vero etiam constit. I, tit. Novellarum, quod qui diaconissam constuprant, obnoxii sint gladio, eorumque facultates fiscus capiat. Novella 17, quæ de mandatis præsidum disserit, interdicit, ne virginum raptoribus asyli termini serventur. Et constit. 2, ejusdem 312 tit. ait: Qui diaconissam, aut monastriam, aut aliam religiosum habitum gestantem [mulierem] rapiunt, corrumpunt, vel constuprant: quique [illis sese] associant, capitali supplicio afficiuntur, aut res illorum injuria affectæ [mulieris ecclesiæ aut monasterio per œconomum,
C episcopum, præsides et cohortes vindicantur. Ipsa vero cum rebus suis in monasterium conjicitur [ibidem] caute asservanda. Plane si diaconissa sit, et legitimos liberos habeat, [illi] legitimam partem capiunt. Quod si intra annum quam istiusmodi scelus innotuit, [eas] facultates venerabiles domus non vindicent: fiscus illas accipit. Quas si præses vindicare neglexerit, cingulo privatur, atque quinque libris [auri rebus principis] privatis [applicandis] multatur. Novella autem 141, quæ de muliere rapta, quæ raptori nupsit, disserit, istiusmodi [mulierem] res raptoris neque ex lege, neque ex ipsius testamento, nec [item res] eorum qui sceleris socii fuerunt, capere posse: sed illas parentes ipsius,
D nisi specialiter matrimonio consenserint, percipere: et si consenserint, aut [non] supersint, easdem confiscari dicit.

CAP. XXXI. — *De sacri ordinis hominibus qui se cum mulieribus lavant.*

Concilii Laodiceni canon 30.

30. Quod non oportet eum qui est sacratus, vel clericus, vel excitator, in balneo cum mulieribus lavari, neque omnem penitus Christianum vel laicum. Hæc est enim prima apud gentes condemnatio.

Concilii œcumenici VI *canon* 77.

77 Quod non oportet sacris initiatos, vel clericos, vel ascetas, id est, exercitatores seu monachos, lavari cum mulieribus, nec omnem Christia-

Digitized by Google Распознавание текста ABK/FR

num 313 laicum. Hæc est enim prima condemnatio apud gentes. Si quis autem hac in re deprehensus fuerit, si sit quidem clericus, deponatur; sin autem laicus, segregetur.

Presbyteri et diaconi in graviore culpa convicti, manus impositionem tanquam laici nequaquam suscipiant.

κζ'. Ὁμοίως ἐδεδικαιώθη ὡς ἐάν ποτε πρεσβύτεροι ἢ διάκονοι, ἐπί τινι βαρυτέρᾳ ἁμαρτίᾳ ἐλεγθῶσι, τῇ ἀνάγκῃ αὐτοὺς τῆς λειτουργίας ἀποκινούσῃ, μὴ ἐπιτίθεσθαι αὐτοῖς χεῖρας ὡς μετανοοῦσιν, ἢ ὡς πιστεύεσθαι.

27. Item confirmatum est [65], ut si quando presbyteri vel diaconi in aliqua graviori culpa convicti fuerint, qua eos a ministerio necesse sit removeri, non eis manus tanquam pœnitentibus laicis, impo-

[65] Cartag. v, c. 23.

(14) Genethlii sententiam Aurelius, et sic alii aliorum episcoporum e superioribus conciliis sententias synodo firmandas nomine suo proponere nunc videntur,

(15) MS. « et se conciliare. »

Digitized by Google Распознавание текста ABK/FR

natur; neque permittendum, ut rebaptizati ad clericatus gradum promoveantur (16).

De pœnitentibus.

43. Ut pœnitentibus [66] secundum differentiam peccatorum episcopi arbitrio pœnitentiæ tempora decernantur: et ut presbyter inconsulto episcopo non reconciliet pœnitentem, nisi absentia episcopi necessitate cogente. Cujuscunque autem **324** pœnitentis publicum et vulgatissimum crimen est, quo universam Ecclesiam commoverit, ante (17) absidem manus ei imponantur.

De ægrotantibus qui prorsus respondere non possunt.

45. Ut ægrotantes, *ut pag.* 619.

Concilii œcumenici VI *canon* 102.

102. Oportet autem eos [67], qui solvendi et ligandi potestatem a Deo accepere, peccati qualitatem considerare, et ejus qui peccavit ad conversionem promptum studium, et sic morbo convenientem afferre medicinam: ne si in utroque immoderatione utatur, ab ejus, qui laborat, salute excidat. Non enim simplex est morbus peccati, sed varius et multiformis, et multas incommodi propagines germinans: ex quibus malum multum diffunditur, et ulterius progreditur, donec viribus medentis consistat. Quare qui medicinæ scientiam in spiritu profitetur, oportet eum primum ejus qui peccavit, affectionem considerare et sive vergit ad sanitatem, sive contra, propriis moribus provocat in se morbum, aspicere, quomodo ejus quæ intercedit vitæ rationis conversionisque curam gerat: et si artifici non reluctatur, et ulcus animæ auget per impositorum medicamentorum adjectionem; et sic misericordiam, prout dignus est, impertiri. Omnem enim rationem init Deus, isque cui pastoralis traditus est principatus, ut errantem ovem reducat; et ei, quod est a serpente vulneratum, medeatur; et neque per desperationis præcipitia impellat, nec ad vitæ dissolutionem, et contemptum frena relaxet: sed una quidem **325** omnino ratione, sive per acriora et astringentia, sive per molliora et leniora medicamenta affectioni resistat, et ad ulceris obductionem animatur fructus pœnitentiæ examinans, et sapienter dispensans et gubernans hominem, qui ad superiorem illuminationem vocatur. Nos enim utraque scire oportet, et quæ sunt summi juris, et quæ sunt consuetudinis: in iis autem, qui extrema non admittant, sequi formam traditam, quemadmodum sanctus nos docet Basilius.

Basilii canones 5, 34, 74, 75, 76, 82, 84.

5. Hæreticos in exitu pœnitentiam agentes recipere oportet. Recipere autem, non sine judicio,

στικοῖς, μηδὲ ἐπιτρέπεσθαι αὐτοῖς ὥστε ἀναβαπτιζομένους πρὸς τὸν τοῦ κλήρου βαθμὸν προκόπτειν.

Περὶ τῶν μετανοούντων.

μγ'. Ὥστε τοῖς μετανοοῦσι κατὰ τὴν τῶν ἁμαρτημάτων διαφορὰν τῇ τῶν ἐπισκόπων κρίσει τὰς μετανοίας ἐν καιρῷ ψηφίζεσθαι· πρεσβύτερος δὲ παρὰ γνώμην τοῦ ἐπισκόπου, μὴ καταλλάσσῃ μετανοοῦντα, εἰ μή γ' ἂν ἀνάγκης συνωθούσης, ἐν τῇ ἀπουσίᾳ τοῦ ἐπισκόπου· οὐτινοσδήποτε δὲ μετανοοῦντος, εἰ πούβλικὸν καὶ τεθρυλλημένον ἐστὶ τὸ ἔγκλημα τὸ σύμπασαν τὴν ἐκκλησίαν κινοῦν, πρὸ τῆς ἀψίδος τούτῳ ἡ χεὶρ ἐπιτεθῇ.

Περὶ τῶν ἀσθενούντων, καὶ ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι μὴ δυναμένων.

με'. Ὥστε τοὺς ἀσθενοῦντας, κ, τ. λ.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ρβ'.

ρβ'. Δεῖ δὲ τοὺς ἐξουσίαν λύειν καὶ δεσμεῖν παρὰ Θεοῦ λαβόντας, σκοπεῖν τὴν τῆς ἁμαρτίας ποιότητα, καὶ τὴν τοῦ ἡμαρτηκότος πρὸς ἐπιστροφὴν ἑτοιμασίαν, καὶ οὕτω κατάλληλον τὴν θεραπείαν προσάγειν τῷ ἀῤῥωστήματι· ἵνα μὴ τῇ ἀμετρίᾳ καθ' ἑκάτερον χρώμενος, ἀποσφαλείη πρὸς τὴν σωτηρίαν τοῦ κάμνοντος· οὐ γὰρ ἁπλῆ τῆς ἁμαρτίας ἡ νόσος, ἀλλὰ ποικίλος καὶ πολυειδὴς, καὶ πολλὰς τῆς βλάβης παραφυάδας βλαστάνουσα, ἐξ ὧν τὸ κακὸν ἐπὶ πλεῖον διέχεται καὶ πρόσω βαίνει, μέχρις ἂν στείλῃ τῇ δυνάμει τοῦ θεραπεύοντος· ὥστε τὸν τὴν ἰατρικὴν ἐπιστήμην ἐν πνεύματι ἐπιδεικνύμενον, πρότερον χρὴ τὴν τοῦ ἡμαρτηκότος διάθεσιν ἐπισκέπτεσθαι, καὶ εἴτε πρὸς τὴν ὑγίειαν νεύει, ἢ τοὐναντίον διὰ τῶν οἰκείων τρόπων προσκαλεῖται καθ' ἑαυτοῦ τὸ ἀῤῥωστημα ἐφορᾷν, ὅπως τε τῆς ἐν τῷ μεταξὺ προνοεῖται ἀναστροφῆς, καὶ εἰ μὴ τῷ τεχνίτῃ ἀντιπαλαίει, καὶ τὸ τῆς ψυχῆς ἕλκος διὰ τῆς τῶν ἐπιτιθεμένων φαρμάκων αὐξάνει προσαγωγῆς, καὶ οὕτω τὸν ἔλεον κατ' ἀξίαν ἐπιμετρεῖν· πᾶς γὰρ λόγος Θεῷ καὶ τῷ τὴν ποιμαντικὴν ἐγχειρισθέντι ἡγεμονίαν, τὸ πλανώμενον πρόβατον ἐπαναγαγεῖν, καὶ τὸ τρωθὲν ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι, καὶ μήτε κατὰ κρημνῶν ὠθῆται τῆς ἀπογνώσεως, μήτε τὸν χαλινὸν ἐνδοῦναι πρὸς τὴν βίου ἕλκυσιν τε καὶ καταφρόνησιν· ἀλλ' ἑνί γε τρόπῳ πάντως, εἴτε διὰ τῶν αὐστηροτέρων τε καὶ στυφόντων, εἴτε διὰ τῶν ἁπαλωτέρων τε καὶ πραοτέρων φαρμάκων, κατὰ τοῦ πάθους, καὶ πρὸς συνούλωσιν τοῦ ἕλκους ἀνταγωνίσασθαι, τοὺς τῆς μετανοίας καιροὺς δοκιμάζοντι, καὶ οἰκονομοῦντι σοφῶς τὸν πρὸς τὴν ἄνω λαμπροφορίαν καλούμενον ἄνθρωπον· ἀμφότερα τοίνυν εἰδέναι ἡμᾶς χρή, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συμπαθείας· ἕπεσθαι δὲ, ἐπὶ τῶν καταδεξαμένων τὴν ἀκρότητα παραδέξασθαι τῷ παραδοθέντι τύπῳ, καθὼς ὁ ἱερὸς ἡμᾶς ἐκδιδάσκει Βασίλειος.

Βασιλείου κανὼν ε', λδ', οδ', οε', οϛ', πβ', πδ'.

ε'. Τοὺς δὲ ἐπὶ ἐξόδῳ μετανοοῦντας τῶν αἱρετικῶν, δέχεσθαι χρή· δέχεσθαι δὲ ὁηλονότι οὐκ ἀκρίτως,

[66] Conc. Afric. cap. 10. [67] Vid. cap. 7, conc. Vormatien.; Basil. can. 74 et 84; Nyssen. 8.

(16) Ferrandus cap. 118, ex concil. Carthag. tit. 12.

(17) *Absis*, vel *absida*, sanctuarium est; vulgo chorum dicimus.

Digitized by Google Распознавание текста ABKFR

ἀλλὰ δοκιμάζοντας εἰ ἀληθινὴν ἐπιδείκνυνται τὴν μετάνοιαν, καὶ εἰ τοὺς καρποὺς ἔχουσι μαρτυροῦντας τῇ πρὸς τὸ σωθῆναι σπουδῇ.

λδ'. Τὰς μοιχευθείσας καὶ ἐξαγορευούσας δι' εὐλάβειαν, ἢ ὁπωσοῦν ἐλεγχομένας, δημασιεύειν μὲν ἐκώλυσαν οἱ Πατέρες ἡμῶν, ἵνα μὴ θανάτου αἰτίαν παράσχωμεν ἐλεγχθείσαις· ἱστασθαι δὲ αὐτὰς ἄνευ κοινωνίας προσέταξαν, μέχρι τοῦ συμπληροῦσθαι τὸν χρόνον τῆς μετανοίας.

οδ'. Ἐὰν μέντοιγε ἕκαστος τῶν ἐν τοῖς προγεγραμμένοις ἁμαρτήμασι γενομένων, σπουδαῖος γένηται ἐξομολογούμενος, ὁ πιστευθεὶς παρὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας λύειν καὶ δεσμεῖν, φιλανθρωπότερος γένοιτο, τὸ ὑπερβάλλον τῆς ἐξομολογήσεως ὁρῶν τοῦ ἁμαρτηκότος, εἰς τὸ ἐλαττῶσαι τὸν χρόνον τῶν ἐπιτιμίων, οὐκ ἔσται καταγνώσεως ἄξιος. τῆς ἐν ταῖς Γραφαῖς ἱστορίας γνωριζούσης ἡμῖν, τοὺς μετὰ μείζονος πόνου ἐξομολογουμένους, ταχέως τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καταλαμβάνειν.

οε'. Ὁ ἀδελφῇ ἰδίᾳ ἐκ πατρὸς ἢ ἐκ μητρὸς συμμιανθείς, εἰς οἶκον προσευχῆς μὴ ἐπιτρεπέσθω παρεῖναι, ἕως ἂν ἀποστῇ τῆς παρανόμου καὶ ἀθεμίτου πράξεως· μετὰ δὲ τὸ ἐλθεῖν εἰς συναίσθησιν τῆς φοβερᾶς ἁμαρτίας, τριετίαν προσκλαιέτω, τῇ θύρᾳ τῶν εὐκτηρίων οἴκων παρεστηκώς, καὶ δεόμενος τοῦ λαοῦ εἰσιόντος ἐπὶ τὴν προσευχήν· ὥστε ἕκαστον μετὰ συμπαθείας ὑπὲρ αὐτοῦ ἐκτενεῖς ποιεῖσθαι πρὸς Κύριον προσευχάς· παρὰ δὲ τοῦτο, ἄλλην τριετίαν εἰς ἀκρόασιν μόνην παραδεχθήτω, καὶ ἀκούων τῶν Γραφῶν καὶ τῆς διδασκαλίας, ἐκβαλλέσθω καὶ μὴ καταξιούσθω προσευχῆς· ἔπειτα εἴπερ μετὰ δακρύων ἐξεζήτησεν αὐτὸν καὶ προσέπεσε τῷ Κυρίῳ μετὰ συντριμμοῦ καρδίας καὶ ταπεινώσεως ἰσχυρᾶς, διδόσθω αὐτῷ ἡ ὑπόπτωσις ἐν ἄλλοις τρισὶν ἔτεσι· καὶ οὕτως ἐπειδὰν τοὺς καρποὺς τῆς μετανοίας ἀξίους ἐπιδείξηται, τῷ δεκάτῳ ἔτει εἰς τὴν τῶν πιστῶν εὐχὴν δεχθήτω χωρὶς προσφορᾶς· καὶ δύο ἔτη συστὰς εἰς τὴν εὐχὴν τοῖς πιστοῖς, οὕτως λοιπὸν καταξιούσθω τῆς τοῦ ἁγιάσματος κοινωνίας.

οϛ'. Ὁ αὐτὸς τύπος καὶ περὶ τῶν τὰς νύμφας ἑαυτῶν λαμβανόντων.

πβ'. Καὶ περὶ τῶν ἐπιορκησάντων, εἰ μὲν ἐκ βίας καὶ ἀνάγκης παρέβησαν τοὺς ὅρκους, κουφοτέροις ὑπόκεινται τοῖς ἐπιτιμίοις, ὥστε μετὰ ἓξ ἔτη εἶναι αὐτοὺς δεκτούς· εἰ δὲ ἄνευ ἀνάγκης προδόντες τὴν ἑαυτῶν πίστιν, ἐν δυσὶν ἔτεσι προσκλαύσαντες, καὶ ἐν δυσὶν ἀκροασάμενοι, καὶ ἐν πέντε ἐν ὑποπτώσει εὐξάμενοι, καὶ ἐν δυσὶν ἄλλοις ἄνευ προσφορᾶς εἰς τὴν κοινωνίαν τῆς προσευχῆς παραδεχθέντες, οὕτω τελευταῖον ἀξιόλογον δηλαδὴ τὴν μετάνοιαν ἐπιδειξάμενοι, ἀποκατασταθήσονται εἰς τὴν κοινωνίαν τοῦ σώματος τοῦ Χριστοῦ.

πδ'. Πάντα δὲ ταῦτα γράφομεν, ὥστε τοὺς καρποὺς δοκιμαζεσθαι τῆς μετανοίας· οὐ γὰρ πάντως τῷ χρόνῳ κρίνομεν τὰ τοιαῦτα, ἀλλὰ τῷ τρόπῳ τῆς μετανοίας προσέχομεν· ἐὰν δὲ δυσαποσπάστως ἔχωσι τῶν ἰδίων ἐθῶν, καὶ ταῖς ἡδοναῖς τῆς σαρκὸς μᾶλλον δουλεύειν ἐθέλωσιν ἢ τῷ Κυρίῳ, καὶ τὴν κατὰ τὸ

A sed examinantes an veram pœnitentiam ostendant, fructusque habeant, qui salutis studium testificentur.

34. Mulieres adulterio pollutas, et ob pietatem confitentes, aut quoquomodo convictas publicari Patres nostri noluerunt, ne causam mortis præbeamus convictis; consistere autem illas sine communione jusserunt, donec impleatur tempus pœnitentiæ.

74. Quod si unusquisque eorum qui in prædictis peccatis fuere, pœnitentiam agens, bonus evaserit, is cui a Dei benignitate ligandi atque solvendi credita potestas, si clementior fiat, perspecta illius qui peccavit pœnitentiæ magnitudine, ad diminuendum pœnarum tempus, non erit dignus condemnatione, cum ea quæ est in B Scripturis historia nos doceat, eos qui cum majore labore pœnitentiam agunt, cito Dei misericordiam consequi.

75. Qui cum sua ex patre vel ex matre sorore pollutus est, in domum orationis ne permittatur accedere, donec **326** ab iniqua et nefaria actione desistat. Postquam autem in horrendi peccati sensum et animadversionem venerit, triennio fleat, stans propter fores domus orationis, et rogans populum ingredientem ad orationem, ut unusquisque misericorditer pro ipso intensas ad Dominum preces fundat. Postea autem alio triennio ad solam auditionem admittatur, et Scripturis doctrinaque auditis ejiciatur, nec dignus habeatur oratione. Deinde, si modo illam C cum lacrymis exquisierit, et Domino cum cordis contritione et valida humiliatione supplex prociderit, detur ei substratio per alios tres annos. Et postquam pœnitentiæ fructus dignos ostenderit, anno decimo in fidelium orationes suscipiatur sine oblatione : et ubi annis duobus una cum fidelibus steterit ad orationem, ita demum dignus habeatur boni communione.

76. Eadem est ratio de iis quoque qui suas nurus accipiunt.

82. De iis etiam qui pejerarunt, si vi quidem atque necessitate juramenta transgressi sunt, pœnis levioribus subjiciuntur, sic ut post sex annos possint suscipi. Sin autem, vi non illata, fidem suam prodiderunt, ubi duobus annis flevD rint et duobus annis audierint, et per quinque oraverint in substratione, et per alios duos sine oblatione ad precationis communionem fuerint admissi, ita demum, digna videlicet pœnitentia ostensa, in corporis Christi communionem restituentur.

84. Hæc autem omnia scribimus, ut fructus probentur pœnitentiæ. Non enim omnino tempore **327** dijudicamus res ejusmodi, sed ad modum pœnitentiæ attendimus. Quod si qui difficile avellantur a propriis moribus, carnisque voluptatibus servire malint quam Domino, et vitam secundum

Digitized by Google Распознавание текста ABK/FR

Evangelium instituere nolint, nulla est nobis cum illis communis ratio. Nos enim in populo inobsequenti et contradicenti edocti sumus audire : *Servans serva animam tuam* [68]. Ne igitur committamus, ut cum talibus pereamus : sed grave judicium formidantes, et terribilem retributionis Domini diem ob oculos habentes, ne velimus una cum alienis peccatis perire. Si enim nos non erudierunt terribilia Domini, nec tales plagæ adduxerunt, ut nos a Domino propter nostram iniquitatem derelictos, Barbarorumque in manus traditos sentiremus, et populum apud hostes captivum abductum esse, ac dispersioni traditum, quia hæc audebant qui Christi nomen circumferunt : si non noverunt, neque intellexerunt, propterea venisse in nos iram Dei ; quæ res nobis cum his communis est? Sed tamen obtestari eos et noctu et interdiu, et publice et privatim debemus ; nos autem simul abripi eorum improbitatibus, ne feramus, maxime quidem optantes eos lucrifacere, et a maligni laqueo eripere ; sed si hoc non possumus, studeamus saltem animas nostras ab æterna condemnatione servare.

Gregorii Nysseni canones 3, 4, 7, 8.

3 [4] Eorum autem quæ ad cupiditatem et voluptatem fiunt peccatorum, hæc est divisio : hoc enim vocatur adulterium, illud vero fornicatio. Ac nonnullis quidem eorum qui sunt subtiliores, placuit etiam fornicationis peccatum adulterium esse existimare, 328 quoniam una est legitima conjunctio et mulieris cum viro, et viri cum muliere. Quidquid ergo non est legitimum, est omnino injustum et legi contrarium : et qui non habet proprium, habet omnino alienum. Homini enim una tantum data est auxiliatrix a Deo, et mulieri unum appositum est caput. Ergo *si quis*, quidem, *proprium vas suum*, ut divinus Apostolus nominat, *possederit* [69], ei lex naturæ justum usum concedit. Si quis autem extra proprium conversus fuerit, erit omnino in alieno : est autem unicuique alienum quidquid non est proprium, etiamsi id non confiteatur qui est dominus. Non longe ergo a peccato adulterii fornicatio, ab iis qui rem paulo accuratius examinant, suscepta est, cum dicat etiam Scriptura : *Ne multus sis cum aliena* [70]; sed cum imbecillioribus indulgenter agendum censuerunt Patres, distinctum est peccatum hac generali divisione, quod fornicatio quidem dicatur cupiditatis seu libidinis expletio, quæ fit sine alia alicujus injuria; adulterium vero, insidiæ et injuria quæ alteri affertur. In eo autem et cum animalibus coitum et pædicatum esse existimant; quoniam hæc sunt naturæ adulterium. In id enim quod est alienum, et quod est præter naturam, fit injustitia. Cum hæc ergo divisio in hac etiam peccati specie fiat, universale est remedium, ut a concitata in hujusmodi voluptatis rabie, per pœnitentiam homo

Εὐαγγέλιον ζωὴν μὴ καταδέχωνται, οὐδεὶς ἡμῖν κοινὸς πρὸς αὐτοὺς λόγος· ἡμεῖς γὰρ ἐν λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι δεδιδάγμεθα ἀκούειν, ὅτι Σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν· μὴ τοίνυν καταδεξώμεθα συναπόλλυσθαι τοῖς τοιούτοις· ἀλλὰ φοβηθέντες τὸ βαρὺ κρῖμα, καὶ τὴν φοβερὰν ἡμέραν τῆς ἀνταποδόσεως τοῦ Κυρίου πρὸ ὀφθαλμῶν λαβόντες, μὴ θελήσωμεν ἁμαρτίαις ἀλλοτρίαις συναπόλλυσθαι· εἰ γὰρ μὴ ἐπαίδευσεν ἡμᾶς τὰ φοβερὰ τοῦ Κυρίου, μηδὲ αἱ τηλικαῦται πληγαὶ εἰς αἴσθησιν ἡμᾶς ἤγαγον, ὅτι διὰ τὴν ἀνομίαν ἡμῶν ἐγκατέλιπεν ἡμᾶς ὁ Κύριος, καὶ παρέδωκεν εἰς χεῖρας Βαρβάρων, καὶ ἀπήχθη αἰχμαλώτους εἰς τοὺς πολεμίους ὁ λαὸς, καὶ παρεδόθη τῇ διασπορᾷ, διότι ταῦτα ἐτόλμων οἱ τὸ ὄνομα τοῦ Χριστοῦ περιφέροντες· εἰ μὴ ἔγνωσαν μηδὲ συνῆκαν, ὅτι διὰ ταῦτα ἦλθεν ἐφ' ἡμᾶς ἡ ὀργὴ τοῦ Θεοῦ, τίς ἡμῖν κοινὸς πρὸς τούτους λόγος, ἀλλ' ἢ διαμαρτύρασθαι αὐτοῖς καὶ νυκτὸς καὶ ἡμέρας καὶ δημοσίᾳ καὶ ἰδίᾳ ὀφείλομεν ; συναπάγεσθαι δὲ αὐτῶν ταῖς πονηρίαις μὴ καταδεχώμεθα, προσευχόμενοι μάλιστα μὲν κερδῆσαι αὐτοὺς καὶ ἐξελέσθαι τῆς παγίδος τοῦ πονηροῦ· ἐὰν δὲ τοῦτο μὴ δυνηθῶμεν σπουδάσωμεν τὰς γοῦν ἑαυτῶν ψυχὰς τῆς αἰωνίου κατακρίσεως περισώσασθαι.

Γρηγορίου Νύσσης κανὼν γ', δ', ζ', η'.

γ'. Τῶν δὲ δι' ἐπιθυμίαν τε καὶ ἡδονὴν γινομένων ἁμαρτημάτων, τοιαύτη ἐστὶν ἡ διαίρεσις· τὸ μὲν γὰρ καλεῖται μοιχεία, τὸ δὲ πορνεία· τισὶ μὲν οὖν τῶν ἀκριβεστέρων ἤρεσε, καὶ τὸ κατὰ πορνείαν πλημμέλημα, μοιχείαν εἶναι νομίζειν, διότι μία ἐστὶν ἡ νόμιμος συζυγία, καὶ γυναικὶ πρὸς ἄνδρα, καὶ ἀνδρὶ πρὸς γυναῖκα· πᾶν οὖν τὸ μὴ νόμιμον, παράνομον πάντως, καὶ ὁ μὴ τὸ ἴδιον ἔχων, δηλαδὴ τὸ ἀλλότριον ἔχει· τῷ γὰρ ἀνθρώπῳ μία δέδοται παρὰ τοῦ Θεοῦ βοηθὸς, καὶ τῇ γυναικὶ μία ἐφήρμοσται κεφαλή· οὐκοῦν εἰ μέν τις τὸ ἴδιον ἑαυτοῦ σκεῦος, καθὼς ὀνομάζει ὁ θεῖος Ἀπόστολος, ἑαυτῷ κτήσαιτο, συγχωρεῖ ὁ νόμος τῆς φύσεως τὴν δικαίαν χρῆσιν· εἰ δέ τις ἔξω τοῦ ἰδίου τραπείη, ἐν ἀλλοτρίῳ πάντως γενήσεται· ἀλλότριον δὲ ἑκάστῳ πᾶν τὸ μὴ ἴδιον, κἂν μὴ ὁμολογούμενον ἔχῃ τὸν κυριεύοντα· οὐκοῦν οὐ πόρρω τοῦ κατὰ τὴν μοιχείαν πλημμελήματος καὶ ἡ πορνεία, τοῖς τὸν ἀκριβέστερον ἐξετάζουσι λογισμὸν ἐδείχθη, λεγούσης καὶ τῆς θείας Γραφῆς, ὅτι Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν· πλὴν ἀλλ' ἐπειδὰν τοῖς ἀσθενεστέροις ἐγένετό τις παρὰ τῶν Πατέρων συμπεριφορὰ, διεκρίθη τὸ πλημμέλημα τῇ γενικῇ διαιρέσει ταύτῃ· ὡς πορνείαν μὲν λέγεσθαι, τὴν χωρὶς ἀδικίας ἑτέρου γινομένην τινὶ τῆς ἐπιθυμίας ἐκπλήρωσιν· μοιχείαν δὲ, τὴν ἐπιβουλήν τε καὶ ἀδικίαν τοῦ ἀλλοτρίου· ἐν ταύτῃ δὲ τὴν ζωοφθορίαν καὶ τὴν παιδεραστίαν εἶναι λογίζονται· διότι καὶ ταῦτα φύσεώς ἐστι μοιχεία· εἰς γὰρ τὸ ἀλλότριόν τε καὶ παρὰ φύσιν γίνεται ἡ ἀδικία· ταύτης τοίνυν τῆς διαιρέσεως καὶ ἐν τούτῳ τῷ εἴδει τῆς ἁμαρτίας γεγενημένης, καθολικὴ μέν ἐστι θεραπεία τὸ τῆς ἐμπαθοῦς λύσσης, τῆς περὶ τὰς τοιαύτας ἡδονὰς, καθαρὸν ἐκ μεταμε-

[68] Gen. XIX. 17. [69] I Thessal. IV, 4. [70] Eccles. IX, 12.

Digitized by Google Распознавание текста ABK/FR

λείας γενέσθαι τὸν ἄνθρωπον · ἐπεὶ δὲ τῶν ἐν πορνείᾳ μολυνθέντων, ἀδικία τις τῇ ἁμαρτίᾳ ταύτῃ οὐ κατεμέμικται · διὰ τοῦτο διπλασίων ὡρίσθη τῆς ἐπιστροφῆς ὁ χρόνος τοῖς ἐν μοιχείᾳ μιανθεῖσι καὶ ἐν τοῖς ἀπηγορευμένοις κακοῖς, ζωοφθορίᾳ τε καὶ τῇ κατὰ τοῦ ἄρρενος λύσσῃ · διπλασιάζεται γὰρ, ὡς εἶπον, ἐπὶ τῶν τοιούτων ἡ ἁμαρτία, μία μὲν ἡ κατὰ τὴν ἄθεσμον ἡδονὴν, ἑτέρα δὲ ἡ κατὰ τὴν τοῦ ἀλλοτρίου ἀδικίαν συνισταμένη · διαφορὰ δέ τίς ἐστιν ἐν τῷ λόγῳ τῆς μετανοίας καὶ ἐπὶ τῶν καθ' ἡδονὴν πλημμελούντων τοιαύτην · ὁ μὲν γὰρ ἀφ' ἑαυτοῦ πρὸς τὴν ἐξαγόρευσιν τῆς ἁμαρτίας ὁρμήσας, αὐτῷ τῷ καταδέξασθαι δι' οἰκείας ὁρμῆς γενέσθαι τῶν κρυφίων κατήγορος, ὡς ἤδη τῆς θεραπείας τοῦ πάθους ἀρξάμενος, καὶ σημεῖον τῆς πρὸς τὸ κρεῖττον μεταβολῆς ἐπιδειξάμενος, ἐν φιλανθρωποτέροις γίνεται τοῖς ἐπιτιμίοις · ὁ δὲ φωραθεὶς ἐπὶ τῷ κακῷ, ἢ διά τινος ὑποψίας, ἢ κατηγορίας ἀκουσίως ἐλεγχθεὶς, ἐν ἐπιτεταγμένῃ γίνεται τῇ ἐπιστροφῇ · ὥστε καθαρισθέντα δι' ἀκριβείας αὐτὸν, οὕτως ἐπὶ τὴν τῶν ἁγιασμάτων κοινωνίαν παραδεχθῆναι · ἔστι τοίνυν ὁ κανὼν τοιοῦτος, ὥστε τοὺς ἐν πορνείᾳ μολυνθέντας, ἐν τρισὶ μὲν, τῆς ἀκροάσεως μετέχειν μόνης · ἐν ἄλλοις δὲ τρισὶν ἔτεσι μετὰ τῶν ἐν τῇ ἐπιστροφῇ ὑποπιπτόντων προσεύχεσθαι, καὶ τότε μετέχειν τῶν ἁγιασμάτων · ἐπὶ δὲ τῶν σπουδαιότερον κεχρημένων τῇ ἐπιστροφῇ, καὶ τῷ βίῳ δεικνύντων τὴν πρὸς τὸ ἀγαθὸν ἐπάνοδον, ἔξεστι τῷ οἰκονομοῦντι πρὸς τὸ συμφέρον τῇ ἐκκλησιαστικῇ οἰκονομίᾳ συντεμεῖν τὸν χρόνον τῆς ἀκροάσεως, καὶ τάχιον εἰς ἐπιστροφὴν ἀγαγεῖν · καὶ πάλιν καὶ τοῦτον συντεμεῖν τὸν χρόνον, καὶ τάχιον ἀποδοῦναι τὴν κοινωνίαν, ὅπως ἂν τῇ ἑαυτοῦ δοκιμασίᾳ ἐγκρίνοι τὴν τοῦ θεραπευομένου κατάστασιν · ὥσπερ γὰρ τὸ τοῖς χοίροις ῥίπτειν τὸν μαργαρίτην ἀπείρηται, οὕτως τὸ ἀποστερεῖν τοῦ τιμίου μαργαρίτου τὸν ἤδη ἄνθρωπον διὰ τῆς καθαρότητός τε καὶ ἀπαθείας γενόμενον, τῶν ἀτόπων ἐστίν · ἡ δὲ κατὰ μοιχείαν ἤτοι κατὰ τὰ λοιπὰ εἴδη τῆς ἀκαθαρσίας γενομένη παρανομία, καθὼς προείρηται, κατὰ πάντα ἐν τῷ αὐτῷ κρίματι θεραπευθήσεται, ἐν ᾧ καὶ τὸ τῆς πορνείας ἄγος · τῷ δὲ χρόνῳ μόνῳ διπλασιάζεται · παρατηρηθήσεται δὲ καὶ ἐπ' αὐτῷ ἡ τοῦ θεραπευομένου διάθεσις, ὃν τρόπον καὶ ἐπὶ τῶν τῷ μολυσμῷ τῆς πορνείας συνενεχθέντων · ὥστε ἢ θᾶττον ἢ βραδύτερον γενέσθαι αὐτοῖς τὴν τοῦ ἀγαθοῦ μετουσίαν.

δ'. Λείπεται πρὸς τούτοις τὸ θυμοειδὲς τῆς ψυχῆς προθεῖναι εἰς ἐξέτασιν, ὅταν παρασφαλεῖσα τῆς ἀγαθῆς τοῦ θυμοῦ χρήσεως, εἰς ἁμαρτίαν ἐκπέσῃ · πολλῶν δὲ ὄντων τῶν κατὰ θυμὸν εἰς ἁμαρτίαν ἐνεργουμένων, καὶ πάντων κακῶν, ἤρεσέ πως τοῖς Πατράσιν ἡμῶν, ἐν τοῖς ἄλλοις μὴ λίαν ἀκριβολογεῖσθαι, μηδὲ πολλῆς ἄξιον ἡγεῖσθαι σπουδῆς, τὸ θεραπεύειν πάντα τὰ ἐκ τοῦ θυμοῦ παραπτώματα · καίτοι γε τῆς Γραφῆς οὐ μόνον τὴν ψιλὴν ἀπαγορευούσης πληγὴν, ἀλλὰ καὶ πᾶσαν λοιδορίαν ἢ βλασφημίαν, καὶ εἴ τι ἄλλο τοιοῦτον ὁ θυμὸς ἀπεργάζεται · μόνον δὲ τοῦ κατὰ τὸν φόνον ἄγους τὴν παραφυλακὴν ἐποιήσαντο διὰ τῶν ἐπιτιμίων · διήρηται δὲ τὸ τοιοῦτον κακὸν τῇ διαφορᾷ τοῦ ἑκουσίου τε καὶ

A purus efficiatur; sed quia eorum qui in fornicatione polluti sunt, injuria aliqua cum hoc peccato non commista est, propterea duplum conversionis tempus iis præscriptum est qui in adulterio inquinati sunt; et in aliis itidem vetitis malis, animalium initu, et rabie in masculos. In iis enim, ut 329 dixi, peccatum duplicatur; unum quidem [in illicita et nefaria voluptate; alterum autem] quod injuria quæ fit alteri, consistit. Est autem quædam differentia in ratione pœnitentiæ in iis qui voluptate peccarunt, ejusmodi. Qui enim ex se ipso ad sua proferenda peccata impulsus est, eo quod sua sponte occultorum accusator esse voluerit, ut qui jam affectioni medicinam adhibere cœperit, et signum mutationis in id quod est melius ostenderit, in mi-

B tioribus pœnis versatur. Qui autem in malo deprehensus est, vel propter aliquam suspicionem vel accusationem in gratiis convictus est, longius illi conversionis tempus datur, ut ipse perfecte purgatus, sic ad sacramentorum communionem admittatur. Est ergo canon ejusmodi, ut qui in fornicatione polluti sunt, in tribus quidem annis ab oratione omnino expellantur; in tribus autem sint solius auditionis participes, in tribus autem aliis, cum iis qui in conversione substernuntur, precentur, et tunc sint sacramentorum participes. In iis autem qui diligentiori conversione usi fuerint, et vita, ad id quod bonum est, reditum ostenderint, licet ei qui dispensat, pro ecclesiasticæ œconomiæ utilitate, tempus auditionis, contrahere, et celerius ad

C conversionem deducere: et rursus hoc quoque tempus contrahere, et celerius communionem reddere, ut sua probatione, ejus cui medela adhibetur, constitutionem dijudicet. Quemadmodum enim porcis margaritas projicere est vetitum, ita et pretiosa margarita privare eum qui jam per alienationem a vitio et purgationem homo sit factus, absurdum est. Quæ autem in adulterio et in reliquis immunditiæ generibus fit iniquitas, ut dictum est, eodem 330 judicio punietur quo et fornicationis scelus, sed tempore duplicabitur. In eo autem, ejus etiam cui medela adhibetur, affectio considerabitur, quo modo et in iis qui fornicationis inquinamento illaqueati sunt, ut vel citius vel tardius eis sit boni participatio.

D 4 [5]. Restat ad hæc ut irascentem animæ partem examinandam proponamus, quando lapsa a bono iræ usu in peccatum ceciderit. Cum autem multa sint quæ per iram fiunt peccata et omnis generis mala, placuit omnibus nostris Patribus in aliis quidem non nimium subtiliter agere, nec nimium in eo studii operæque ponere, ut omnia quæ ex ira nascerentur delicta curarent; quamvis Scriptura non solum vulnus prohibeat, sed etiam omne convicium vel maledictum, et si quid aliud ejusmodi ita efficit; sed solam cædis cautionem suis pœnis introduxerunt. Dividitur autem hoc malum differentiæ voluntariæ et involuntariæ; et est cædes quidem voluntaria, quæ præmeditate suscepta est ab eo qui

Digitized by Google Распознавание текста ABK/FR

se ad hoc comparaverat ut hoc facinus perpetraret. Deinde illud quoque in voluntariis existimatum est, quando quis in congressu verberans et verberatus, manu plagam mortiferam intulerit. Qui enim ira semel victus est, et animi appetitioni cedit, nihil eorum quæ malum possent amputare, ei in mentem venit. Quare et illic quoque qui ex concertatione profectus est, cædis eventus, in factum voluntarium, non in casum confertur. Involuntariæ autem habent manifesta indicia, quando quis 331 alicui alteri rei studium applicans, casu gravissimum aliquod malum patraverit. In his ergo cædes quidem in triplex tempus extenditur iis qui per conversionem voluntario facinori remedium afferunt. Ter novem etiam sunt anni, novennario annorum numero in unoquoque gradu præfinito, ut in perfecta quidem segregatione novem annorum tempore versetur ab Ecclesia prohibitus; alios autem tot annos in auditione permaneat, sola doctorum et Scripturarum auditione et conversatione cum populo dignus habitus, in tertio autem novennario cum substratis in conversione orans, ut perveniat ad communionem sacramenti scilicet; et in eodem eadem erit observatio ab eo qui Ecclesiam administrat, et pro ratione conversionis illi quoque pœnæ extensio rescindetur, ut pro novem annis in unoquoque gradu, vel octo, vel septem, vel quinque solum anni fiant, si pœnitentiæ magnitudo tempus vincat, et superet correctionis studio eos qui in longo tempore præstituto susceptas a se maculas segniter eluunt. Involuntarium autem venia quidem dignum, sed non laudabile judicatum est. Hoc autem dixi, ut sit apertum, quod etiam si quis involuntarie fuerit in scelere homicidii: eum tanquam jam profanum, piaculum redditum, a sacerdotali gratia ejiciendum pronuntiavit canon. Quantum autem est expiationis tempus ob simplicem fornicationem, tantum etiam recte habere existimatum est in iis qui cædem involuntariam fecissent; scilicet, in iis quoque, pœnitentis voluntate examinata; ut si sit fide quidem digna conversio, non servetur annorum numerus; sed temporis prolixitate resecata, ad 332 Ecclesia restitutionem et boni participationem compendio reducatur.

A ἀκούσιος· ἐν οἷς ἑκούσιος μέν ἐστι φόνος, πρῶτον μὲν ὁ ἐκ παρασκευῆς τετολμημένος τοῦ εἰς αὐτὸ τοῦτο εὐτρεπισμένου, ὅπως ἂν τὸ ἄγος ἐργάσηται· ἔπειτα δὲ κἀκεῖνος ἐν τοῖς ἑκουσίοις ἐνομίσθη, ὅταν τις ἐν συμπλοκῇ καὶ μάχῃ τύπτων τε καὶ τυπτόμενος, ἐνέγκῃ κατά τινος καιρίου τὴν διὰ τῆς χειρὸς πληγήν· ὁ γὰρ ἅπαξ τῷ θυμῷ κρατηθείς, καὶ τῇ ὁρμῇ τῆς ὀργῆς χαριζόμενος, οὐδὲν ἂν παρὰ τὸν καιρὸν τοῦ πάθους τῶν ἀνακόψαι τὸ κακὸν δυναμένων, ἐπὶ νοῦν λάβοι· ὥστε καὶ τὸ ἐκ τῆς συμπλοκῆς ἀποτέλεσμα τοῦ φόνου, εἰς ἔργον προχειρίσεως καὶ οὐκ εἰς ἀποτυχίαν ἀνάγεται· οἱ δὲ ἀκούσιοι φανερὰ ἔχουσι τὰ γνωρίσματα, ὅταν τις πρὸς ἕτερον τι τὴν σπουδὴν ἔχων, ἐξ ἀποτυχίας τι τῶν ἀνηκέστων ὁράσῃ· ἐπὶ τούτων τοίνυν, ὁ μὲν φόνος εἰς τριπλασίονα χρόνον παρατείνεται τοῖς δι'

B ἐπιστροφῆς θεραπευομένοις τὸ ἑκούσιον ἄγος· τρὶς ἐννέα γάρ εἰσιν ἐνιαυτοί, καθ' ἕκαστον βαθμὸν τῆς ἐννάδος τῶν ἐτῶν ὁρισθείσης· ὥστε ἐν μὲν τῷ παντελεῖ ἀφορισμῷ, ἐννεαετῆ χρόνον διαγενέσθαι ἀπειργόμενον τῆς Ἐκκλησίας· ἄλλα δὲ τοσαῦτα ἔτη ἐν τῇ ἀκροάσει παραμεῖναι, μόνης τῶν διδασκάλων καὶ τῆς τῶν Γραφῶν ἀκροάσεως, καὶ μετὰ τῆς τοῦ λαοῦ συστάσεως ἀξιούμενον· ἐν δὲ τῇ τρίτῃ ἐννάδι μετὰ τῶν ὑποπιπτόντων ἐν ἐπιστροφῇ προσευχόμενον, οὕτως ἐλθεῖν ἐπὶ τὴν μετουσίαν τοῦ ἁγιάσματος· δηλαδὴ καὶ ἐπὶ τοῦ τοιούτου ἡ αὐτὴ παρατήρησις ἔσται παρὰ τοῦ οἰκονομοῦντος τὴν Ἐκκλησίαν· καὶ πρὸς λόγον τῆς ἐπιστροφῆς, συντμηθήσεται αὐτῷ καὶ ἡ τοῦ ἐπιτιμίου πράτασις· ὥστε ἀντὶ ἐννέα ἐτῶν ἐφ' ἑκάστῳ βαθμῷ, ὀκτὼ ἢ ἑπτά, ἢ ἕξ, ἢ

C πέντε μόνα γενέσθαι, εἴπερ τὸ μεγέθος τῆς ἐπιστροφῆς νικᾷη τὸν χρόνον, καὶ ὑπερβάλλοιτο τῇ σπουδῇ τῆς διορθώσεως τοὺς ἐν τῇ μακρᾷ προθεσμίᾳ ῥᾳθυμότερον ἑαυτοὺς ἀπὸ τῆς κηλίδος καθαίροντας· τὸ δὲ ἀκούσιον, συγγνωστὸν μέν, οὐ μὴν ἐπαινετὸν ἐκρίθη· τοῦτο δὲ εἶπον, ὥστε δῆλον γενέσθαι ὅτι κἂν ἀκουσίως τις γένηται ἐν τῷ τοῦ φόνου μιάσματι, ὡς ἤδη βέβηλον αὐτὸν ἀπὸ τοῦ ἄγους γενόμενον, ἀπόβλητον ἱερατικῆς χάριτος ὁ κανὼν ἀπεφήνατο· ὅσος δὲ ἐστιν ἐπὶ τῇ ψιλῇ πορνείᾳ τοῦ καθαρσίου ὁ χρόνος τοσοῦτος καὶ ἐπὶ τῶν ἀκουσίως πεφονευκότων ἐδοκιμάσθη καλῶς ἔχειν· δηλαδὴ καὶ ἐν τούτῳ τῆς προαιρέσεως τοῦ μετανοοῦντος δοκιμαζομένης, ὥστε ἀξιόπιστος γένοιτο ἡ ἐπιστροφὴ, μὴ πάντως παραφυλαχθῆναι τὸν ἀριθμὸν τῶν ἐτῶν, ἀλλὰ διὰ συντομίας ἀγαγεῖν αὐτὸν εἰς τὴν τῆς Ἐκκλησίας ἀποκατάστασιν, καὶ εἰς τὴν τοῦ ἁγαθοῦ μετουσίαν.

7. Sepulcrorum autem effossio, ipsa quoque dividitur in id quod veniam meretur, et id quod non meretur. Si enim quis mortuorum parcens facultatibus et tectum corpus intactum relinquens, ut nec soli ostendatur turpitudo corporis; ladidibus aliquot ex iis qui ante sepulcrum projecti sunt, ad aliquod opus construendum usus est; ne hoc quidem est laudabile; sed ut esset dignum venia, effecit consuetudo, quando ut aliquid melius et reipublicæ utilius materia traducta sit. Sed carnis in terram redactæ pulverem perscrutari, et ossa movere; spe aliquem ex defossis lucrifaciendi ornatum, in eodem judicio condemnatum est, quo simplex fornicatio,

D ζ'. Ἡ δὲ τυμβωρυχία καὶ αὕτη διῄρηται εἰς τὸ συγγνωστόν τε καὶ ἀσύγγνωστον· εἰ μὲν γάρ τις τῆς ὁσίας φειδόμενος, καὶ ἄσυλον ἀφεὶς τὸ κεκρυμμένον σῶμα, ὡς μὴ ἀναδαιχθῆναι ἡλίῳ τὴν ἀσχημοσύνην τῆς φύσεως, λίθοις τισὶ τῶν τῷ τάφῳ προβεβλημένων συγχρήσαιτο, εἰς ἔργου τινὸς κατασκευὴν, ἐπαινετὸν μὲν οὐδὲ τοῦτο ἐστι, πλὴν ἀλλὰ συγγνωστὸν ἐποίησεν ἡ συνήθεια, ὅταν εἰς προτιμότερόν τι καὶ κοινωφελέστερον ἡ τῆς ὕλης μετάθεσις γίνηται· τὸ δὲ διερευνᾶσθαι τὴν κόνιν ἀπὸ της γεωθείσης σαρκὸς, καὶ ἀνακινεῖν τὰ ὀστᾶ, ἐλπίδι τοῦ κόσμου τινὰ τῶν συγκατορυχθέντων κερδᾶναι, τοῦτο τῷ αὐτῷ κρίματι κατεδικάσθη, ᾧ καὶ ἡ ψιλὴ πορ-

Digitized by Google Распознавание текста ABK/FR

νεία, καθὼς ἐν τῷ προλαβόντι διῆκται λόγῳ· ἐπισκοποῦντος δηλαδὴ τοῦ οἰκονόμου, ἐξ αὐτοῦ τοῦ βίου τὴν ἰατρείαν τοῦ θεραπευομένου, ὥστε συντεμεῖν τὴν ἐκ τῶν κανόνων ὁρισθεῖσαν τοῦ ἐπιτιμίου προθεσμίαν.

η'. Ἡ δὲ ἱεροσυλία παρὰ μὲν τῇ ἀρχαίᾳ Γραφῇ οὐδὲν ἐνομίσθη τῆς φονικῆς κατακρίσεως ἀνεκτοτέρα· ὁμοίως γὰρ ὅτε ἐπὶ φόνῳ ἁλοὺς, καὶ τὰ ἀνατεθέντα τῷ Θεῷ ὑφελόμενος, τὴν διὰ τῶν λίθων τιμωρίαν ὑπεῖχον· ἐπὶ δὲ τῆς ἐκκλησιαστικῆς συνηθείας οὐκ οἶδ' ὅπως συγκατάβασίς τις ἐγένετο καὶ συμπεριφορὰ, ὥστε ἀνεκτότερον νομισθῆναι τὸ τῆς τοιαύτης νόσου καθάρσιον· ἐν ἐλάττονι γὰρ χρόνῳ παρὰ τὴν μοιχείαν, τοῖς τοιούτοις τὸ ἐπιτίμιον διετάξατο ἡ τῶν Πατέρων παράδοσις· πανταχοῦ δὲ ἐν πλημμελήματος εἴδει τοῦτο καθορᾶν προσήκει πρὸ πάντων, οἷα ἐστὶν ἡ τοῦ θεραπευομένου διάθεσις, μὴ τὸν χρόνον οἴεσθαι πρὸς θεραπείαν ἀρκεῖν· τίς γὰρ ἂν ἐκ τοῦ χρόνου ἴασις γένοιτο; ἀλλὰ τὴν προαίρεσιν τοῦ ἑαυτὸν διὰ τῆς ἐπιστροφῆς θεραπεύοντος.

Ταῦτά σοι, ὦ ἄνθρωπε τοῦ Θεοῦ, κατὰ σπουδὴν πολλὴν ἐκ τῶν προχείρων συνθέντες, διὰ τὸ δεῖν τοῖς τῶν ἀδελφῶν ἐπιτάγμασι πείθεσθαι, κατὰ σπουδὴν ἀπεστείλαμεν· σὺ δὲ τὰς συνήθεις ὑπὲρ ἡμῶν εὐχὰς τῷ Θεῷ προσάγων μὴ διαλείπῃς· χρεωστεῖς γὰρ, ὡς εὐγνώμων υἱὸς, τὸ κατὰ Θεὸν σε γεννήσαντι τὴν διὰ τῶν προσευχῶν γηροκομίαν· κατὰ τὴν ἐντολὴν τὴν κελεύουσαν τιμᾷν τοὺς γονέας, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς· δῆλον δὲ ὅτι ὡς σύμβολον ἱερατικὸν δέξῃ τὸ γράμμα, καὶ οὐκ ἀτιμάσεις τὸ ξένιον κἂν σμικρότατον τῆς σῆς μεγαλοφυΐας ᾖ.

Ἡ γ' διστ. τοῦ ζ' τίτ. τοῦ α' κώδ. ἀνεῖλε τὴν μετάνοιαν τῷ ἐξ ὀρθοδόξων εἰς αἱρετικοὺς ἀποστάντι· ἡ δὲ λζ' νεαρὰ, ἡ περὶ τῶν Ἐκκλησιῶν Ἀφρικῆς διαλεγομένη, καὶ τοῖς τοιούτοις καιρὸν δέδωκε μετανοίας· ἡ δὲ λδ' διάτ. τοῦ δ' τίτ. τοῦ α' βιβλ. καὶ ἡ β' διάτ. τοῦ α' τίτ. τῶν Νεαρῶν, ἄδειαν τῷ ἐπισκόπῳ δέδωκε, θεωροῦντι μετάνοιαν τοῦ κυβεύσαντος κληρικοῦ, ἢ θέσις παρεμβαλόντος, μειοῦν τὸ ἐπιτίμιον, καὶ πρὸ συμπληρώσεως τοῦ ὁρισθέντος χρόνου ἀποκαθιστᾷν αὐτὸν τῇ θείᾳ λειτουργίᾳ· τοῦτο δὲ περὶ ἐπισκόπων ἰδικόν ἐστιν· οἱ γὰρ πολιτικῶς δικάζοντες ἄδειαν ἔχουσι, τὴν ἀρχὴν ψηφιζόμενοι, αὔξειν καὶ μειοῦν τὴν ποινήν· ὥστε μέν τοι ἐπὶ ἑκατέρου μὴ παρεξιέναι τὴν συμμετρίαν, ὡς βιβ. μη' τίτ. θ', διάτ. ιβ', ιγ'· εἰ καὶ τὰ μάλιστα εἴρηναι βιβλ. τῷ αὐτῷ τίτ. ζ', διάτ. α', καὶ βιβλ. ν', τίτ. α', διάτ. ιε', ὅτι ἡ τοῦ φάκτου ζήτησις, ἐπιτέτραπται τῷ δικαστῇ, οὐ μὴν ἡ τοῦ νόμου ἐπεξέλευσις· ὅμως μέν τοι ψηφισάμενος, οὐκέτι δύναται τὴν ψῆφον ἀνατρέπειν· εἴρηται γὰρ βιβλ. ζ' τοῦ κώδ. τίτ. ν', διάτ. α', ὅτι οὔτε τὴν ἰδίαν ψῆφον, οὔτε τὴν τοῦ διαλεχθέντος δύναταί τις ἀνατρέπειν· καὶ βιβλ. θ' τίτ. μζ' διάτ. ιε', ὅτι ὁ ἄρχων τὴν παρ' αὐτοῦ ἀνατρέπειν οὐ δύναται ὁρισθεῖσαν ποινήν.

Ἐν δὲ τῷ με' διατάγ. τοῦ α' τίτ. τοῦ μβ' βιβλ.

quemadmodum in præcedente oratione divisio facta est; considerante scilicet œconomo seu dispensatore, ex ipsa vita ejus, cui medela adhibetur, medicinam, ut spatium a canonibus præstitutum possit contrahere.

8. Sacrilegium autem in antiqua quidem Scriptura, ne cædis quidem condemnatione visum est tolerabilius. Similiter enim, et qui cædis convictus erat, et qui res Deo dedicatas abstulerat, lapidationis supplicium subibat. In ecclesiastica autem consuetudine, de pœnæ gravitate nescio quomodo aliquid detractum, et eo lenitatis descensum est, ut illius morbi existimaretur tolerabilius piaculum; in minori enim tempore quam adulterium, ii a Patrum traditione pœnam susceperunt. Ubique autem hoc in supplicii genere ante omnia videndum est, qualis sit ejus cui adhibetur affectio; et non existimare tempus ad medelam sufficere (quænam enim fuerit ex tempore medicina?), sed ejus, qui sibi per conversionem medetur, animum et institutum.

333 Hæc tibi, o homo Dei, ex iis quæ erant ad manum studiose composita, quod oporteat fratrum mandatis parere, studiose misimus. Tu vero consuetas pro nobis preces Deo offerre ne intermittas. Debes enim ut gratus filius, ei qui te secundum Deum genuit, in senectute per tuas orationes alimentum, convenienter præcepto quod jubet honorare parentes, *ut tibi bene sit, et sis longævus super terram* [71]. Clarum est autem quod ut symbolum sacerdotale, litteras accipies, munusque hospitale non contemnes, etiamsi sit minus quam pro summa tui ingenii bonitate.

Textus. Constit. 3, tit. 7, lib. I, cod. sustuli pœnitentiam orthodoxorum ad hæreticos dificientium. Novella autem 37, quæ de Africanis Ecclesiis disserit, talibus pœnitentiæ tempus dedit. Constit. porro 34, tit. 4, lib. I, cod. et const. 2, tit. I, Novellarum, episcopo videnti pœnitentiam clerici qui alea lusit, aut spectaculis [se] immiscuit, potestatem facit, ut pœnam minuat, et antequam statutum tempus completum sit, ipsum sacro ministerio restituat. Verum hoc in episcopis speciale est. Nam civiles judices facultatem habent, ut in ipsa sententia pœnam tum augeant, tum minuant: ut tamen in utroque [modo] rationem non excedant: quemadmodum lib. XLVIII, tit. 19, dig. 12 [traditur], tametsi ejusdem lib., tit. 16, dig. 1, et lib. L, tit. 1, digest. 15, [vel] maxime dicatur, quod judici facti quæstio, non autem legis persecutio commissa sit. Certe quidem qui judicavit, sententiam evertere non potest. Dicitur namque lib. VII, cod. tit. 50, constit. 1, quod neque suam neque decessoris sui sententiam quisquam rescindere possit. Et lib. IX, tit. 47, **334** const. 15, quod præsidi pœnam sua dictam sententia revocare non liceat.

Textus. In digest. 45, tit. 1, lib. XLII, pœnam

[71] Exod. XX, 12; Deut. V, 16; Matth. XV, 4.

Digitized by Google Распознавание текста ABK/FR

sententia dictam, sine principali auctoritate neque ampliari neque minui posse dicitur. Et lib. XLVIII, tit. 18, dig. 1, ait : Si servus metu ad dominum revertendi [crimen aliquod] in se confingat, et post condemnationem eo de consciis quæsito, veritas appareat : liberatur pœna, eaque conditione ne ad dominum revertatu a cohorte divenditur, et pretium domino datur. Judex autem qui aliquem damnavit tanquam sontem, liberare insontem compertum non potest. Neque enim quisquam sententiam suam revocat, etiamsi pecuniaria sit. In criminibus igitur de eo ad principem referre [judicem] oportet. Et digest. 9 et 27. tit. 19, ejusdem lib. Decurio neque in metallum, neque in opus metalli damnatur, nec furcæ subjicitur, neque exuritur. Sed tametsi tale quidpiam judicatum sit, liberatur : non [quidem] per judicem, sed per principem, qui [eam rem] edoctus pœnam aut permutat, aut remittit, et præsides sententias suas non rescindunt. Se tamen in se quis mentitus, aut ob defectum testificationum condemnatus fuerit, et postmodum probationes quæ ipsum juvent inveniantur, princeps aut liberat eum aut pœnam minuit.

Textus. [Atque] hæc [quidem] de perfectis sententiis dicta sint. Siquidem quæ judex in parte [aliqua judicii] interlocutus fuerit, ea prorsus tollere et immutare potest : quemadmodum lib. XLII, tit. 1, digest. 14, et lib. IV, tit. 8, digest. 19, 20. [traditur]. Et merito [quidem]. Nam qui interlocutus est, manet judex : qui vero sententiam dixit, in eadem [illa] re judex esse desiit : ut lib. XLII, tit. 1, dig. 55 [docetur].

Α φησίν, ὅτι τὴν ψηφισθεῖσαν σύνηθν αὔξειν ἢ μειοῦν ὁ ἄρχων χωρὶς βασιλικῆς αὐθεντίας οὐ δύναται · καὶ βιβλ. μη', τίτ. ιη', διάτ. α' φησίν, ὅτι ἐὰν δοῦλος φοβούμενος πρὸς τὸν Δεσπότην ὑποστρέψαι, εἶπῃ καθ' ἑαυτοῦ πλαστῶς, καὶ μετὰ καταδίκην ἐρωτωμένου αὐτοῦ περὶ τῶν συνιστόρων, φανῇ ἡ ἀλήθεια ἐλευθεροῦται τῆς ποινῆς, καὶ διὰ τῆς τάξεως πιπράσκεται, ἐφ' ᾧ μὴ ὑποστρέψαι πρὸς τὸν Δεσπότην, καὶ τὸ τίμημα τῷ Δεσπότῃ δίδοται · αὐτὸς δὲ ὁ κατα-

Β δικάσας ὡς αἴτιόν τινα, οὐ δύναται ἐλευθεροῦν ἀναίτιον εὑρισκόμενον · οὔτε γάρ τις τὴν οἰκείαν ψῆφον ἀνακαλεῖται, κἂν χρηματικὴ εἴη · δεῖ οὖν περὶ τούτου βασιλέα ἀνατρέχειν ἐπὶ τῶν ἐγκλημάτων · καὶ διάτ. θ', καὶ κζ' τοῦ ιθ' τίτ. τοῦ αὐτοῦ βιβλ. ὅτι βουλευτὴς οὔτε εἰς μεταλλον, οὔτε εἰς ἔργον μετάλλου καταδικάζεται, οὔτε φουλκίζεται, οὔτε καίεται, ἀλλ' εἰ καί τι τοιοῦτον ψηφισθῇ, ἐλευθεροῦται, οὐ διὰ τοῦ ἄρχοντος, ἀλλὰ διὰ τοῦ βασιλέως διδασκομένου, τὴν τιμωρίαν ἐναλλάσσοντος ἢ ἐλευθερούντος · καὶ οἱ ἄρχοντες οὐκ ἀνατρέπουσι τὰς ἰδίας ψήφους · εἰ μέντοι τις καθ' ἑαυτοῦ ψευσάμενος, ἢ ἀπορίᾳ συστάσεως καταδικασθῇ, καὶ ὕστερον εὑρεθῶσι βοηθοῦντα αὐτῷ δικαιώματα, ὁ βασιλεὺς ἢ ἐλευθεροῖ αὐτὸν ἢ μειοῖ τὴν ποινήν.

Ταῦτα περὶ αὐτοτελῶν εἴρηται ψήφων · τὰ γὰρ κατὰ μέρος διαλαλούμενα, δύναται ὁ δικαστὴς καὶ τελείως ἀναιρεῖν καὶ ἐναλλάσσειν, ὡς βιβλ. μβ', τίτ. α' διάτ. ιδ', καὶ βιβλ. δ', τίτ. η', διάτ. ιθ', κ' · ὁ

C μὲν γὰρ διαλαλήσας, μένει δικαστής · ὁ δὲ ψηφισάμενος, πέπαυται ἐπ' αὐτῷ τῷ πράγματι εἶναι δικαστὴς, ὡς βιβλ. μ', τίτ. η', διάτ. κ', καὶ βιβλ. μβ', τίτ. α', διάτ. νε'.

ΤΙΤΛΟΣ Ι'.

ΠΕΡΙ ΔΙΟΙΚΗΣΩΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΠΡΑΓΜΑΤΩΝ, ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΙΔΙΚΩΝ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ.

—

TITULUS X.

335 DE ADMINISTRATIONE PATRIMONII ECCLESIASTICI, ET DE RE PROPRIA EPISCOPI.

CAPUT. I. — *Oportere œconomum de Ecclesiæ clero fiat.*

Concilii Chalcedonensis canon 26.

26. Quoniam in nonnullis Ecclesiis, ut sæpe a nobis auditum est, episcopi atque œconomi tractant res ecclesiasticas, placuit omnem Ecclesiam episcopum habentem, ex proprio clero, œconomum habere, ut sine testibus sit Ecclesiæ administratio, nec ideo res ejus dissipentur, et probrum ac dedecus sacerdotio inuratur. Si autem hoc non fecerit, eum divinis etiam canonibus subjici. καὶ λοιδορίαν τῇ ἱερωσύνῃ προστρίβεσθαι· εἰ δὲ μὴ

D ΚΕΦΑΛ. Α'. — Περὶ τοῦ χρῆναι τὸν οἰκονόμον ἐκ τοῦ κλήρου τῆς Ἐκκλησίας εἶναι.

Συνόδου Χαλκηδόνος κανὼν κς'.

κς'. Ἐπειδὴ ἔν τισιν Ἐκκλησίαις, ὡς περιηχήθημεν, δίχα οἰκονόμων οἱ ἐπίσκοποι τὰ ἐκκλησιαστικὰ χειρίζουσι πράγματα, ἔδοξε πᾶσαν Ἐκκλησίαν ἐπίσκοπον ἔχουσαν, καὶ οἰκονόμον ἔχειν ἐκ τοῦ ἰδίου κλήρου, οἰκονομοῦντα τὰ ἐκκλησιαστικὰ κατὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου· ὥστε μὴ ἁμάρτυρον εἶναι τὴν οἰκονομίαν τῆς Ἐκκλησίας, καὶ ἐκ τούτου σκορπίζεσθαι τὰ τῆς αὐτῆς Ἐκκλησίας πράγματα, τοῦτο ποιῇ, ὑποκεῖσθαι αὐτὸν τοῖς θείοις κανόσιν.

Digitized by Google Распознавание текста ABBYY FR.

Συνόδου Νικαίας τὸ β', κανὼν ια'

"Οτι δεῖ οἰκονόμους εἶναι ἐν τοῖς ἐπισκοπείοις καὶ τοῖς μοναστηρίοις.

ια'. Ὑπόχρεοι ὄντες πάντας τοὺς θείους κανόνας φυλάττειν, καὶ τὸν λέγοντα οἰκονόμους εἶναι ἐν ἑκάστῃ Ἐκκλησίᾳ, παντὶ τρόπῳ ἀπαράτρωτον διατηρεῖν ὀφείλομεν· καὶ εἰ μὲν ἕκαστος μητροπολίτης ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ καθιστᾷ οἰκονόμον, καλῶς ἂν ἔχοι· εἰ δὲ μή γε, ἐξ αὐθεντίας ἰδίας τῷ Κωνσταντινουπόλεως ἐπισκόπῳ ἔδεια ἐστι προχειρίζεσθαι οἰκονόμον ἐν τῇ αὐτοῦ Ἐκκλησίᾳ· ὡσαύτως καὶ τοῖς μητροπολίταις, εἰ οἱ ὑπ' αὐτοὺς ἐπίσκοποι οὐ προαιροῦνται οἰκονόμους ἐγκαταστῆσαι ἐν ταῖς ἑαυτῶν Ἐκκλησίαις· τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ τῶν μοναστηρίων.

Θεοφίλου ἐκ τοῦ Ὑπομνηστικοῦ κανὼν θ'.

θ'. Ὥστε γνώμῃ παντὸς τοῦ ἱερατείου, οἰκονόμον ἀποδειχθῆναι ἕτερον, ἐφ' ᾧ συντίθεται καὶ ὁ ἐπίσκοπος Ἀπόλλων, πρὸς τὸ τὰ τῆς Ἐκκλησίας εἰς δέον ἀναλίσκεσθαι.

Ἡ λβ' διάτ. τοῦ γ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. λέγει τὸν οἰκονόμον χρῆναι παρὰ τοῦ ἐπισκόπου γίνεσθαι· καὶ ἡ μα' διάτ. τοῦ αὐτοῦ τίτ. ὅτι κατὰ δοκιμασίαν γίνεται· ἡ δὲ κδ' τοῦ β' τίτ. ὅτι δεῖ τοὺς οἰκονόμους κατὰ μῆνα ἢ τὸ μήκιστον ὑπὲρ δύο, λογοποιεῖν πρὸς τοὺς ἀρκαρίους, ἐπεὶ κινδυνεύουσι, καὶ ὅτι ἕκαστος μὲν οἰκονόμος ζητεῖ τὰ τῆς ὑφ' ἑαυτὸν διοικήσεως, οἱ δὲ λοιποὶ κατὰ πρόσταξιν ἀγράφων τοῦ πατριάρχου τοῖς λογισμοῖς ὑπογράφουσι, τὸ ἀνέγνων· καὶ τὸ χωρὶς τῆς τοιαύτης παρατηρήσεως λογιζόμενον, οἴκοθεν οἱ οἰκονόμοι διδόασι· καὶ ἡ μα' τοῦ γ' τίτ. ὅτι κατ' ἐνιαυτὸν ὁ οἰκονόμος παρατίθεται λόγον τῆς αὐτοῦ διοικήσεως τῷ ἐπισκόπῳ, καὶ ἀποδίδωσιν εἴ τι φανῇ βλάψας ἢ κερδήσας· εἰ δὲ τελευτήσει πρὸ τῶν λογισμῶν, ὑπόκεινται τούτοις οἱ κληρονόμοι αὐτοῦ· ὑπόκεινται γὰρ καὶ ἀπὸ ῥᾳθυμίας, καὶ ἐὰν ἀπόροις ἐκδώσει· ἡ δὲ β' διάτ. τοῦ β' τίτ. τῶν Νεαρῶν, ἀπαγορεύει τοῖς οἰκονόμοις, καὶ ὀρφανοτρόποις, καὶ διοικηταῖς τῶν λοιπῶν εὐαγῶν οἴκων, ἔτι μὴν καὶ τοῖς πάντων χαρτουλαρίοις, καὶ τοῖς τούτων γονεῦσι καὶ παισί, καὶ τοῖς κατὰ γένος ἢ γάμον αὐτοῖς συναπτομένοις, ἐμφυτεύσεις, καὶ μισθώσεις, καὶ ὑποθήκας πραγμάτων τῶν εὐαγῶν οἴκων, ἢ δι' ἑαυτῶν, ἢ διὰ παρενθέτων προσώπων λαμβάνειν· ἐπεὶ καὶ τὸ συνάλλαγμα ἀκυροῦται, καὶ πᾶσα ἡ περιουσία τῶν οἰκονόμων καὶ χαρτουλαρίων καὶ διοικητῶν οἷς κατὰ τὸν εἰρημένον τρόπον συνάπτονται, εἰς τὸν εὐαγῆ οἶκον, ἐξ οὗ τὸ πρᾶγμα λαμβάνουσι, περιέρχεται μετὰ τὴν αὐτῶν τελευτήν.

ΚΕΦΑΛ. Β'. — Περὶ διοικήσεως τῶν ἐκκλησιαστικῶν πραγμάτων.

Ἀποστόλων κανὼν λη', μ', μα'.

λη'. Πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτὰ ὡς τοῦ Θεοῦ ἐφορῶντος· μὴ ἐξεῖναι δὲ αὐτῷ σφε-

A *Concilii Nicæni* II *canon* 11.

Oportet œconomos esse in episcopiis et in monasteriis.

11. Cum omnes [72] divinos canones servare teneamur, eum quoque, qui jubet œconomos esse in singulis Ecclesiis, illæsum omnino servare debemus. Et si quidem unusquisque 336 metrolitanus in sua Ecclesia œconomum constituit, bene habet : sin minus, Constantinopolitano episcopo speciali auctoritate licebit œconomum in ejus Ecclesia præficere. Similiter et metropolitanis, si qui eis subsunt episcopi, nolint in suis Ecclesiis œconomos constituere. Hoc ipsum autem servari etiam in monasteriis.

B *Theophili ex Commonitorio canon* 9.

9. Ut totius sacerdotalis ordinis sententia alius renuntietur œconomus, in quo Apollo quoque episcopus consensit, ut bona Ecclesiæ in ea quæ oportet impendantur.

Textus. Const. 32, tit. 3, lib. I, cod. œconomum ab episcopo fieri oportere dicit. Et const. 41 ejusdem tit. per explorationem fieri. Const. 24, tit. 2, quod oporteat œconomus singulis, vel summum alternis mensibus apud arcarios rationes conficere, alioqui periclitari. Et, quod quisque œconomus quærat quæ suæ administrationis sunt: reliqui vero secundum jussionem patriarchæ non scriptam rationibus, subscribant, legi : quodque citra hanc observationem in rationem deducitur, id de C suo œconomi dent. Et 41, tit. 3, quod singulis quibusque annis œconomus rationes reddat tractus sui episcopo, et restituat, si quod damnum dedisse, aut lucrum fecisse videatur. Si vero ante [redditas] rationes moriatur, illis hæredes ejus teneri. Teneri enim ob negligentiam, aut si [quid] ils qui solvendo non sunt elocaverit. Porro 2 const., tit. 1 Novellarum, interdicit œconomis, et orphanotrophis, et reliquarum venerabilium domuum dispensatoribus, atque insuper quarumcunque [domuum] chartulariis, et horum parentibus simul et liberis, et aliis 337 genere ipsis aut affinitate conjunctis, ne emphyteuses, aut locationes, aut hypothecas rerum venerabilibus domibus [competentium] vel per se vel per interpositas personas D suscipiant. Alioquin [inquiens] et contractus irritus erit, et œconomorum, et chartulariorum, et dispensatorum, quibus [illi] prædicto modo conjuncti sunt, universum patrimonium post ipsorum mortem ad venerabilem domum, unde rem susceperunt, perveniet.

CAP. II. *De patrimonii ecclesiastici administratione.*

Apostolorum canones 38, 40, 41.

38. [37] Omnium rerum ecclesiasticarum episcopus curam gerat, et eas administret tanquam Deo intuente. Ne liceat autem ex eis aliquid sibi vindi-

[72] Conc. Chalced., can 26.

Digitized by Google Распознавание текста ABK/FR

care, vel propriis cognatis, quæ Dei sunt, largiri. Sin autem sunt pauperes, ut pauperibus suppeditet : sed non eorum prætextu vendat quæ sunt Ecclesiæ.

40 [39.] Manifestæ sint episcopi res propriæ, siquidem res habet proprias, et manifestæ res Dominicæ : ut sit in potestate morientis episcopi, propria quibus vult et vult relinquere, et non relinquere, et non rerum ecclesiasticarum prætextu res episcopi intercipiunt, qui nonnunquam uxorem habet et liberos, vel cognatos, vel famulos. Est enim justum [73] apud Deum et homines, ut nec Ecclesia damnum aliquod accipiat propter rerum episcopi ignorationem : nec episcopus vel ejus cognati Ecclesiæ prætextu proscribantur, vel in negotia litesque incidant, qui ad eum attinent, et ejus mortem maledictis infaustisque verbis prosequantur.

338 41 [40]. Jubemus episcopum rerum Ecclesiæ potestatem habere [74]. Si enim pretiosæ hominum animæ sunt ei credendæ, multo magis ei sunt committendæ pecuniæ, et in ejus sit facultate omnia administrare, et iis qui egent per presbyteros et diaconos subministrare cum Dei timore, et omni religione, et etiam, si sit opus, in necessarium suum usum accipere, et fratrum qui hospitio excipiuntur, ita ut ipse nullo modo egeat. Lex enim Dei hoc habet, ut qui altari assident, ex altari alantur [75] : quandoquidem nec miles unquam suo viatico adversus hostes progreditur.

Concilii Antiocheni canones 24, 25.

24. Recte habet, ut ea quæ Ecclesiæ, Ecclesiæ serventur cum omni boni conscientia, et fide in omnium præsidem et judicem Deum : quæ etiam administrari convenit cum judicio, et potestate episcopi, cui est omni populus creditus, et eorum animæ quæ in Ecclesiam conveniunt. Sint autem manifesta quæ ad Ecclesiam pertinent cum cognitione presbyterorum et diaconorum, qui sunt circa eum, ut sciant et non ignorent quæ sunt propria Ecclesiæ, ut nihil ipsos lateat : ut si contingat episcopum e vita migrare, iis manifestis exsistentibus quæ ad Ecclesiam pertinent, ne ea intercidant et pereant : nec quæ sunt propria episcopi, prætextu rerum ecclesiasticarum vexentur. Est enim justum, et apud Deum et homines acceptum, ut episcopus propria quibus velit relinquat. Quæ sunt autem Ecclesiæ, ipsi serventur, et 339 nec Ecclesia damnum aliquod sustineat, nec episcopus Ecclesiæ prætextu proscribatur, vel qui ad eum attinent, in negotia incidant cum eo, quod et ipsum post mortem malis omnibus prosequantur.

25. Episcopus habeat rerum Ecclesiæ potestatem, ut eas in omnes egentes dispenset cum multa cau-

A τερίζεσθαί τι ἐξ αὐτῶν, ἢ συγγενέσιν ἢ ἰδίοις τὰ τοῦ Θεοῦ χαρίζεσθαι · εἰ δὲ πένητες εἶεν, ἐπιχορηγείτω ὡς πένησιν · ἀλλὰ μὴ προφάσει τούτων, τὰ τῆς Ἐκκλησίας ἀπεμπολείτω.

μ'. Ἔστω φανερὰ τὰ ἴδια τοῦ ἐπισκόπου πράγματα, εἴ γε καὶ ἴδια ἔχει · καὶ φανερὰ τὰ Κυριακά, ἵν' ἐξουσίαν ἔχῃ τῶν ἰδίων τελευτῶν ὁ ἐπίσκοπος, οἷς βούλεται καὶ ὡς βούλεται καταλεῖψαι · καὶ μὴ προφάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων, διαπίπτειν τὰ τοῦ ἐπισκόπου, ἔσθ' ὅτε γυναῖκα καὶ παῖδας κεκτημένου, ἢ συγγενεῖς ἢ οἰκέτας · δίκαιον γὰρ τοῦτο παρὰ Θεῷ καὶ ἀνθρώποις, τὸ μήτε τὴν Ἐκκλησίαν ζημίαν τινὰ ὑπομένειν, ἀγνοίᾳ τῶν τοῦ ἐπισκόπου πραγμάτων, μήτε τὸν ἐπίσκοπον ἢ τοὺς αὐτοῦ συγγενεῖς, προφάσει τῆς Ἐκκλησίας, δημεύεσθαι · ἢ καὶ B εἰς πράγματα ἐμπίπτειν τοὺς αὐτῷ διαφέροντας, καὶ τὸν αὐτοῦ θάνατον δυσφημίᾳ περιβάλλεσθαι.

μα'. Προστάσσομεν τὸν ἐπίσκοπον ἔχειν ἐξουσίαν τῶν τῆς Ἐκκλησίας πραγμάτων · εἰ γὰρ τὰς τιμίας τῶν ἀνθρώπων ψυχὰς αὐτῷ πιστευτέον, πολλῷ ἂν δέοι περὶ τῶν χρημάτων ἐντέλλεσθαι · ὥστε κατὰ τὴν αὐτοῦ ἐξουσίαν πάντα διοικεῖσθαι τοῖς δεομένοις διὰ τῶν πρεσβυτέρων καὶ διακόνων, καὶ ἐπιχορηγεῖσθαι μετὰ φόβου Θεοῦ καὶ πάσης εὐλαβείας · μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόντων, εἴγε δέοιτο εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας, καὶ τῶν ἐπιξενουμένων ἀδελφῶν, ὡς κατὰ μηδένα τρόπον αὐτοὺς ὑστερεῖσθαι · ὁ γὰρ νόμος τοῦ Θεοῦ διετάξατο, τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας, ἐκ τοῦ θυσιαστηρίου τρέφεσθαι · ἐπείπερ οὐδὲ στρατιώτης ποτὲ ἰδίοις ὀψωνίοις, ὅπλα κατὰ πολεμίων ἐπιφέρεται. C

Συνόδου Ἀντιοχείας κανὼν κδ', κε'.

κδ'. Τὰ τῆς Ἐκκλησίας, τῇ Ἐκκλησίᾳ καλῶς ἔχειν φυλάττεσθαι δεῖ, μετὰ πάσης ἐπιμελείας καὶ ἀγαθῆς συνειδήσεως καὶ πίστεως τῆς εἰς τὸν πάντων ἔφορον καὶ κριτὴν Θεόν · ἃ καὶ διοικεῖσθαι προσήκει μετὰ κρίσεως καὶ ἐξουσίας τοῦ ἐπισκόπου, τοῦ πεπιστευμένου πάντα τὸν λαὸν καὶ τὰς ψυχὰς τῶν συναγομένων · φανερὰ δὲ εἶναι τὰ διαφέροντα τῇ Ἐκκλησίᾳ, μετὰ γνώσεως τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακόνων · ὥστε τούτους εἰδέναι, καὶ μὴ ἀγνοεῖν τίνα ποτέ ἐστι τὰ ἴδια τῆς Ἐκκλησίας, ὥστε μηδὲν αὐτοὺς λανθάνειν · ἵν' εἰ συμβαίη τὸν ἐπίσκοπον μεταλλάττειν τὸν βίον, φανερῶν ὄντων τῶν διαφερόντων τῇ Ἐκκλησίᾳ πραγμάτων, μήτε αὐτὰ διαπίπτειν καὶ ἀπόλλυσθαι, μήτε τά ἴδια τοῦ ἐπισκόπου D ἐνοχλεῖσθαι, προφάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων · δίκαιον γὰρ καὶ ἀρεστὸν παρά τε Θεῷ καὶ ἀνθρώποις, τά ἴδια τοῦ ἐπισκόπου, οἷς ἂν αὐτὸς βούληται καταλιμπάνεσθαι, τὰ μέντοι τῆς Ἐκκλησίας αὐτῇ φυλάττεσθαι · καὶ μήτε τὴν Ἐκκλησίαν ὑπομένειν τινὰ ζημίαν, μήτε τὸν ἐπίσκοπον προφάσει τῆς Ἐκκλησίας δημεύεσθαι, ἢ καὶ εἰς πράγματα ἐμπίπτειν τοὺς αὐτῷ διαφέροντας, μετὰ τοῦ καὶ αὐτὸν μετὰ θάνατον δυσφημίᾳ περιβάλλεσθαι.

κε'. Ἐπίσκοπον ἔχειν τῶν τῆς Ἐκκλησίας πραγμάτων ἐξουσίαν, ὥστε διοικεῖν εἰς πάντας τοὺς δεομέ-

[73] Antioch. can. 24. [74] Quæsit. 12, c. *Præcipimus;* Antioch. can. 25. [75] Deut. XVIII, 1 ; I Cor. IX, 13.

Digitized by Google Распознавание текста ABKAFR

νους μετὰ πάσης εὐλαβείας, καὶ φόβου Θεοῦ· μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόντων, εἴ γε δέοιτο, εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας καὶ τῶν παρ' αὐτῷ ἐπιξενουμένων ἀδελφῶν· ὡς κατὰ μηδένα τρόπον αὐτοὺς ὑστερεῖσθαι, κατὰ τὸν θεῖον Ἀπόστολον λέγοντα, Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα· εἰ δὲ μὴ τούτοις ἤρκοῦτο, μεταβάλλοι δὲ τὰ πράγματα εἰς οἰκείας ἑαυτοῦ χρείας, καὶ τοὺς πόρους τῆς Ἐκκλησίας, ἢ τοὺς τῶν ἀγρῶν καρποὺς, μὴ μετὰ γνώμης τῶν πρεσβυτέρων ἢ διακόνων χειρίζοι, ἀλλ' οἰκείοις αὐτοῦ, καὶ συγγενέσιν, ἢ ἀδελφοῖς, ἢ υἱοῖς παράσχοιτο τὴν ἐξουσίαν, εἰς τὸ διὰ τῶν τοιούτων λεληθότως βλάπτεσθαι τοὺς λόγους τῆς Ἐκκλησίας, τοῦτον εὐθύνας παρέχειν τῇ συνόδῳ τῆς ἐπαρχίας· εἰ δὲ καὶ ἄλλως διαβάλλοιτο ὁ ἐπίσκοπος, ἢ οἱ σὺν αὐτῷ πρεσβύτεροι, ὡς τὰ τῇ Ἐκκλησίᾳ διαφέροντα, ἤτοι ἐξ ἀγρῶν, ἢ ἐξ ἑτέρας προφάσεως ἐκκλησιαστικῆς, εἰς ἑαυτοὺς ἀποφερόμενοι, ὡς θλίβεσθαι μὲν τοὺς πένητας, διαβολὴν δὲ καὶ δυσφημίαν προστρίβεσθαι τῷ τε λόγῳ καὶ τοῖς οὕτω διοικοῦσι, καὶ τούτους διορθώσεως τυγχάνειν· τὸ πρέπον δοκιμαζούσης τῆς ἁγίας συνόδου.

ΚΕΦΑΛ. Ι'. — Περὶ χρόνου τῆς ἡλικίας τῶν λαμβανομένων τὸ σχῆμα · καὶ ποία λέγεται παρθένος.

Συνόδου Καρθαγένης κανὼν ρκϛ'.

Περὶ παρθένων μακρῶν, ὅτι μὴν καλυπτέον.

ρκϛ'. Ὁμοίως ἤρεσεν, ἵνα ὁπωσδήποτε τῶν ἐπισκόπων, δι' ἀνάγκην τῆς παρθενικῆς σωφροσύνης κινδυνευούσης, ὅτε ἡ ἁρπαστὴς δυνατὸς, ἢ ἅρπαξ τίς ἐστιν ἐν ὑποψίᾳ, ἢ ἔτι μὴν ὑπό τινος θανατηφόρου
C κινδύνου αὐτὴ ἔσηται νυχθεῖσα, παρακαλούντων ἢ τῶν γονέων αὐτῆς, ἢ ὧν τῇ φροντίδι ἀνάκειται, διὰ τὸ μὴ χωρὶς τοῦ σχήματος τελειωθῆναι, κεκάλυφῃ παρθένον ἢ ἐκάλυψεν ἐντὸς χεῖρας ἐνιαυτῶν κε', μηδὲν τὸν τοιοῦτον βλάψῃ περὶ τούτου τοῦ ἀριθμοῦ τῶν ἐνιαυτῶν καταστάθεῖσα σύνοδος.

Συνόδου οἰκουμενικῆς ϛ' κανὼν μ', με'.

Περὶ μοναχῶν καὶ μοναστριῶν.

μ'. Ἐπειδὴ τῷ Θεῷ κολλᾶσθαι, διὰ τῆς ἐκ τῶν τοῦ βίου θορύβων ἀναχωρήσεως, λίαν ἐστὶ σωτήριον, χρὴ μὴ ἀνεξετάστως ἡμᾶς, ἢ παρὰ τὸν καιρὸν τοὺς τὸν μονήρη βίον αἱρουμένους προσίεσθαι, ἀλλὰ τὸν παραδοθέντα ἡμῖν παρὰ τῶν Πατέρων, καὶ ἐν αὐτοῖς φυλάττειν ὅρον · ὥστε τὴν ὁμολογίαν τοῦ κατὰ Θεὸν
D βίου τότε προσίεσθαι δεῖ, ὡς ἤδη βεβαίαν καὶ ἀπὸ γνώμης οἰκείας καὶ κρίσεως γινομένην, μετὰ τὴν τοῦ λόγου συμπλήρωσιν · ἔστω τοίνυν ὁ μέλλων τὸν μοναχικὸν ὑπέρχεσθαι ζυγὸν, οὐκ ἧττον ἢ δεκαετής · ἐν τῷ προοίδῳ κειμένης καὶ τῆς ἐπὶ τούτῳ δοκιμασίας, εἰ τὸν χρόνον αὐτῷ αὐξηθῆναι λυσιτελέστερον ἡγεῖται, πρὸς τὴν ἐν τῷ μονήρει βίῳ εἰσαγωγὴν καὶ κατάστασιν · εἰ γὰρ καὶ ὁ μέγας Βασίλειος ἐν τοῖς ἱεροῖς αὐτοῦ κανόσι τὴν ἑκουσίως ἑαυτὴν προσάγουσαν τῷ Θεῷ καὶ τὴν παρθενίαν ἀσπαζομένην, τὸν ἑπτακαιδέκατον διανύουσαν χρόνον, τῷ τῶν παρθένων τάγματι ἀριθμεῖσθαι νομοθετεῖ, ἀλλ' οὖν τῷ

[88] Conc. Milevit. II, can. 26 ; Afric. c. 95. [89] Cartag. III, can. 4. [90] Basilii, can. 18 ; Chalced. can. 19. [91] Vide Basilium magnum, canon. 18 Epist. ad Amphilochium.

Digitized by Google Распознавание текста ABKAFR

περὶ τῶν χηρῶν τε καὶ διακονισσῶν παραδείγματι κατακολουθήσαντες, εἰς τὸν εἰρημένον χρόνον ἀναλόγως τοὺς τὸν μονήρη βίον ἑλομένους περιεστήσαμεν· ἐν γὰρ τῷ θείῳ Ἀποστόλῳ γέγραπται· Ἐξήκοντα ἐτῶν τὴν ἐν τῇ Ἐκκλησίᾳ καταλέγεσθαι χήραν. Οἱ δὲ ἱεροὶ κανόνες μ' ἐτῶν τὴν διακόνισσαν χειροτονεῖσθαι παραδεδώκασι, τὴν Ἐκκλησίαν χάριτι θείᾳ κραταιοτέραν γινομένην, καὶ ἐπὶ τὰ πρόσω βαίνουσαν ἑωρακότες, καὶ τὸ τῶν πιστῶν πρὸς τὴν τῶν θείων ἐντολῶν τήρησιν πάγιόν τε καὶ ἀσφαλές· ὅπερ καὶ ἡμεῖς ἄριστα κατανοήσαντες, ἀρτίως διωρισάμεθα τὴν εὐλογίαν τῆς χάριτος, τῷ μέλλοντι τῶν κατὰ Θεὸν ἀγώνων ἐνάρχεσθαι, ὥσπερ τινὰ σφραγῖδα ταχέως ἐνσημαινόμενοι, ἐντεῦθεν αὐτὸν πρὸς τὸ ἐπὶ μήκιστον μὴ ὀκνεῖν καὶ ἀναδύεσθαι προσβιβάζοντες, μᾶλλον μὲν οὖν καὶ πρὸς τὴν τοῦ ἀγαθοῦ παρορμῶντες ἐκλογὴν καὶ κατάστασιν.

με'. Ἐπειδὴ μεμαθήκαμεν, ἔν τισι γυναικείοις μοναστηρίοις τὰς μελλούσας τοῦ ἱεροῦ ἐκείνου καταξιοῦσθαι σχήματος, πρότερον σηρικαῖς καὶ παντοίαις στολαῖς, ἔτι μὴν καὶ κοσμίοις χρυσῷ καὶ λίθῳ πεποικιλμένοις ὑπὸ τῶν προσαγόντων αὐτὰς περιστέλλεσθαι, καὶ οὕτω τῷ θυσιαστηρίῳ προσιούσας, ἐκδιδύσκεσθαι τὴν τοσαύτην τῆς ὕλης ἀμφίεσιν, παραχρῆμά τε γίνεσθαι ἐπ' αὐταῖς τὴν τοῦ σχήματος εὐλογίαν, καὶ τὸ μέλαν αὐτὰς ἔνδυμα ἀμφιέννυσθαι, ὁρίζομεν ὥστε μηκέτι ἀπὸ τοῦ νῦν τοῦτο γίνεσθαι· οὐδὲ γὰρ εὐαγὲς ὑπάρχει τὴν ἤδη διὰ τῆς οἰκείας προαιρέσεως ἀποθεμένην πᾶσαν τὴν τοῦ βίου φροντίδα τε καὶ τερπνότητα, καὶ ἀσπασαμένην τὴν κατὰ Θεὸν πολιτείαν, καὶ βεβαιώσασαν ταύτην λογισμοῖς ἀκλινέσι, καὶ οὕτω τῷ μοναστηρίῳ προσελθοῦσαν, αὖθις εἰς ἀνάμνησιν διὰ τοῦ τοιούτου φθαρτοῦ τε καὶ ῥέοντος κόσμου ἐλθεῖν, ὧν ἤδη ἐποιήσατο λήθην· ἐκ τούτου τε ἀμφίβολον καταστῆναι καὶ τὴν ψυχὴν ἐκταραχθῆναι, δίκην κυμάτων ἐπικλυζόντων, καὶ τῇδε κἀκεῖσε περιστρεφόντων· ὡς μήτε δάκρυόν ἐστιν ὅτε λοιπὸν ἀφιεῖσαν τὴν ἐν τῇ καρδίᾳ διὰ τοῦ σώματος κατάνυξιν ἐπιδείξασθαι· ἀλλ' εἰ καὶ βραχύ τι, ὡς εἰκὸς, ἐκπηδήσειε δάκρυον, μὴ μᾶλλον τῆς διὰ τὸν ἀσκητικὸν ἀγῶνα διαθέσεως χάριν, ἢ διὰ τὸ τὸν κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ καταλιπεῖν, παρὰ τοῖς ὁρῶσι τοῦτο προελθὸν λογισθῆναι.

tempus, analogia et proportione habita, eos qui vitam monasticam elegerunt, deduximus. In divino enim Apostolo scriptum est[92] sexaginta annorum viduam in Ecclesia eligendam : sacri autem canones quadraginta annorum diaconissam ordinandam esse statuerunt, cum Dei ecclesiam Dei gratia potentiorem ac robustiorem evasisse, et ulterius procedere vidissent, fideliumque ad divinorum mandatorum observationem firmitatem ac stabilitatem. Quod quidem cum nos quoque optime intellexissemus, modo statuimus benedictionem gratiæ ei, qui certamina secundum Deum aggressurus est, veluti quoddam signaculum celeriter imprimentes, hinc eum ad non diu cunctandum et tergiversandum inducentes, vel potius eam ad boni electionem et constitutionem incitantes.

45. Quoniam intelleximus[93] in nonnullis mulierum monasteriis mulieres, quæ sacro illo amictu sunt induendæ, prius sericis et omnis generis vestibus; præterea autem et mundis auro et gemmis variatis ab iis qui illas ducunt exornari, et sic ad altare accedentes, exui tanto opum apparatu, **376** et statim in illis fieri habitus benedictionem, illasque nigro amictu indui, statuimus ne hoc deinceps fiat. Neque enim fas est, ut quæ jam propria voluntate omnem vitæ jucunditatem deposuit, et eam quæ est secundum Deum vitæ agendæ rationem amplexa est, firmisque ac stabilibus rationibus eam confirmavit, et ita ad monasterium accessit, per eum, qui interit ac fluit, mundum, quorum jam oblita erat memoriam revocet; et ex eo anceps reddatur, et ejus anima perturbetur instar exundantium fluctuum, hucque et illuc versantium: ut nec nonnunquam lacrymam emittens, cordis per corpus compunctionem ostendat; sed et si exigua aliqua, ut est consentaneum, lacryma exsilierit, non magis propter exercitatorium certamen, quam propterea quod mundum et mundana relinquant, ea a videntibus profluxisse putetur.

Βασιλείου κανὼν ιη'.

ιη'. Περὶ τῶν ἐκπεσουσῶν παρθένων, κ. τ. λ.

Basilii canon 18.

18. De virginibus lapsis, etc., *ut pag.* 858.

ΚΕΦΑΛ. ΙΑ' — Περὶ μοναχῶν γινομένων κληρικῶν, ἢ λαϊκῶν ἀξιωματικῶν, ἢ στρατευομένων.

CAP. XI. — *De monachis ad clericalem statum transeuntibus, vel ad laicas dignitates, vel ad militiam.*

Συνόδου Νικαίας κανὼν ιβ'.

ιβ'. Οἱ δὲ προσκληθέντες μὲν ὑπὸ τῆς χάριτος, κ. τ. λ.

Concilii Nicæni canon 12.

12. Qui autem a gratia quidem evocati, etc, *ut pag.* 731.

Συνόδου Χαλκηδόνος κανὼν ζ'.

ζ'. Τοὺς ἅπαξ ἐν κλήρῳ τεταγμένους, κ. τ. λ.

Concilii Chalcedonensis canon 7.

7. Eos qui in clero semel ordinati sunt, etc., *ut pag.* 751.

Κυρίλλου ἐκ τῆς πρὸς τοὺς Λιβύης καὶ Πενταπόλεως ἐπισκόπους ἐπιστολῆς.

377 *Cyrilli ex epistola ad episcopos qui sunt in Libya et Pentapoli.*

Ἕτεροι δέ τινες ἐξ αὐτῶν τῶν μοναστηρίων, ὡς ἄτακτοι ἐκβαλλόμενοι, πάλιν ὑποτρέχουσι τὰς χει-

Aliqui autem alii ex ipsis monasteriis, ut immodesti insolentesque ejecti, rursus ordinationes

[92] I Tim. v, 9. [93] Basil. can. 60.

Digitized by Google Распознавание текста ABKAFR

faciant; et facti clerici, in ea ipsa monasteria ingrediuntur ex quibus ejecti sunt, et volunt oblationem agere et ea omnia facere quæ mos est clericis, ut etiam aliqui eorum qui ipsos nerunt, synaxes deviteat, et communicare in animum non inducant illis ministrantibus.

Lege annotationes cap. 32, tit. 9 præsentis operis.

CAP. XII. — *De iis qui usurpant monachalem habitum vituperantque utentes veste communi.*

Concilii Gangrensis canon 12.

12. Si quis vir propter eam quæ existimatur exercitationem amiculo utitur, et tanquam habens ex eo justitiam, eos condemnet qui cum pietate (27) beros ferunt, et alia communi et consueta veste utuntur, sit anathema.

Textus. Dicitur lib. 1, tit. 4, constit 4: Mimi, et quæ corpore publice quæstum faciunt, habitu sacratarum virginum ne utantur. Et constit. 2, tit. 1 Novellarum ait: Nemo laicus, minime vero scenici et meretrices, habitu monastico utitor, [eum] vel imitator. Alioqui et corporali pœna feritur, et exterminatur.

378 CAP. XIII. — *De muliere quæ asceticæ vitæ causa veste virili induitur.*

Concilii Gangrensis canon 13.

13. Si qua mulier propter eam, quæ existimatur, exercitationem, et vestem mutet, et pro consueto muliebri indumento virile accipiat, sit anathema.

CAP. XIV. — *Ne mulieres asceticæ vitæ causa tondeantur.*

Concilii Gangrensis canon 17.

17. Si qua mulier, propter eam quæ existimatur, pietatem, tondeat comam, quam Deus ei dedit ad recordationem subjectionis, ut quæ subjectionis præceptum dissolvat, sit anathema.

CAP. XV. — *De eo qui asceticæ vitæ obtentu, filios vel parentes non alit.*

Concilii Gangrensis canon 15, 16.

15. Si quis suos liberos relinquit, nec eos alit, nec, quantum in se est, ad convenientem pietatem religionemque adducit, sed exercitationis prætextu negligit, sit anathema.

16. Si qui filii a parentibus, maxime fidelibus, prætextu pietatis recesserint, et parentibus quem par est honorem non tribuerint, apud eos scilicet præposita in Deum pietate, sint anathema.

379 CAP. XVI. — *Quasnam civili negotio curas monachis tractare liceat.*

Concilii Chalcedonensis canon 3.

3. Pervenit ad sanctam synodum et quod eorum qui in clerum cooptati sunt, etc., *ut pag.* 683.

Lege adnotationes cap. 3. tit. 8 præsentis operis.

ροτονίας· καὶ γενόμενοι κληρικοὶ, εἰσέρχονται καὶ ἐν αὐτοῖς μοναστηρίοις ὅθεν ἐκβέβληνται, καὶ βούλονται προσφέρειν, καὶ ὅτι κληρικοῖς ἔθος πληροῦν, καὶ ταῦτα ὁρᾶν· ὡς καί τινας τῶν εἰδότων αὐτοὺς, παραιτεῖσθαι καὶ νὰς συνάξεις, καὶ μὴ ἀνέχεσθαι κοινωνεῖν λειτουργούντων ἐκείνων.

Ἀνάγνωθι τὰς παραγραφὰς τοῦ λβ' κεφ. τοῦ θ', τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛ. ΙΒ'. — Περὶ τῶν χρωμένων σχήματι μοναχικῷ, καὶ καταψηφιζομένων τῶν κοινῇ χρωμένων ἐσθῆτι.

Συνόδου Γάγγρας κανὼν ιβ'.

ιβ'. Εἴ τις ἀδρᾷ διὰ νομιζομένην ἄσκησιν περιβολαίῳ χρῆται, καὶ ὡς ἂν ἐκ τούτου τὴν δικαιοσύνην ἔχων καταψηφίζοιτο τῶν μετὰ εὐλαβείας τοὺς βήρους φορούντων, καὶ τῇ ἄλλῃ κοινῇ καὶ ἐν συνηθείᾳ οὔσῃ ἐσθῆτι κεχρημένων, ἀνάθεμα ἔστω.

Εἴρηται βιβλ. α', τίτ. δ', διάτ. δ', ὅτι, Οἱ μῖμοι καὶ αἱ πόρναι ἐκ τοῦ σώματος δημοσίᾳ ποιούμεναι, τῷ σχήματι τῶν ἱερῶν παρθένων μὴ κεχρήσθωσαν· καὶ ἡ β', διάτ. τοῦ α' τίτ. τῶν Νεαρῶν φησιν· Μηδεὶς λαϊκὸς καὶ μάλιστα οἱ σκηνικοὶ καὶ αἱ πόρναι κεχρήσθω τῷ μοναχικῷ σχήματι, ἐπεὶ καὶ σωματικῶς τιμωρεῖται καὶ ἐξορίζεται.

ΚΕΦΑΛ. ΙΓ'. — Περὶ γυναικὸς δι' ἄσκησιν φορούσης ἀνδρῶα.

Συνόδου Γάγγρας κανὼν ιγ'.

ιγ'. Εἴ τις γυνὴ διὰ νομιζομένην ἄσκησιν, μεταβάλοι τὸ ἀμφίασμα, καὶ ἀντὶ τοῦ εἰωθότος γυναικείου ἀμφιάσματος, ἀνδρῶον ἀναλάβοι, ἀνάθεμα ἔστω.

ΚΕΦΑΛ. ΙΔ'. — Περὶ τοῦ μὴ χρῆναι γυναῖκας ἀποκείρεσθαι δι' ἄσκησιν.

Συνόδου Γάγγρας κανὼν ιζ'.

ιζ'. Εἴ τις γυναικῶν διὰ νομιζομένην θεοσέβειαν ἀποκείροιτο τὰς κόμας ἃς ἔδωκεν ὁ Θεὸς εἰς ὑπόμνησιν τῆς ὑποταγῆς, ὡς ἂν παραλύουσα τὸ πρόσταγμα τῆς ὑποταγῆς, ἀνάθεμα ἔστω.

ΚΕΦΑΛ· ΙΕ'. — Περὶ τοῦ προφάσει ἀσκήσεως μὴ τεκνοτροφοῦντος ἢ πατροτροφοῦντος.

Συνόδου Γάγγρας κανὼν ιε', ις'.

ιη'. Εἴ τις καταλιμπάνει τὰ ἑαυτοῦ τέκνα, καὶ μὴ τεκνοτροφεῖ, καὶ τὸ ὅσον ἐπ' αὐτῷ πρὸς θεοσέβειαν τὴν προσήκουσαν ἀναγάγοι, ἀλλὰ προφάσει τῆς ἀσκήσεως ἀμελεῖ, ἀνάθεμα ἔστω.

ις'. Εἴ τινα τέκνα γονέων, μάλιστα πιστῶν, ἀναχωροῖ προφάσει θεοσεβείας, καὶ μὴ τὴν καθήκουσαν τιμὴν τοῖς γονεῦσιν ἀπονέμοι, προτιμωμένης παρ' αὐτοῖς δηλονότι τῆς θεοσεβείας, ἀνάθεμα ἔστω.

ΚΕΦΑΛ. Ις'. — Ποῖα πολιτικὰ πράγματα ἢ κηδεμονίας οἱ μοναχοὶ δύνανται μετιέναι.

Συνόδου Χαλκηδόνος κανὼν γ'.

γ'. Ἦλθεν εἰς τὴν ἁγίαν σύνοδον, ὅτι τῶν ἐν κλήρῳ κατειλεγμένων τινὲς, κ. τ. λ.

Ἀνάγνωθι τὰς παραγραφὰς τοῦ γ' κεφ. τοῦ η' τίτ. τοῦ παρόντος τυντάγματος.

(27) *Beros* videtur Balsamon episcopus Antiochenus, hunc locum interpretans, vocare vestes ex serico contextas.

Digitized by Google Распознавание текста ABK/FR

ΤΙΤΛΟΣ ΙΒ'.

ΠΕΡΙ ΑΙΡΕΤΙΚΩΝ, ΙΟΥΔΑΙΩΝ, ΚΑΙ ΕΛΛΗΝΩΝ.

TITULUS XII.

DE HÆRETICIS ATQUE ETHNICIS.

ΚΕΦΑΛ. Α'. — Τί ἐστιν αἵρεσις καὶ τί σχίσμα, καὶ τί παρασυναγωγή. A

Βασιλείου κανὼν α'.

α'. Τὸ μὲν οὖν περὶ τοὺς Καθαροὺς ζήτημα, καὶ εἴρηται πρότερον, καὶ καλῶς ἀπεμνημόνευσας· ὅτι δεῖ τῷ ἔθει τῶν καθ' ἑκάστην χώραν ἕπεσθαι, διὰ τὸ διαφόρως ἐνεχθῆναι περὶ τοῦ βαπτίσματος αὐτῶν, τοὺς τότε περὶ τούτων διαλαβόντας· τὸ δὲ τῶν Πεπουζηνῶν οὐδένα λόγον ἔχειν δοκεῖ· καὶ ἐθαύμασα πῶς κανονικὸν ὄντα τὸν Διονύσιον παρῆλθεν· ἐκεῖνο γὰρ ἔκριναν οἱ παλαιοὶ δέχεσθαι βάπτισμα, τὸ μηδὲν τῆς πίστεως παρεκβαῖνον· ὅθεν τὰ μὲν, αἱρέσεις ὠνόμασαν· τὰ δὲ, σχίσματα· τὰ δὲ, παρασυναγωγάς· αἱρέσεις μὲν, τοὺς παντελῶς ἀπερρηγμένους, καὶ κατ' αὐτὴν τὴν πίστιν ἀπηλλοτριωμένους· σχίσματα δὲ, τοὺς δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς καὶ ζητήματα ἰάσιμα, πρὸς ἀλλήλους διενεχθέντας· παρασυναγωγάς δὲ, τάς συνάξεις τά παρά τῶν ἀνυποτάκτων πρεσβυτέρων ἢ ἐπισκόπων, παρὰ τῶν ἀπαιδεύτων λαῶν γινομένας, οἷον· εἴ τις ἐν πταίσματι ἐξετασθεὶς, ἐπεσχέθη τῆς λειτουργίας, καὶ μὴ ὑπέκυψε τοῖς κανόσιν, ἀλλ' ἑαυτῷ ἐξεδίκησε τὴν προεδρίαν, καὶ τὴν λειτουργίαν, καὶ συναπῆλθον τούτῳ τινὲς, καταλιπόντες τὴν καθολικὴν Ἐκκλησίαν, παρασυναγωγὴ τὸ τοιοῦτο· σχίσμα δὲ, τὸ περὶ τῆς μετανοίας διαφόρως ἔχειν πρὸς τοὺς ἀπὸ τῆς Ἐκκλησίας· αἵρεσις δὲ, οἷον ἡ τῶν Μανιχαίων καὶ Οὐαλεντίνων καὶ Μαρκιωνιστῶν, καὶ αὐτῶν τούτων τῶν Πεπουζηνῶν· εὐθὺς γὰρ περὶ αὐτῆς τῆς εἰς Θεὸν πιστεώς ἐστιν ἡ διαφορά· ἔδοξε τοίνυν τοῖς ἐξ ἀρχῆς, τὸ μὲν τῶν αἱρετικῶν, παντελῶς ἀθετῆσαι· τὸ δὲ τῶν ἀποσχισάντων, ὡς ἔτι ἐκ τῆς Ἐκκλησίας ὄντων, παραδέξασθαι· τοὺς δὲ ἐν ταῖς παρασυναγωγαῖς μετανοίᾳ ἀξιολόγῳ καὶ ἐπιστροφῇ βελτιωθέντας, συνάπτεσθαι πάλιν τῇ Ἐκκλησίᾳ· ὥστε πολλάκις, καὶ τοὺς ἐν βαθμῷ συναπελθόντας τοῖς ἀνυποτάκτοις, ἐπιδὰν μεταμεληθῶσιν, εἰς τὴν αὐτῶν παραδέχεσθαι τάξιν.

Οἱ τοίνυν Πεπουζηνοὶ προδήλως εἰσὶν αἱρετικοί· εἰς γὰρ τὸ Πνεῦμα τὸ ἅγιον ἐβλασφήμουν, Μοντανῷ καὶ Πρισκίλλῃ τὴν τοῦ Παρακλήτου προσηγορίαν ἀθεμίτως καὶ ἀναισχύντως ἐπιφημίσαντες· εἴτε οὖν ὡς ἀνθρώπους θεοποιοῦντες κατάκριτοι, εἴτε ὡς τὸ Πνεῦμα τὸ ἅγιον τῇ πρὸς ἀνθρώπους συγκρίσει καθυβρίζοντες· καὶ οὕτω τῇ αἰωνίᾳ καταδίκῃ ὑπεύθυνοι, διὰ τὸ ἀσυγχώρητον εἶναι τὴν εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημίαν· τίνα οὖν λόγον ἔχει τὸ τούτων βάπτισμα ἐγκριθῆναι, τῶν βαπτιζόντων εἰς

CAPUT. — *Quid sit hæresis, quid schisma, quid illegitimus conventus?* A

Basilii canon 1.

1. Quod igitur ad Catharos pertinet, et prius dictum est, et recte admonuisti uniuscujusque regionis morem sequi oportere: quod ii, qui tunc de illis statuerunt, in varias de ipsorum baptismate sententias abierint. Pepuzenorum autem baptisma nullam mihi habere rationem videtur, et miratus sum quomodo hoc Dionysium, hominem canonum peritum, fugerit. Antiqui enim illud baptisma suscipiendum putavere, quod nihil a fide recedit; unde alias quidem hæreses, alia schismata, alias parasynagogas appellarunt. Hæreses quidem 380 eos, qui penitus resecti sunt, et in ipsa fide abalienati; schismata vero, eos, qui propter ecclesiasticas quasdam causas et quæstiones inter utramque partem non insanabiles dissident; parasynagogas autem, conventibus illos qui ab immorigeris presbyteris aut episcopis et a populis disciplinæ expertibus fiunt, velut, si quis in delicto deprehensus, a ministerio arceatur, nec se canonibus submittat, sed sibi principatum et ministerium vindicet, ac nonnulli una cum eo, relicta catholica Ecclesia, discedant; hoc dicitur parasynagoga. Schisma autem est, de pœnitentia ab iis qui ex Ecclesia sunt, dissentire. Hæreses autem, velut Manichæorum, et Valentinianorum, et Marcionistarum, et horum ipsorum Pepuzenorum; statim enim de ipsa in Deum fide dissensio est. Visum est ergo antiquis hæreticorum quidem baptisma penitus rejicere; schismaticorum vero, ut adhuc ex Ecclesia exsistentium, admittere; eos tandem qui sunt in parasynagogis, justa pœnitentia et animadversione emendatos rursus Ecclesiæ conjungere; adeo ut sæpe et ii qui in gradu collocati una cum rebellibus abierant, postquam pœnitentiam egerint, in eumdem ordinem admittantur.

Pepuzeni ergo sunt aperte hæretici: nam in Spiritum sanctum blasphemaverunt, Montano et Priscillæ Paracleti appellationem nefarie impudenterque attribuentes. Igitur, sive quia hominibus divinitatem attribuunt, condemnandi sunt: sive quia Spiritum sanctum afficiunt injuria, dum eum comparant cum hominibus, sic etiam sunt æternæ condemnationi obnoxii, quod condonari non possit blasphemia in Spiritum sanctum. Qua igitur ratione eorum baptisma 381 admittatur, cum in

Digitized by Google Распознавание текста ABK/FR

Patrem et Filium et Montanium aut Priscillam baptizent? non enim baptizati sunt qui in ea, quæ nobis tradita non sunt, baptizati fuere. Quare, etsi hoc Dionysium magnum latuit, servanda nobis non est imitatio erroris. Hoc enim quam absurdum sit, sua sponte perspicuum est, ac omnibus evidens, qui vel leviter ratiocinari possunt.

Cathari sunt et ipsi ex iis qui sunt abscissi. Cæterum antiquis visum est, Cypriano dico, et nostro Firmiliano, hos omnes uni calculo subjicere. Catharos, et Encratitas, et Hydroparastatas; propterea quod principium quidem separationis per schisma factum fuerat: qui autem ab Ecclesia se separaverant, non habebant amplius in se gratiam Spiritus sancti: defecerat enim communicatio, interrupta continuatione. Qui enim primi recesserant, ordinationem a Patribus habebant, et per manuum eorum impositionem habebant donum spirituale; qui autem resecti sunt, laici effecti, nec baptizandi, nec ordinandi habebant potestatem, ut qui non possent amplius Spiritus sancti gratiam aliis præbere, a qua ipsi exciderant. Quare eos, qui ab ipsorum partibus stabant, tanquam a laicis baptizatos, jusserunt vero Ecclesiæ baptismate ad Ecclesiam venientes expurgari. Sed quoniam nonnullis Asiaticis omnino visum est eorum baptisma, pluribus consulendi causa, suscipiendum esse, suscipiatur. Encratitarum autem facinus oportet nos intelligere. Nimirum, ut reditum sibi in Ecclesiam intercluderent, aggressi sunt deinceps proprio baptismate præoccupare: unde et suam ipsorum consuetudinem violarunt. Existimo itaque, quoniam 382 nihil de illis aperte dictum est, eorum baptisma a nobis rejiciendum esse; ac si quis ab eis acceperit, accedentem ad Ecclesiam baptizandum. (Quod si hoc generali œconomiæ impedimento erit, rursus consuetudine utendum est, et sequi oportet Patres, qui quæ ad nos pertinent, dispensaverunt. Vereor enim ne, dum eos volumus ad baptizandum tardos facere, impedimento propter sententiæ severitatem simus iis qui salvantur). Quod si illi nostrum baptismum servant, hoc nos moveat. Neque enim debemus par pari referre, sed accuratæ canonum observationi servire. Omni autem ratione statuatur, ut ii qui ab illorum baptismo veniunt, ungantur coram fidelibus videlicet, et ita demum ad mysteria accedant. Scio autem, fratres, Izoinum, et Saturninum, qui erant ex illorum ordine, in episcoporum cathedram a nobis esse susceptos. Quare eos qui illorum ordini conjuncti sunt, non possumus amplius ab Ecclesia separare: qui scilicet communionis cum ipsis quasi canonem quemdam, episcopos suscipiendos, ediderimus.

CAP. II. — *Quid sit hæreticus?*
Concilii Constantinopolitani canon 6.

6. Quoniam multi ecclesiasticum ordinem, etc., *ut pag.* 699.

Πατέρα, καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα Μοντανὸν καὶ Πρίσκιλλαν; οὐ γὰρ ἐβαπτίσθησαν οἱ εἰς τὰ μὴ παραδεδομένα ἡμῖν βαπτισθέντες· ὥστε εἰ καὶ τὸν μέγαν τοῦτο παρῆλθε Διονύσιον, ἀλλ' ἡμῖν οὐ φυλακτέον τὴν μίμησιν τοῦ σφάλματος· τὸ γὰρ ἄτοπον αὐτόθι πρόδηλον, καὶ πᾶσιν ἐναργὲς οἷς τι καὶ μικρὸν τοῦ λογίζεσθαι μέτεστιν.

Οἱ δὲ Καθαροὶ καὶ αὐτοὶ τῶν ἀπεσχισμένων εἰσί· πλὴν ἔδοξε τοῖς ἀρχαίοις, τοῖς περὶ Κυπριανὸν λέγω καὶ Φιρμιλιανὸν τὸν ἡμέτερον, τούτους πάντας μιᾷ ψήφῳ ὑποβάλλειν, Καθαροὺς καὶ Ἐγκρατίτας καὶ Ὑδροπαραστάτας· διότι ἡ μὲν ἀρχὴ τοῦ χωρισμοῦ, διὰ σχίσματος γέγονεν· οἱ δὲ τῆς Ἐκκλησίας ἀποστάντες, οὐκ ἔτι ἔσχον τὴν χάριν τοῦ ἁγίου Πνεύματος ἐφ' ἑαυτούς· ἐπέλιπε γὰρ ἡ μετάδοσις τῷ διακοπῆναι τὴν ἀκολουθείαν· οἱ μὲν γὰρ πρῶτοι ἀναχωρήσαντες, παρὰ τῶν Πατέρων ἔσχον τὰς χειροτονίας, καὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν αὐτῶν, εἶχον τὸ χάρισμα τὸ πνευματικόν· οἱ δὲ ἀπορράγεντες λαϊκοὶ γενόμενοι, οὔτε τοῦ βαπτίζειν οὔτε τοῦ χειροτονεῖν, εἶχον τὴν ἐξουσίαν· οὐκέτι δυνάμενοι χάριν Πνεύματος ἁγίου ἑτέροις παρέχειν, ἧς αὐτοὶ ἐκπεπτώκασι. διὸ ὡς παρὰ λαϊκῶν βαπτιζομένους τοὺς παρ' αὐτῶν ἐκέλευσαν ἐρχομένους ἐπὶ τὴν Ἐκκλησίαν, τῷ ἀληθινῷ βαπτίσματι τῷ τῆς Ἐκκλησίας ἀνακαθαίρεσθαι· ἐπειδὴ δὲ ὅλως ἔδοξέ τισι τῶν κατὰ τὴν Ἀσίαν, οἰκονομίας ἕνεκα, τῶν πολλῶν διεχθῆναι αὐτῶν τὸ βάπτισμα, ἔστω δεκτόν· τὸ δὲ τῶν Ἐγκρατιτῶν κακούργημα νοῆσαι ἡμᾶς δεῖ, ὅτι ἵνα ἀπροσδέκτους αὐτοὺς ποιήσωσι τῇ Ἐκκλησίᾳ, ἐπεχείρησαν λοιπὸν ἰδίῳ προκαταλαμβάνειν βαπτίσματι, ὅθεν καὶ τὴν συνήθειαν τὴν ἑαυτῶν παρεχάραξαν· νομίζω τοίνυν, ὅτι ἐπειδὴ οὐδὲν ἐστι περὶ αὐτῶν φανερῶς διηγορευμένον, ἡμᾶς προσῆκεν ἀθετεῖν αὐτῶν τὸ βάπτισμα, κἄν τις ᾖ παρ' αὐτῶν εἰληφὼς, προσιόντα τῇ Ἐκκλησίᾳ τοῦτο ἀναβαπτίζειν. Ἐὰν μέντοι μέλλοι τῇ καθόλου οἰκονομίᾳ τοῦτο ἐμπόδιον ἔσεσθαι, πάλιν τῷ ἔθει χρηστέον, καὶ τοῖς οἰκονομήμασι τὰ καθ' ἡμᾶς Πατράσιν ἀκολουθητέον· ὑφορῶμαι γὰρ μή ποτε, ὡς βουλόμεθα ὀκνηροὺς αὐτοὺς περὶ τὸ βαπτίζειν ποιῆσαι, ἐμποδίσωμεν τοῖς σωζομένοις διὰ τὸ τῆς προτάσεως αὐστηρόν· εἰ δὲ ἐκεῖνοι φυλάσσουσι τὸ ἡμέτερον βάπτισμα, τοῦτο ἡμᾶς δυσωπείτω· οὐ γὰρ ἀντιδιδόναι αὐτῆς ὑπεύθυνοι χάριν ἐσμὲν, ἀλλὰ δουλεύειν ἀκριβείᾳ κανόνων· παντὶ δὲ λόγῳ τυπωθήτω τοὺς ἀπὸ τοῦ βαπτισμοῦ ἐκείνων προσερχομένους, χρίεσθαι ἐπὶ τῶν πιστῶν δηλονότι, καὶ οὕτως προσιέναι τοῖς μυστηρίοις. Οἶδα τὲ ὅτι τοὺς ἀδελφοὺς τοὺς περὶ Ἰζόην καὶ Σατορνῖνον, ἀπ' ἐκείνης ὄντας τῆς τάξεως, προσεδεξάμεθα εἰς τὴν τάξιν καὶ καθέδραν τῶν ἐπισκόπων· ὥστε τοὺς τῷ τάγματι ἐκείνων συνημμένους, οὐκέτι δυνάμεθα διακρίνειν ἀπὸ τῆς Ἐκκλησίας, οἷον κανόνα τινὰ τῆς πρὸς αὐτοὺς κοινωνίας ἐκθέμενοι, διὰ τῆς τῶν ἐπισκόπων παραδοχῆς.

ΚΕΦΑΛ. Β'. — Τί ἐστιν αἱρετικός.
Συνόδου Κωνσταντινουπόλεως κανὼν ς'.

ς'. Ἐπειδὴ πολλοὶ τὴν ἐκκλησιαστικὴν εὐταξίαν, κ. τ. λ.

Digitized by Google Распознавание текста ABK/FR

Ἡ α διάτ. τοῦ α' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. A φησὶν, ὡς, Ὁ μὴ δοξάζων τὴν ἁγίαν Τριάδα ἐν μιᾷ θεότητι ἰσοδύναμον, οὔτε Χριστιανὸς λέγεται, ἀλλ' ἄφρων ἐστὶ καὶ αἱρετικὸς ἄτιμος καὶ τιμωρεῖται· καὶ τίτ. ε' τοῦ αὐτοῦ βιβλ., ὅτι, Αἱρετικός ἐστι καὶ τοῖς κατὰ αἱρετικῶν ὑπόκειται νόμοις, ὁ μικρὸν γοῦν ἐκκλίνων τῆς ὀρθοδόξου πίστεως· καὶ διάτ. ιβ' τοῦ αὐτοῦ τίτ., ὅτι, Αἱρετικός ἐστιν ὁ μὴ ὢν ὀρθόδοξος· ἡ δὲ α' διάτ. τοῦ γ' τιτ. τῶν Νεκρῶν, αἱρετικοὺς λέγει πάντας τοὺς μὴ ὄντας κοινωνικούς.

Ἐν πλάτει δὲ τὰ περὶ τῶν αἱρετικῶν ἀνήνεκται ἐν τῷ ε' τίτ. τοῦ κώδ., ἐν ᾧ κωλύονται ἔχειν προνόμια, ἢ διδάσκειν, ἢ ποιεῖν κληρικοὺς, ἢ λιτανεύειν δημοσίᾳ ἢ ἐν οἴκῳ· ἐπεὶ τινὸς τοιούτου γενομένου, ἡ τάξις τοῦ ἐπάρχου λίτρας δίδωσιν ρ'· αἱ δὲ ἐπιχώριοι ν'· καὶ ὅτι τὰ συνακτήρια αὐτῶν, ἡ ὀρθόδο- B ξος Ἐκκλησία λαμβάνει· καὶ ὅτι οἱ Μανιχαῖοι καὶ οἱ Δονατισταὶ ἐσχάτως τιμωροῦνται καὶ δημεύονται, καὶ οὔτε διατίθενται, ἢ ὑπωσοῦν συναλλάσσουσι, καὶ οὔτε ὑπὸ παίδων μὴ ὄντων ὀρθοδόξων κληρονομοῦνται, καὶ μετὰ θάνατον κατηγοροῦνται καὶ ἀκυροῦνται αἱ διαθῆκαι αὐτῶν· καὶ ὅτι τῶν πόλεων ἐκβάλλονται, καὶ ὅτι ταῖς Ἐκκλησίαις προσκυροῦνται οἱ οἶκοι ἐν οἷς αἱρετικοὶ γνώμῃ τῶν δεσποτῶν συνάγονται· καὶ ὅτι τῶν βουλευτικῶν ἢ ταξεωτικῶν λειτουργιῶν οὐκ ἀπολύονται· καὶ ὅτι οὐ ποιοῦσι μοναστήρια οὔτε στρατεύονται· καὶ πῶς τιμωροῦνται οἱ κατὰ τῶν ἁγίων συνόδων γράφοντες, ἢ ἔχοντες, ἢ ἀναγινωσκοντες αὐτά· καὶ ὅτι οὐ θάπτονται νομίμως· καὶ ὅτι οὐ γίνονται ἀξιωματικοὶ, ἢ συνήγοροι, ἢ ἔκδικοι, ἢ πατέρες πόλεων, γίνονται καὶ κορτελῖνοι· καὶ πῶς ἀναγκάζονται τοὺς πατέρας ὀρθοδόξους ὄντας C τρέφειν, καὶ γράφειν κληρονόμους, καὶ διδόναι αὐτοῖς προῖκα, καὶ πρὸ γάμου δωρεάς· καὶ ὅτι τῶν γονέων ἀμφισβητούντων, ἐπικρατέστερός ἐστιν ὁ θέλων τῇ ὀρθοδοξίᾳ τοὺς παῖδας προσαγαγεῖν, καὶ ὅτι οἱ ὀρθόδοξοι παῖδες πλημμελοῦντες εἰς αἱρετικοὺς γονεῖς τιμωροῦνται· καὶ ὅτι οὔτε βαπτίζουσιν οἱ αἱρετικοὶ, οὔτε φροντίζουσιν ἢ διοικοῦσι χωρία δι' ἑαυτῶν ἢ παρενθέτων, οὔτε παιδεύουσιν, οὔτε κληρονομοῦσιν, οὔτε πραγματεύονται ἐντὸς ἱερῶν περιβόλων· καὶ ὅτι ἐν δικαστηρίῳ οὐ κατημαρτυροῦσιν ὀρθοδόξου, εἰ μὴ εἰς βουλευτήριον ὀρθόδοξος ἔλκοιτο· ὡς διάτ. β' τοῦ η' τίτ. τῶν Νεκρῶν, ἔστι δὲ ἀριθμοῦ τῶν ὅλων μβ'· ἐν δὲ τελευταίαις βουλήσεσι καὶ συμβουλίαις μαρτυροῦσιν. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ η' κεφ. τοῦ ι' τίτ. τοῦ παρόντος συντάγματος· περὶ δὲ Ἰουδαίων διαλαμβάνει ὁ θ' τίτ. τοῦ α' D βιβλ. τοῦ Κώδ. ἐν ᾧ καὶ τὰς συναγωγὰς αὐτῶν λέγει μὴ μιτατεύεσθαι, μήτε αὐτοὺς ἐν τοῖς Σάββασιν ἢ ἐν ταῖς ἑορταῖς αὐτῶν σωματικῶς λειτουργεῖν· οὔτε ἐνάγονται, οὔτε παρὰ τῶν Χριστιανῶν ἐπηρεάζονται, οὔτε γαμοῦσι Χριστιανὰς, καὶ ὅτι αὐτοὶ τὰ ἴδια ἀγορανομοῦσι, καὶ ὅτι ἐπὶ τῶν γάμων οὐ φυλάττουσι τὸν νόμον αὐτῶν, καὶ ὅτι ἐπὶ μόνοις χρηματικοῖς δικαστὰς Ἰουδαίους αἱρεῖσθαι δύνανται· καὶ ὅτι τὸν στεφανητικὸν κανόνα οἱ ἔξαρχοι αὐτῶν ἰδιοκινδύνως εἰσάγουσι ταῖς λαργιτιόσι, καὶ ὅτι οὐδὲν αὐτοὺς δεῖ τολμᾷν κατὰ Χριστιανῶν.

Textus. Const. 1, tit. 1. lib. cod. ait: Qui sanctam Trinitatem in una deitate pari potestate præditam non credit, Christianus non dicitur, sed vesanus, hæreticus, et infamis est, ac punitur. Et tit. 5 ejusdem libri, const. 2. 383 Hæreticus est, ac latis adversus hæreticos legibus succumbit, qui vel paululum ab orthodoxa declinat fide. Et const. 12 ejusdem tit., Hæreticus est qui non est orthodoxus. Const. 1, tit. 1 Novellarum hæreticos dicit, qui communicare non possunt.

Textus. Porro quæ de hæreticis [dici debeant] in tit. 5, lib. 1 cod. prolixe relata sunt, ubi privilegium habere, docere, clericos creare, et publice vel in ædibus supplicationes facere prohibentur. Alioqui officium præfecti [prætorio] centum libras [auri]: provinciales vero [officiales] quinquaginta dant: si [ipsorum permissu] tale quidpiam factum sit. [Habetur ibidem]. quod ipsorum congregationis loca orthodoxa Ecclesia capiat. Item, quod Manichæi et Donatistæ ultimo supplicio afficiantur, [bona ipsorum] publicentur, testamentum non faciant, nullo modo contrahant, liberos si orthodoxi non sint hæredes non habeant, post mortem accusentur, et ipsorum testamenta irrita sint: quod [insuper] ab urbibus ejiciantur: quod ædes in quibus hæretici consensu domini congregantur, Ecclesiis applicentur. Item, quod a curialium aut cohortalium officiis non liberentur. Item, quod non construant monasteria, neque militent. Item, quomodo qui adversus sacrosancta concilia scribunt, aut [talia scripta] habent vel legunt, puniantur. Item, quod legitime sepeliantur. Item, quod honores non consequantur, neque patroni causarum aut defensores, aut civitatum patres, sed viles et abjecti fiant. Item quomodo liberos orthodoxos alere ac hæredes scribere, ipsisque dotem et donationem propter nuptias dare compellantur Item, quod [ex] parentibus [inter se] contendentibus is prævaleat, qui liberos ad orthodoxam fidem adducere vult. Item, quod liberi orthodoxi, si quid in parentes hæreticos delinquant, puniantur. Item quod hæretici non baptizent, neque per se vel inter 384 positas [personas] regiones curent aut administrent, neque doceant, neque hæredes fiant, neque intra sacra septa negocientur. Item, quod in judicio adversus orthodoxum testimonium non dicant, nisi si in curiam orthodoxus protrahatur: ut const. 2, tit. 8 Novellarum, quæ in [Novellarum] corpore 42 est, [tradit.] In ultimis autem voluntatibus et contractibus testes sint. Lege quæ adnotata sunt in cap. 8, tit. 10 præsentis operis. Cæterum de Judæis tit. 9, lib. 1 cod. tractat, in quo dicitur, Synagogas ipsorum hospitii immunitatem habere, neque ipsos in Sabbatis aut festis suis corporaliter operari, neque in jus vocari, neque a Christianis vexari. [Item, quod Judæi mulieres] Christianas in matrimonium non accipiant. Item, quod ipsi rerum suarum pretia statuant. Item, quod in pecuniariis [causis] duntaxat privatos judices eligere possint. Item, quod

Digitized by Google Распознавание текста ABKAER

primates ipsorum suo periculo auri coronarii canonem largitionibus inferant. Item, quod adversum Christianos nihil illos audere oporteat.

CAP. III. — *De libris hæreticorum.*

Apostolorum canon 60.

60 [59.] Si quis falso inscriptos, etc., *ut pag.* 590.

Concilii Nicæni II *canon* 9.

Quod non oporteat libros hæreticorum celare.

69. Puerilia omnia ludibria, furiosaque ac insana dicta et scripta, quæ adversus sanctas imagines edita sunt, oportet dari episcopo Constantinopolitano, 388 ut cum reliquis libris hæreticis reponantur. Si quis autem hæc celare inventus fuerit, si sit quidem episcopus, vel presbyter, vel diaconus, deponatur : sin autem laicus vel monachus, segregetur.

Textus. Const. 3, tit. 1, lib. I, cod. ait : Porphyrii aliorumque hæreticorum adversus Christianos libri comburuntor. [Sic] Nestorii etiam, et quicunque Nicæno Ephesinoque ; conciliis, et Cyrillo [episcopos] Alexandrino, quorum fidem excedere non licet, non consonant. Qui vero dictos libros habent et legunt, ultimo supplicio afficiuntur. Titr 4, constit. 10 : Qui mathematici coram episcopis libros suos non concremant, neque ad orthodoxam fidem accedunt, omnibus pelluntur civitatibus; inventi deportantur. Tit. 5, const. 5 : Quæ Nestorius adversus concilium Ephesinum scripsit nemini habere, aut describere licet, sed comburi [debent.] Cum autem de fide disputatur, non est illorum mentio facienda: neque [item] ullo privato sunt suscipienda loco. Qui legem transgreditur, [ejus substantia] publicatur, Porro Nestoriani non Christiani vocantur, sed Nestoriani, quemadmodum Ariani, Porphyriani. Const. 8 : Nulli licet contra Chalcedonensem synodum scribere, legere, dictare, aut libros habere : alioqui in perpetuum deportatur. Qui [aliquem illorum] discendi causa adit, fisco decem libras [auri] dat. Qui vero vetita docet, supremo afficitur supplicio. Ad hæc omnes Eutychetis atque Apollinaris libri concremantor. Quod si [provinciarum] moderatores, eorumque apparitores, et [civitatum] defensores non observaverint, in denas libras [auri] fisco multantur. Constit. 16 : Qui Manichæorum libros habet, neque in propatulum profert ut concrementur, punitur. Et const. 5, tit. 1 Novellarum, eos qui Severi scripta habent, 386 nec comburunt, manibus mutilari jubet. Dicit vero etiam lib. x, tit. 2, digest. 4 : Inter hæredes non dividuntur reperti in hæreditate magici libri, sed arbitrio judicis corrumpuntur. Constit. 5, tit. 3 Novellarum permittit Judæis ut in Synagogis suis Græce aliisque linguis pro locorum [ratione] Scripturas legant : [idque] secundum Septuaginta et Aquilæ interpretationem. Qui vero hanc lectionem prohibet, publicatis [bonis] exterminatur.

A ΚΕΦΑΛ. Γ'. — Περὶ βιβλίων αἱρετικῶν.

Ἀποστόλων κανὼν ξ'.

ξ'. Εἴ τις τὰ ψευδεπίγραφα, κ. τ. λ.

Συνόδου Νικαίας τὸ β', κανὼν θ'.

Περὶ τοῦ μὴ κρύπτειν τινὰ τῆς χριστιανοκατηγορικῆς αἱρέσεως βιβλίον.

ξθ'. Πάντα τὰ μειρακιώδη ἀθύρματα, καὶ μανιώδη βακχεύματα τὰ ψευδοσυγγράμματα τὰ κατὰ τῶν σεπτῶν εἰκόνων γενόμενα, δέον δοθῆναι ἐν τῷ ἐπισκοπείῳ Κωνσταντινουπόλεως, ἵνα ἀποτεθῶσι μετὰ τῶν λοιπῶν αἱρετικῶν βιβλίων · εἰ δέ τις εὑρεθείη ταῦτα κρύπτων, εἰ μὲν ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος εἴη, καθαιρείσθω · εἰ δὲ λαϊκὸς ἢ μοναχὸς, ἀφοριζέσθω.

B Ἡ γ' διάτ. τοῦ α' τίτ. τοῦ α' βιβλ. τοῦ κῶδ. φησιν · Τὰ κατὰ Χριστιανῶν Πορφυρίου καὶ ἄλλων συγγράμματα καιέσθωσαν, καὶ τὰ Νεστορίου, καὶ ὅσα μὴ, συμφωνεῖ ταῖς ἐν Νικαίᾳ καὶ Ἐφέσῳ συνόδοις, καὶ Κυρίλλῳ τῷ Ἀλεξανδρείας, ὧν οὐκ ἔξεστι παρεξιέναι τὴν πίστιν · οἱ δὲ τὰ λεχθέντα βιβλία ἔχοντες καὶ ἀναγινώσκοντες, ἰσχάτως τιμωροῦνται. Τίτ. δ' διάτ. ι' · Οἱ μαθηματικοὶ μὴ καίοντες ἐπὶ τῶν ἐπισκόπων τὰς βίβλους αὐτῶν, καὶ τῇ ὀρθοδοξίᾳ προσιόντες πάσης ἀπωθοῦνται πόλεως · εὑρισκόμενοι δὲ ἐν πόλεσι, δεπορτατεύονται. Τίτ. ε' διάτ. ς' · Τὰ γραφέντα Νεστορίῳ κατὰ τῆς ἐν Ἐφέσῳ συνόδου οὐκ ἔξεστιν ἔχειν, ἢ ἀναγινώσκειν, ἢ μεταγράφεσθαι, ἀλλὰ καίονται · ἐν τῷ ζητεῖν αὐτῶν περὶ πίστεως, οὐ δεῖ αὐτῶν μεμνῆσθαι · οὔτε δεῖ αὐτοὺς ἐν οἱωδήC ποτε ἰδίῳ τόπῳ δέχεσθαι · ὁ δὲ παραβαίνων τὸν νόμον, δημεύεται · οὐ λέγονται δὲ οἱ Νεστοριανοὶ Χριστιανοὶ, ἀλλὰ Συμωνιανοί · ὥσπερ οἱ Ἀρειανοὶ, Πορφυριανοί. Διάτ. η'. Οὐδενὶ ἔξεστι κατὰ τῆς ἐν Χαλκηδόνι συνόδου γράφειν ἢ ἀναγινώσκειν ἢ ὑπαγορεύειν ἢ ἔχειν γράμματα, ἐπεὶ διηνεκῶς δεπορτατεύεται · καὶ ὁ προσελθὼν ἐπὶ τῷ μαθεῖν, ι' λίτρας δίδωσι τῷ φίσκῳ · καὶ ὁ διδάσκων τὰ κεκωλυμένα, ἰσχάτως τιμωρεῖται · πάντα δὲ τὰ συγγράμματα Εὐτυχοῦς καὶ Ἀπολιναρίου, καίεσθωσαν · εἰ δὲ ταῦτα παρίδωσιν οἱ ἄρχοντες, ἢ αἱ τάξεις αὐτῶν, ἢ οἱ ἔκδικοι, ἀπὸ δέκα λιτρῶν τῷ φίσκῳ προστιμῶνται. Διάτ. ις' · Ὁ ἔχων βιβλία Μανιχαϊκὰ, καὶ μὴ φανερῶν αὐτὰ ἐπὶ τῷ καυθῆναι, τιμωρεῖται. Καὶ ἡ ε' διάτ. τοῦ α' τίτ. τῶν Νεαρῶν κελεύει τοὺς ἔχοντας τὰ D Σεβήρου συγγράμματα καὶ μὴ καίοντας αὐτὰ, χειροκοπεῖσθαι. Λέγει δὲ καὶ βιβλ. ι' τίτ. β', διάτ. δ', ὅτι. Οὐ διαιροῦνται μεταξὺ τῶν κληρονόμων τὰ ἐν τῇ κληρονομίᾳ εὑρεθέντα μαγικὰ βιβλία, ἀλλὰ δοκιμασίᾳ τοῦ δικαστοῦ φθείρονται. Ἡ δὲ ε' διάτ. τοῦ γ' τίτ. τῶν Νεαρῶν ἐπιτρέπει τοῖς Ἰουδαίοις ἐν ταῖς Συναγωγαῖς αὐτῶν καὶ Ἑλληνιστὶ καὶ ταῖς ἄλλαις διαλέκτοις πρὸς τοὺς τόπους τὰς Γραφὰς ἀναγινώσκειν, κατὰ τὰν τῶν Ο' καὶ τὴν Ἀκύλα παράδοσιν · ὁ δὲ τὴν τοιαύτην κωλύων ἀνάγνωσιν, δημεύεται καὶ ἐξορίζεται.

Digitized by Google Распознавание текста ABK/FR

ΚΕΦΑΛ. Δ'. Περὶ καθαιρέσεως ξοάνων. A

Συνόδου Καρθαγέννης κανὼν νη', πδ'.

Περὶ τῶν ἐγκαταλειμμάτων τῶν εἰδώλων, καὶ ναῶν τῶν ὀφειλόντων ἐξαλειφθῆναι, ὧν χάριν αἰτῆσαι δεῖ τοὺς θρησκευτικωτάτους βασιλεῖς.

νη'. Ὥστε τὰ ἐγκαταλείμματα τῶν εἰδώλων τὰ κατὰ πᾶσαν τὴν Ἀφρικὴν, κελεῦσαι παντελῶς ἀνακοπῆναι· καὶ γὰρ ἐν πολλοῖς τόποις παραθαλασσίοις καὶ διαφόροις κτήσεσιν, ἀκμάζει ἔτι τῆς πλάνης ταύτης ἡ ἀδικία· ἵνα παραγγελθῶσι καὶ αὐτὰ ἀπαλειφθῆναι, καὶ οἱ ναοὶ αὐτῶν οἱ ἐν τοῖς ἀγροῖς καὶ ἐν ἀποκεκρυμμένοις τόποις, χωρὶς τινος εὐκοσμίας καθεστῶτες, παντὶ τρόπῳ κελευσθῶσι καταστραφῆναι.

Περὶ τοῦ τὰ λείψανα τῶν εἰδώλων ἐκριζωθῆναι. B

πδ'. Ὁμοίως ἤρεσεν αἰτηθῆναι ἀπὸ τῶν ἐνδοξοτάτων βασιλέων, ἵνα τὰ λείψανα τῆς εἰδωλολατρείας μὴ μόνον τὰ ἐν ξοάνοις, ἀλλὰ καὶ ἐν οἱοισδήποτε τόποις, ἢ ἄλσεσιν, ἢ δένδροις, παντὶ τρόπῳ ἐξαλειφθῶσιν.

Ἡ α' διάτ. τοῦ ια' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. κελεύει τὰ ἱερὰ κλείεσθαι.

ΚΕΦΑΛ. Ε'. — Περὶ Νεστορίου, Μουσαίου, Εὐτυχιανοῦ, Μαξίμου, Πορφυρίου, καὶ τῶν ὑπ' αὐτῶν καταστάντων αἱρετικῶν, ἢ ὀρθοδόξων ἐκβληθέντων.

Συνόδου Κωνσταντινουπόλεως κανὼν δ'.

δ'. Περὶ Μαξίμου τοῦ κυνικοῦ καὶ τῆς κατ' αὐτὸν ἀταξίας, τῆς ἐν Κωνσταντινουπόλει γενομένης· ὥστε μήτε Μάξιμον ἐπίσκοπον ἢ γενέσθαι ἢ εἶναι, C μηδὲ τοὺς παρ' αὐτοῦ χειροτονηθέντας ἐν οἱῳδήποτε βαθμῷ κλήρου, πάντων καὶ τῶν περὶ αὐτὸν καὶ τὸν παρ' αὐτοῦ γενομένων ἀκυρωθέντων.

Συνόδου Ἐφέσου κανὼν α', β', γ', δ', ε'.

α'. Ἐπειδὴ δὲ ἐχρῆν καὶ τοὺς ἀπολειφθέντας τῆς ἁγίας συνόδου, καὶ μείναντας κατὰ χώραν ἢ πόλιν, διά τινα αἰτίαν ἐκκλησιαστικὴν ἢ σωματικὴν, μὴ ἀγνοῆσαι τὰ περὶ αὐτῶν τετυπωμένα, γνωρίζομεν τῇ ὑμετέρᾳ ἁγιότητι τε καὶ ἀγάπῃ, ὅτιπερ εἴτε ὁ μητροπολίτης τῆς ἐπαρχίας ἀποστατήσας τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, προσέθετο τῷ τῆς ἀποστασίας συνεδρίῳ, ἢ μετὰ τοῦτο προστεθείη, ἢ τὰ Κελεστίνου ἐφρόνησεν ἢ φρονῇ, οὗτος κατὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων διαπράττεσθαί τι οὐδαμῶς δύναται, πάσης ἐκκλησιαστικῆς κοινωνίας ἐντεῦθεν ἤδη ὑπὸ τῆς D συνόδου ἐκβεβλημένος, καὶ ἀνενέργητος ὑπάρχων· ἀλλὰ καὶ αὐτοὶ τοῖς τῆς ἐπαρχίας ἐπισκόποις, καὶ τοῖς πέριξ μητροπολίταις, τοῖς τὰ τῆς ὀρθοδοξίας φρονοῦσιν, ὑποκείσεται εἰς τὸ πάντη καὶ τοῦ βαθμοῦ τῆς ἐπισκοπῆς ἐκβληθῆναι.

β'. Εἰ δέ τινες ἐπαρχιῶται ἐπίσκοποι, κ. τ. λ.

γ'. Εἰ δέ τινες καὶ τῶν ἐν ἑκάστῃ πόλει ἢ χώρᾳ κληρικῶν, ὑπὸ Νεστορίου καὶ τῶν σὺν αὐτῷ ὄντων

CAP. IV. — *De destruendis idolis seu delubris. Concilii Carthaginensis canones* 58, 84.

De reliquiis idolorum, et templis abolendis, quorum causa imperatores piissimi sunt precibus adeundi.

58. Instant [94] etiam aliæ necessitates religiosis imperatoribus postulandæ, ut reliquias idolorum per omnem Africam jubeant penitus amputari; nam plerisque in locis maritimis, atque possessionibus diversis adhuc erroris istius iniquitas viget: ut præcipiantur et ipsas deleri, et templa eorum quæ in agris, vel in locis abditis constituta nullo ornamento sunt, jubeantur omnimodo destrui.

De idolorum reliquiis exstirpandis.

84. Item placuit [95] etiam ab imperatoribus gloriosissimis peti, ut reliquiæ idololatriæ non solum in simulacris, sed in quibuscunque lucis, vel lucis, vel arboribus omni modo deleantur.

387 Constitutio 1, tit. 2, lib. 1 Cod. jubet ut templa claudantur.

CAP. V. — *De Nestorio, Musæo, Eutychiano Maximo, Porphyrio et de hæreticis ex horum fonte derivatis et de orthodoxis expulsis.*

Concilii Constantinopolitani canon. 4.

4. Statuerunt etiam de Maximo Cynico, et ejus petulantia et insolentia, quæ fuit Constantinopoli, ut Maximus episcopus nec fuerit vel sit, nec qui ab eo ordinati fuerunt in ullo, quicunque is sit, gradu cleri omnibus, et quæ circa ipsum fuerunt, et quæ ab illo facta sunt, infirmatis.

Concilii Ephesini canones 1, 2, 3, 4, 5.

1. Quoniam autem (28) oportebat et absentes a sancta synodo, morantesque in urbibus et provinciis ob aliquod impedimentum, sive ecclesiasticum sive corporeum, non ignorare, quæ de ipsis sunt constituta; significamus sanctitati vestræ ac dilectioni ut, si quispiam metropolita provinciæ, derelicta sancta et œcumenica synodo, aut accedet in posterum, sive cum Cœlestio sensit, aut sentiet, ipse nihil amplius poterit agere adversus provinciæ episcopos, ut qui jam inde a synodo totius ecclesiasticæ communionis expers sit factus, et prorsus inutilis [ad functiones inhabilis]; sed et ipsis episcopis illius provinciæ circumque vicinis metropolitis recta sentientibus subjacebit. ut omnino dejectus sit a sede [etiam a gradu] episcopatus.

2. Si qui autem provinciales, etc., *ut pag.* 750.

3883. Si qui vero clerici in singulis urbibus, au regionibus a Nestorio et cum eo conspirantibus,

94 Conc. Afric. c. 25. 95 Conc. v, cap. 15; Afric. cap. 51.

(23) Versionem aliam Laurentii Sifani exhibent Crabbus, Surius, aliique.

Digitized by Google Распознавание текста ABK/FR

sacerdotio prohibiti sunt, quod recte sentirent; justum putavimus hos quoque proprium gradum recipere. In summa autem clericos orthodoxæ et œcumenicæ synodo consentientes jubemus, eis, qui defecerunt, aut defecturi sunt, episcopis nullo pacto aut ratione subjectos esse debere.

4. Si qui autem clericorum defecerint, et ausi fuerint vel privatim, vel publice, quæ sunt Nestorii aut Celestii sapere, sancitum est a sancta synodo, istos quoque depositos esse.

5. Quicunque autem ob turpia gesta sunt a synodo condemnati, vel a propriis eorum episcopis, quibus præter canones Nestorius, qui nullum rerum discrimen habebat, et qui cum illo eadem sentiunt, restituere conati sunt gradum vel communionem, aut conabuntur; istos censuimus nihil profecisse, et manere et esse nihilominus depositos.

Concilii Sardicensis canon 19.

19. Osius episcopus dixit: Meæ mediocritatis hæc est sententia; quia quieti et patientes esse debemus, et perennem in omnes habere misericordiam, eos qui semel in clerum ecclesiasticum ab aliquibus fratribus nostris promoti sunt, si nolint redire ad eas ad quas nominati sunt Ecclesias, deinceps non admitti: Eutychianum **389** autem ne episcopi quidem sibi nomen usurpare; sed neque Musæum ut episcopum existimari: si autem laicam communionem petiverint: non oportere eis denegari. Omnes dixerunt: Placet.

CAP. VI. *Ne fiat sacra oblatio præsente hæretico.*

Timothei canon 9.

Interrogatio. 9. An debet clericus, præsentibus, etc., *ut pag.* 611.

CAP. VII. — *De clericis hæreticis, qui ad orthodoxæ Ecclesiæ gremium accedunt.*

Concilii Carthaginensis canones 57, 68.

Ut parvuli apud Donatistas baptizati, in catholica Ecclesia clerici ordinentur.

57. Unde [96] quoniam superiori (29) concilio statutum esse mecum recognoscit unanimitas vestra, ut hi qui apud Donatistas parvuli baptizati sunt, nondum scire valentes erroris eorum interitum: et posteaquam ad ætatem rationis capacem pervenerunt, agnita veritate falsitatem eorum abhorrentes, ad Ecclesiam Dei catholicam per universum mundum diffusam, ordine antiquo, per manus impositionem recepti sunt, debere talibus suscipiendum munus clericatus non impedire nomen erroris, cum veram Ecclesiam illorum putaverint, ad fidem accedendo, et ibi Christo crediderint, et Trinitatis sacramenta perceperint; quæ omnia vera et sancta

[96] Conc. Afric. c. 24.

(29) Conc. nimirum Carthag. III, can. 48.

τῆς ἱερωσύνης ἐκωλύθησαν διὰ τὸ ὀρθῶς φρονεῖν, ἐδικαιώσαμεν καὶ τούτους τὸν ἴδιον ἀπολαβεῖν βαθμόν· κοινῶς δὲ τῇ ὀρθοδόξῳ καὶ οἰκουμενικῇ συνόδῳ συμφρονοῦντας κληρικοὺς κελεύομεν τοῖς ἀποστατήσασιν ἢ ἀφισταμένοις ἐπισκόποις μηδόλως ὑποκεῖσθαι κατὰ μηδένα τρόπον.

δ'. Εἰ δέ τινες ὑποστατήσαιεν τῶν κληρικῶν, καὶ τολμήσαιεν, ἢ κατ' ἰδίαν ἢ δημοσίᾳ, τὰ Νεστορίου ἢ τὰ Κελεστίνου φρονῆσαι, καὶ τούτους εἶναι καθηρημένους, ὑπὸ τῆς ἁγίας συνόδου δεδικαίωται.

ε'. Ὅσοι δὲ ἐπὶ ἀτόποις πράξεσι κατεκρίθησαν ὑπὸ τῆς ἁγίας συνόδου, ἢ ὑπὸ τῶν οἰκείων ἐπισκόπων, καὶ τούτοις ἀκανονίστως κατὰ τὴν ἐν ἅπασιν ἀδικφορίαν αὐτοῦ ὁ Νεστόριος, ἢ οἱ τὰ αὐτοῦ φρονοῦντες, ἀποδοῦναι ἢ ἐπειράθησαν ἢ πειραθεῖεν κοινωνίαν ἢ βαθμόν, ἀνωφελήτους μένειν καὶ τούτους, καὶ εἶναι οὐδὲν ἧττον καθηρημένους ἐδικαιώσαμεν.

Συνόδου Σαρδικῆς κανὼν ιθ'.

ιθ'. Ὅσιος ἐπίσκοπος εἶπε· Τῆς ἐμῆς μετριότητος ἡ ἀπόφασίς ἐστιν αὕτη· ἐπειδὴ ἥσυχοι καὶ ὑπομονητικοὶ ὀφείλομεν εἶναι, καὶ διαρκῆ τὸν πρὸς πάντας ἔχειν οἶκτον, ἅπαξ τούτους τοὺς εἰς κλῆρον ἐκκλησιαστικὸν παραχθέντας ὑπό τινων ἀδελφῶν ἡμῶν, ἐὰν μὴ βούλοιντο ἐπανέρχεσθαι εἰς ἃς κατωνομάσθησαν Ἐκκλησίας, τοῦ λοιποῦ μὴ ὑποδέχεσθαι· Εὐτυχιανὸν δὲ, μήτε ἐπισκόπου ἑαυτῷ διεκδικεῖν ὄνομα· ἀλλ' οὐδὲ Μουσαῖον ὡς ἐπίσκοπον ὀνομάζεσθαι· εἰ δὲ λαϊκὴν κοινωνίαν ἀπαιτοῖεν, μὴ χρῆναι αὐτοὺς ἀρνεῖσθαι. Πάντες εἶπον· Ἀρέσκει.

ΚΕΦΑΛ. ς'. — Περὶ τοῦ μὴ ὀφείλειν ἀναφορὰν γίνεσθαι παρόντος αἱρετικοῦ.

Τιμοθέου κανὼν θ'.

Ἐρώτησις θ'. Εἰ ὀφείλει κληρικὸς εὔχεσθαι παρόντων Ἀρειανῶν, κ. τ. λ.

ΚΕΦΑΛ. ζ'. Περὶ κληρικῶν αἱρετικῶν τῇ ὀρθοδόξῳ προσιόντων Ἐκκλησίᾳ.

Συνόδου Καρθαγέννης κανὼν νζ', ξη'.

Ὥστε τοὺς μικροὺς παρὰ τοῖς Δονατισταῖς βαπτιζομένους, ἐν τῇ καθολικῇ κληρικοὺς χειροτονεῖσθαι.

νζ'. Διὸ ἐπειδὴ ἐν τῇ ἀνωτέρῳ συνόδῳ ὁρισθὲν μέμνηται ἅμα ἐμοὶ ἡ ὑμετέρα ὁμοψυχία, ὥστε τοὺς παρὰ τοῖς Δονατισταῖς μικροὺς βαπτιζομένους, καὶ μηδέπω δυναμένους γινώσκειν τῆς πλάνης αὐτῶν τὸν ὄλεθρον, μετὰ τὸ εἰς κεῖραν λογισμοῦ δεκτικὴν παραγενέσθαι, ἐπιγνωσθείσης τῆς ἀληθείας, τὴν φυλότητα ἐκείνων βδελυττομένους, πρὸς τὴν καθολικὴν τοῦ Θεοῦ Ἐκκλησίαν, τὴν ἀνὰ πάντα τὸν κόσμον διακεχυμένην, τάξει ἀρχαίᾳ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν ἀναδεχθῆναι τοὺς τοιούτους, καὶ ἐκ τοῦ τῆς πλάνης ὀνόματος μὴ ὀφείλειν ἐμποδίζεσθαι εἰς τάξιν κληρώσεως, ὁπόταν τὴν ἀληθινὴν Ἐκκλησίαν ἰδίαν ἑαυτῶν ἐλογίσαντο πίστει προσερχόμενοι,

Digitized by Google Распознавание текста ABK/FR

καὶ ἐν αὐτῇ τῷ Χριστῷ πιστεύσαντες, τῆς Τριάδος τὰ ἁγιάσματα ὑπεδέξαντο· ἅτινα πάντα εὐσεβῆ καὶ ἅγια καὶ θεῖα εἶναι δῆλόν ἐστι, καὶ ἐν τούτοις πᾶσαν τὴν τῆς ψυχῆς ἐλπίδα ὑπάρχειν· κἂν εἰ τὰ μάλιστα οὖν καὶ ἡ τῶν αἱρετικῶν προληφθεῖσα τόλμα, τῷ ὀνόματι τῆς ἀληθείας ἐναντιούμενά τινα παραδιδόναι προπετεύεται, ταῦτα ἐπειδὴ ἁπλᾶ εἰσιν, ὡς διδάσκει ὁ ἅγιος Ἀπόστολος λέγων· Εἷς Θεὸς, μία πίστις, ἓν βάπτισμα, καὶ ὀφεῖλον προσάπαξ δίδοσθαι, ἐπαναληφθῆναι οὐκ ἔξεστιν, ἀναθεματιζομένου τοῦ τῆς πλάνης ὀνόματος, διὰ τῆς ἐπιθέσεως τῆς χειρὸς ἀναδεχθῶσιν εἰς τὴν μίαν Ἐκκλησίαν, τὴν, ὡς εἴρηται, περιστερὰν καὶ μόνην μητέρα τῶν Χριστιανῶν· ἐν ᾗ πάντα τὰ ἁγιάσματα σωτηριωδῶς αἰώνια καὶ ζωτικὰ παραλαμβάνονται, ἅτινα τοῖς ἐπιμένουσιν ἐν τῇ αἱρέσει, μεγάλην τῆς καταδίκης τὴν τιμωρίαν πορίζουσιν· ἵνα ὅπερ ἦν αὐτοῖς ἐν τῇ ἀληθείᾳ πρὸς τὴν αἰωνίαν ζωὴν ἀκολουθητέον φωτεινότερον, τοῦτο γένηται αὐτοῖς ἐν τῇ πλάνῃ σκοτεινότερον, καὶ πλέον καταδεδικασμένον· ὅπερ τινὲς ἔφυγον, καὶ τῆς Ἐκκλησίας τῆς καθολικῆς μητρὸς τὰ εὐθύτατα ἐπιγνόντες, πάντα ἐκεῖνα τὰ ἅγια μυστήρια, φίλτρῳ τῆς ἀληθείας ἐπίστευσαν καὶ ὑποδέξαντο· τοῖς οὖν τοιούτοις, ὅταν δοκιμὴ χρηστοῦ βίου προσέλθοι, ἀναμφιβόλως καὶ κλῆρος πρὸς ὑπουργίαν τῶν ἁγίων προσκυρωθήσεται· καὶ μάλιστα ἐν τῇ τοσαύτῃ τῶν πραγμάτων ἀνάγκῃ, οὐδεὶς ἐστιν ὁ μὴ τοῦτο παραχωρῶν. Εἰ δέ τινες του αὐτοῦ δόγματος κληρικοὶ, μετὰ τοῦ πλήθους καὶ τῶν τιμῶν αὐτῶν πρὸς ἡμᾶς μετελθεῖν ποθήσουσιν, οἵτινες τῷ ἔρωτι τῆς τιμῆς συμβουλεύουσι πρὸς ζωὴν, καὶ κατέχουσι πρὸς σωτηρίαν, ἀλλὰ τοῦτο καταλειπτέον κρίνω τῇ μείζονι κατανοήσει, ψηφισομένων τῶν προλεχθέντων ἀδελφῶν, ἵνα τῇ συνετωτέρᾳ αὐτῶν βουλῇ τῆς ἡμετέρας ἀναφορᾶς τὸν λόγον διαγνῶσιν· καὶ ἡμᾶς βεβαιώσαι καταξιώσωσιν, εἰς τὸ ὀφεῖλον περὶ τούτου τοῦ πράγματος παρ' ἡμῶν τυπωθῆναι· μόνον δὲ περὶ τῶν ἐν νηπιότητι βαπτισθέντων, ἀρκούμεθα, ἵνα εἰ ἀρέσκει αὐτοῖς, τῇ ἡμετέρᾳ συναινέσωσι προαιρέσει περὶ τοῦ χειροτονεῖσθαι τούτους· πάντα τοίνυν ἃ ἀνωτέρω συνηγάγομεν παρὰ τοῖς ἁγιωτάτοις ἐπισκόποις πρακτέα εἶναι δικαιοῖ ἅμα ἐμοὶ ἡ ἔντιμος ὑμῶν ἀδελφότης.

A atque divina **390** esse certissimum est, et in his omnem animæ spem constitutam. Quanquam et hæreticorum præsumpta audacia, veritatis nomine palliata, hæc tradere audeat, quæ quoniam simplicia sunt, ut præmonet beatus Apostolus dicendo: *Unus Deus, una fides, unum baptisma*[97]; et iterari non liceat, quod semel dari oportet, anathematizato nomine erroris recipiantur per manus impositionem in unam Ecclesiam, columbam, ut dictum est, et unam matrem omnium Christianorum, ubi omnia illa sacramenta salubriter, et æterna, et vitaliter accipiuntur: quæ perseverantibus in hæresi magnam damnationis pœnam conquirunt, ut quod est in veritate ad æternam vitam consequendam esset luminosius, hoc in errore sit tenebrosius atque B damnosius. Quod fugientes nonnulli, et matris Ecclesiæ ubera cognoscentes, qui illa omnia sancta mysteria amore veritatis crediderunt, atque perceperunt, quibus sacramentorum rebus cum vitæ bonæ probitas accesserit, sine dubio ad officium clericatus tales esse applicandos, et maxime in tanta rerum necessitate, nullus est qui non concedat. Quanquam nonnulli ejusdem sectæ clerici cum plebibus atque honoribus suis ad nos transire desiderent: qui amore honoris aut persuadent ad vitam, aut retinent ad salutem. Sed hoc majori fratrum supradictorum considerationi dimittendum censeo; ut prudentiori suo consilio nostræ suggestioni sermonem cum **391** perpenderint, quid de hac re eis placeat nos informare dignentur. Tantum de his qui infantes baptizati sunt, satagimus, C ut nostræ, si placet, in iisdem ordinandis consentiant voluntati. Omnia ergo quæ superius comprehendimus apud sanctos episcopos, agenda esse mecum honorabilis fraternitas vestra perpendat.

Περὶ τοῦ τοὺς κληρικοὺς τῶν Δονατιστῶν ἐν τῷ κλήρῳ τῆς καθολικῆς Ἐκκλησίας ἀναδέχεσθαι.

Ut clerici Donatistarum in Ecclesia catholica suscipiantur in clero.

ξη'. Ἐς ὕστερον ἤρεσεν, ἵνα γράμματα πεμφθῶσι πρὸς τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν, καὶ μάλιστα πρὸς τὴν ἀποστολικὴν καθέδραν, ἐν ᾗ προκάθηται ὁ μνημονευθεὶς προσκυνητὸς ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Ἀναστάσιος, ἐπειδὴ γινώσκει τὴν Ἀφρικὴν, μεγάλην ἔχειν ἀνάγκην· ὥστε διὰ τὴν τῆς Ἐκκλησίας εἰρήνην καὶ χρησιμότητα, καὶ αὐτῶν τῶν Δονατιστῶν οἵτινες δήποτε κληρικοὶ, διορθουμένης τῆς βουλῆς πρὸς τὴν καθολικὴν ἑνότητα μετελθεῖν θελήσαιεν, κατὰ τὴν ἑνὸς ἑκάστου καθολικοῦ ἐπισκόπου προαίρεσιν, καὶ βουλὴν τοῦ ἐν τῷ αὐτῷ τόπῳ κυβερνῶντος τὴν Ἐκκλησίαν, ἐὰν τοῦτο συμβάλλεσθαι τῇ τῶν Χριστιανῶν εἰρήνῃ φανείη, ἐν ταῖς ἰδίαις τιμαῖς αὐτοὺς ἀναδεχθῆναι· καθὼς καὶ ἐν τοῖς προλαβοῦσι χρόνοις περὶ τῆς αὐτῆς

68. Deinde placuit[98], ut litteræ mittantur ad fratres et coepiscopos nostros, et maxime ad sedem D apostolicam, in qua præsidet memoratus venerabilis frater et collega noster Anastasius, quo noverit habere Africam magnam necessitatem, propter Ecclesiæ pacem et utilitatem: ut et [forte ex] ipsis Donatistis, quicunque clerici correcto consilio ad catholicam unitatem transire voluerint, secundum uniuscujusque episcopi catholici voluntatem atque consilium, qui in eodem loco gubernat Ecclesiam: si hoc paci Christianæ prodesse visum fuerit, in suis honoribus suscipiantur, sicut prioribus ejusdem divisionis temporibus factum esse manifestum est. Quod multarum et pene omnium Africanarum Ecclesiarum, in quibus talis error exortus est,

97 Ephes. IV, 5. 98 Conc. Afric. c. 35.

Digitized by Google Распознавание текста ABK/FR

exempla testantur: non ut concilium quod in transmarinis partibus de hac re factum est, dissolvatur; sed ut illud maneat circa eos qui sic transire ad catholicam Ecclesiam volunt ut nulla per eos unitatis concisio procuretur. Per quos autem vel omni modo perfici, vel adjuvari **392** manifestis fraternarum animarum lucris catholica unitas in locis in quibus degunt, visa fuerit, non eis obsit, quod contra honores eorum, quamvis salus nulli intercluса sit, in transmarino concilio statutum est, id est, ut ordinati in parte Donati si ad catholicam correcti transire voluerint, non suscipiantur in honoribus suis secundum transmarinum concilium : sed exceptis his, per quos catholicæ unitati consulitur.

διαστάσεως γενέσθαι φανερόν ἐστιν· ὅπερ πολλῶν καὶ σχεδὸν πασῶν, τῶν ἐν τῇ Ἀφρικῇ Ἐκκλησιῶν, ἐν αἷς ἡ τοιαύτη πλάνη ἀνεφύη, τὰ παραδείγματα μαρτύρονται· οὐχ ἵνα ἡ σύνοδος ἡ ἐν τοῖς περιμτικοῖς μέρεσι περὶ τούτου τοῦ πράγματος γενομένη διαλυθῇ, ἀλλ' ἵνα ἐκεῖνο μείνῃ περὶ τοὺς οὕτως μετελθεῖν πρὸς τὴν καθολικὴν Ἐκκλησίαν βουλομένους· ὥστε μηδεμίαν ἐπὶ τούτων τῆς ἑνότητος συντομίαν περιεργάζεσθαι, δι' ὧν δὲ παντὶ τρόπῳ ἐκτελεσθῆναι, ἡ καθολικὴ ἑνότης φανερῶ κέρδει τῶν ἀδελφικῶν ψυχῶν φανείη, ἐν τοῖς τόποις οἷς διάγουσι μὴ ἐμποδίσῃς τούτοις τὸ ὁρισθὲν κατὰ τῶν τιμῶν αὐτῶν ἐν τῇ περιμτικῇ συνόδῳ· ὁπόταν τὸ σωθῆναι οὐδενὶ προσώπῳ ἀποκέκλειστται· τουτέστιν ἵνα οἱ χειροτονηθέντες ἐν τῷ τῶν Δονατιστῶν μέρει, ἐὰν πρὸς τὴν καθολικὴν σύνοδον μὴ δεχθῶσιν ἐν ταῖς οἰκείαις τιμαῖς ἀλλὰ μᾶλλον οὗτοι προσδεχθῶσι, δι' ὧν τῇ καθολικῇ ἑνότητι γίνεται πρόνοια.

Basilii canon 1.

1. Quod igitur ad Catharos pertinet, etc., *ut pag.* 866.

Pepuzeni ergo, etc., *ut pag.* 866.

Cathari sunt, etc., *ut pag.* 867.

Βασιλείου κανὼν α'.

α'. Τὸ μὲν οὖν περὶ τοὺς Καθαροὺς ζήτημα, κ. τ. λ.

Οἱ τοίνυν Πεπουζηνοί, κ. τ. λ.

Οἱ δὲ Καθαροί, κ. τ. λ.

Theophili ex commonitorio, cap. 1.

1. De iis qui Arianis communicaverunt et Ecclesias huc usque detinent, ut se habet consuetudo, fiat; ita tamen ut alii constituantur, qui in orthodoxia testificentur, et illi permaneant. His quoque ita dispensatis, ut aliis urbibus orthodoxi in Thebaide episcopi fecerunt, qui ab episcopo Apolline constituti, et qui cum Arianis Ecclesias habentibus communicantes, puniantur; si quidem ipsorum voluntate hoc fecerunt; sin autem proprio episcopo obedierunt, permaneant, etsi quod justum est non noverint. Et si omnes quidem populi eos cum aliis rejiciant, alii ordinentur; sin autem eos retinent cum illis quibus communicarunt, ii quoque eam consuetudinem experiantur, qua usi sunt omnes orthodoxi in Thebaide episcopi.

Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κεφ. α'.

α'. Περὶ τῶν κοινωνησάντων τοῖς Ἀρειανοῖς, καὶ μέχρι τοῦ νῦν τὰς Ἐκκλησίας κατεχόντων, ὡς ἴθει τὸ ἔθος γινέσθω· οὕτω μέντοι, ὥστε ἑτέρους κατασταθῆναι μαρτυρουμένους ἐν ὀρθοδοξίᾳ κἀκείνους ἀλίζεσθαι· οὕτως οἰκονομουμένων καὶ τούτων, ὥσπερ καὶ ἐν ταῖς ἄλλαις πόλεσι πεποιήκασιν οἱ ἐν Θηβαΐδι ὀρθόδοξοι ἐπίσκοποι, οἱ καταστάντες παρὰ Ἀπόλλωνος τοῦ ἐπισκόπου, καὶ κοινωνήσαντες τοῖς ἔχουσι τὰς Ἐκκλησίας Ἀρειανοῖς ἐπιτιμάσθωσαν εἴ γε γνώμῃ αὐτῶν πεποιήκασι τοῦτο· εἰ δὲ ὑπήκοοι γεγόνασι τῷ οἰκείῳ ἐπισκόπῳ, ἀλιζέσθωσαν, ὡς μὴ ἐπιγνωκότες τὸ εὔλογον· καὶ εἰ μὲν πάντες οἱ λαοὶ τούτους ἀποποιοῦνται μετὰ τῶν ἄλλων, ἕτεροι χειροτονείσθωσαν· εἰ δὲ ἀντιποιοῦνται αὐτῶν μετ' ἐκείνων οἷς κεκοινωνήκασι ταύτης, οὗτοι ἀποπειράσθωσαν τῆς συνηθείας, ἣ ἐχρήσαντο οἱ ἐν Θηβαΐδι πάντες ὀρθόδοξοι ἐπίσκοποι.

393 CAP. VIII. — *De episcopis aut clericis qui communicant vel orant cum hæreticis, vel eis ministerium sacrum permittunt, vel eorumdem baptismum aut sacrificium recipiunt.*

Apostolorum canones 10, 45, 46.

10. Si quis cum excommunicato, vel in domo, una precatus fuerit, is segregetur.

45 [44]. Episcopus, vel presbyter, vel diaconus, qui cum hæreticis vel solum comprecatus est, etc., *ut pag.* 610.

46 [45]. Episcopum, vel presbyterum qui hæreticorum baptismum, etc., *ut pag.* 610.

ΚΕΦΑΛ. Η'. — Περὶ ἐπισκόπων, ἢ κληρικῶν συγκοινονούντων, ἢ συνευχομένων αἱρετικοῖς, ἢ ἐπιτρεπόντων αὐτοῖς ἐνεργεῖν, ἢ δεχομένων αὐτῶν βάπτισμα ἢ θυσίαν.

Ἀποστόλων κανὼν ι', με', μϛ'.

ι'. Εἴ τις ἀκοινωνήτῳ κἂν ἐν οἴκῳ συνεύξηται, οὗτος ἀφοριζέσθω.

με'. Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, αἱρετικοῖς συνευξάμενος, κ. τ. λ.

μϛ'. Ἐπίσκοπον ἢ πρεσβύτερον αἱρετικῶν δεξαμένους βάπτισμα, κ. τ. λ.

Concilii Antiocheni canon 2.

2. Omnes qui ingrediuntur in Ecclesiam Dei, etc., *ut pag.* 606.

Συνόδου Ἀντιοχείας κανὼν β'

β'. Πάντας τοὺς εἰσιόντας εἰς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, κ. τ. λ.

Concilii Laodiceni canon 33.

33. Quod non oportet una cum hæreticis vel schismaticis orare.

Συνόδου Λαοδικείας κανὼν λγ'.

λγ'. Ὅτι οὐ δεῖ αἱρετικοῖς ἢ σχισματικοῖς συνεύχεσθαι.

Lege quæ adnotata sunt in cap. 15, tit. 3 præsentis operis.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ιε', κεφ. τοῦ γ' τίτ. τοῦ παρόντος συντάγματος.

Digitized by Google Распознавание текста ABK/FR

ΚΕΦΑΛ. θ'. — Περὶ ἐπισκόπων ἢ κληρικῶν λαμβανόντων εὐλογίας ἐξ αἱρετικῶν ἢ Ἰουδαίων, ἢ εὐχομένων ἐν ἐκκλησίαις ἢ μοναστηρίοις αἱρετικῶν, ἢ ἐθνικῶν, ἢ σαββατιζόντων, ἢ συνεορταζόντων τοῖς Ἰουδαίοις, ἢ προσφερόντων συναγωγαῖς ἢ ἱεροῖς ἐθνῶν, καὶ περὶ Ἀγγελιτῶν.

Ἀποστόλων κανὼν ξε', ο'.

ξε'. Εἴ τις κληρικὸς ἢ λαϊκὸς, εἰσέλθοι εἰς συναγωγὴν Ἰουδαίων ἢ αἱρετικῶν προσεύξασθαι, καθαιρείσθω καὶ ἀφοριζέσθω.

ο'. Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τῶν κληρικῶν, νηστεύοι μετὰ Ἰουδαίων, κ. τ. λ.

Συνόδου Λαοδικείας κανὼν θ', κθ', λβ', λε', λζ', λη', λθ'.

θ'. Περὶ τοῦ μὴ συγχωρεῖν εἰς τὰ κοιμητήρια, ἢ εἰς τὰ λεγόμενα μαρτυρεῖα πάντων τῶν αἱρετικῶν, ἀπιέναι τοὺς τῆς Ἐκκλησίας, εὐχῆς ἢ θεραπείας ἕνεκα· ἀλλὰ τοὺς τοιούτους, ἐὰν ὦσι πιστοὶ, ἀκοινωνήτους γίνεσθαι μέχρι τινός· μετανοοῦντας δὲ καὶ ἐξομολογουμένους ἐσφάλθαι, παραδέχεσθαι.

κθ'. Ὅτι οὐ δεῖ Χριστιανοὺς Ἰουδαΐζειν, κ. τ. λ.

λβ'. Ὅτι οὐ δεῖ αἱρετικῶν εὐλογίας λαμβάνειν, αἵτινές εἰσιν ἀλογίαι μᾶλλον ἢ εὐλογίαι.

λε'. Ὅτι οὐ δεῖ Χριστιανοὺς, ἐγκαταλείπειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἀπιέναι, καὶ ἀγγέλους ὀνομάζειν, καὶ συνάξεις ποιεῖν· ἅπερ ἀπηγόρευται. Εἴ τις οὖν εὑρεθῇ ταύτῃ τῇ κεκρυμμένῃ εἰδωλολατρείᾳ σχολάζων, ἔστω ἀνάθεμα· ὅτι ἐγκατέλιπε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ εἰδωλολατρείᾳ προσῆλθεν.

λζ'. Ὅτι οὐ δεῖ παρὰ τῶν αἱρετικῶν, ἢ Ἰουδαίων τὰ πεμπόμενα ἑορταστικὰ λαμβάνειν, μηδὲ συνεορτάζειν αὐτοῖς.

λη'. Ὅτι οὐ δεῖ παρὰ τῶν Ἰουδαίων ἄζυμα λαμβάνειν ἢ κοινωνεῖν ταῖς ἀσεβείαις αὐτῶν.

λθ'. Ὅτι οὐ δεῖ τοῖς ἔθνεσι συνεορτάζειν καὶ κοινωνεῖν τῇ ἀθεότητι αὐτῶν.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ια'.

ια'. Μηδεὶς τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι ἢ λαϊκὸς, τὰ παρὰ τῶν Ἰουδαίων ἄζυμα ἐσθιέτω, κ. τ. λ.

Ἡ α' διάτ. τοῦ θ' τίτ, τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὅτι τὸ τῇ ὁμάδι τῶν Ἰουδαίων γηγατευόμενον, οὐκ ἀπαιτεῖται· λέγει δὲ βιβλ. λδ', τίτ. ε', διάτ. κ', ὅτι τὸ ληγατευόμενον θεμιτῷ σωματείῳ ἢ συστήματι, ἔῤῥωται· τὸ ἐναντίον δὲ ἐπὶ ἀθεμίτου, πλὴν εἰ μὴ τοῖς ἐν τῷ αὐτῷ καθέκαστον ληγατευθῇ· τότε γὰρ ἔῤῥωται. Πολλὰ δὲ τοιαῦτα θέματα ἔχει ὁ μη' τίτ· τοῦ ϛ' βιβλ. τοῦ κώδ. ἡ δὲ θ' διάτ. τοῦ ια' τίτ. τοῦ α' βιβλ. φησὶν, ὅτι ἐάν τι δωρηθῇ ἢ καταλειφθῇ τόποις ἢ προσώποις ἐπὶ συστάσει τῆς τῶν Ἑλλήνων πλάνης, ἡ πόλις αὐτὸ λαμβάνει ἐν ᾗ τὰ πρόσωπα οἰκεῖ· ἢ ὑφ' ἣν οἱ τόποι διάκεινται καὶ δαπανῶνται, καθ' ὁμοιότητα τῶν πολιτικῶν προσόδων.

CAP. IX. — *De episcopis aut clericis qui eulogias ab hæreticis vel Judæis accipiunt, aut orant in ecclesiis vel monasteriis hæreticorum aut ethnicorum, vel Sabbatum aliuque festa cum Judæis celebrant, aut oblationes faciunt synagogis vel fanis ethnicorum : item de Angelitis.*

Apostolorum canones 65, 70.

65 [63]. Si quis clericus vel laicus in Judæorum 394 vel hæreticorum synagogam ingressus sit ad orandum, deponatur et segregetur.

70 [69]. Si quis episcopus, vel presbyter, vel diaconus, vel omnino ex clericorum catalogo, jejunat cum Judæis etc., *ut pag.* 738.

Concilii Laodiceni canones 9, 29, 32, 35, 37, 38, 39.

9. Non concedendum esse, ut in cœmeteria, vel in ea quæ dicuntur martyria quorumvis hæreticorum, abeant ii qui sunt Ecclesiæ, orationis vel venerationis gratia. Sed tales si sint fideles, esse aliquantisper excommunicatos : sin autem pœnitentia ducantur, et se deliquisse confiteantur, suscipi.

29. Quod non oportet Christianos judaizare.

32. Quod non oportet hæreticorum benedictiones accipere quæ sunt potius maledictiones, quam benedictiones.

35. Quod non oportet Christianos, relicta Dei Ecclesia, abire, et angelos nominare, vel congregationes facere; quod est prohibitum. Si quis ergo inventus fuerit huic occultæ idololatriæ vacare, sit anathema, quia reliquit Dominum nostrum Jesum Christum, et accessit ad idololatriam.

37. Quod non oportet quæ a Judæis vel hæreticis mittuntur festiva accipere, neque una cum eis festum agere.

38. Quod non oportet a Judæis azyma accipere, vel eorum impietatibus communicare.

39 Quod non oportet cum gentibus festum agere, et eorum impietati communicare.

Concilii œcumenici VI *canon* 11.

11. Nemo eorum qui in sacerdotali ordine enumerantur vel laicus Judæorum comedat, etc., *ut pag.* 738.

Textus. 395 Const. 1, tit. 9, lib. I Cod. ait : Quod universitati Judæorum legatur, non petitur. Dicit vero etiam lib. XXXIV, tit. 5, digest. 8: Quod licito corpori aut collegio legatur, valet. Contrarium autem est in illicito : præterquam si in illo singulis legetur, tunc enim valet. Multas autem istiusmodi [juris] positiones tit. 48, lib. VI, Cod. habet. Const. porro 9, tit. 2, lib. I, ait : Si quid [quibuspiam] jocis aut personis ad constituendum paganorum errorem donatum aut relictum fuerit: civitas in qua personæ habitant, vel sub qua loca sita sunt, illud percipit, et ad similitudinem civilium proventuum insumitur.

Digitized by Google Распознавание текста ABK/FR

CAP. X. — *De episcopo qui scire se dicit hæreticum communicasse.*

Concilii Carthaginensis canon 124.

De episcopis qui Donatistas communicasse mentiti fuerint.

124. Si autem probatum fuerit, eum de communione illorum fuisse mentitum, etc., *ut pag.* 682.

CAP. XI. — *Non esse abeundum ad hæreticorum pseudomartyres.*

Concilii Laodiceni canon 34.

34. Quod non oportet omnem Christianum Christi martyres relinquere, 396 et ad falsos martyres, hoc est, hæreticos abire, vel eos qui prius hæretici fuere. Hi enim sunt a Deo alieni. Sint ergo anathema qui ad eos abeunt.

CAP. XII. — *Ne hæretici ecclesiam ingrediantur.*

Concilii Laodiceni canon 6.

6. Non permittere hæreticis, ut in domum Domini ingrediantur, si in hæresi permaneant.

CAP. XIII. — *De hæreticorum nuptiis cum orthodoxis.*

Concilii Laodiceni canones 10, 31.

10. Non oportere eos qui sunt Ecclesiæ, indiscriminatim suos filios hæreticis matrimonio conjungere.

31. Quod non oportet cum omni hæretico matrimonium contrahere, vel dare filios aut filias : sed magis accipere si se Christianos futuros profiteantur.

Concilii Chalcedonensis canon 14.

14. Quoniam in nonnullis provinciis concessum est lectoribus, etc., *ut pag.* 779.

Concilii Carthaginensis canon 21.

Ut filii clericorum in matrimonio non jungantur hæreticis.

21. Iterum placuit ut filii clericorum gentilibus, vel hæreticis, matrimonio non jungantur.

397 *Concilii œcumenici* VI *canon* 72.

72. Non licere virum orthodoxum cum muliere hæretica conjungi, neque vero orthodoxam cum viro hæretico copulari. Sed etsi quid ejusmodi ab ullo ex omnibus factum apparuerit, irritas nuptias existimare, et nefarium conjugium dissolvi. Neque enim ea quæ non sunt miscenda misceri, nec ovem cum lupo, nec peccatorum sortem cum Christi parte conjungi oportet. Si quis autem ea, quæ a nobis decreta sunt, transgressus fuerit, segregetur. Si autem aliqui qui adhuc sunt infideles, et in orthodoxorum gregem nondum relati sunt, sunt inter se legitimo matrimonio conjuncti : deinde hic quidem eo quod est honestum electo, ad lucem veritatis accurrerit, ille vero erroris vinculo detentus fuerit, nolens divinos radios fixis oculis intueri, fideli vero homini placeat cum infideli co-

ΚΕΦΑΛ. Ι'. — Περὶ ἐπισκόπου ἐν εἰδήσει λέγοντος κοινωνικὸν τὸ αἱρετικόν.

Συνόδου Καρθαγέννης κανὼν ρκδ'.

Περὶ τῶν τοὺς Δονατιστὰς κοινωνῆσαι ψευδομένων ἐπισκόπων.

ρκδ'. Ἐὰν δὲ ἀποδειχθῇ τὸν τοιοῦτον ψευσάμενον παρὰ τῆς ἐκείνων κοινωνίας, κ. τ. λ.

ΚΕΦΑΛ. ΙΑ'. — Περὶ τοῦ μὴ ἀπιέναι πρὸς τοὺς τῶν αἱρετικῶν ψευδομάρτυρας.

Συνόδου Λαοδικείας κανὼν λδ'.

λδ'. Ὅτι οὐ δεῖ πάντα Χριστιανὸν ἐγκαταλείπειν μάρτυρας Χριστοῦ, καὶ ἀπιέναι πρὸς τοὺς ψευδομάρτυρας, τουτέστιν αἱρετικῶν ἢ αὐτοὺς πρὸς τοὺς προειρημένους αἱρετικοὺς γενομένους· οὗτοι γὰρ ἀλλότριοι τοῦ Θεοῦ τυγχάνουσιν, ἔσθωσαν οὖν ἀνάθεμα οἱ ἀπερχόμενοι πρὸς αὐτούς.

ΚΕΦΑΛ. ΙΒ'. — Περὶ τοῦ μὴ εἰσιέναι τοὺς αἱρετικοὺς εἰς τὴν ἐκκλησίαν.

Συνόδου Λαοδικείας κανὼν ς'.

ς'. Περὶ τοῦ μὴ συγχωρεῖν τοῖς αἱρετικοῖς εἰσιέναι εἰς τὸν οἶκον τοῦ Θεοῦ, ἐπιμένοντας τῇ αἱρέσει.

ΚΕΦΑΛ. ΙΓ'. — Περὶ γάμων αἱρετικῶν πρὸς ὀρθοδόξους.

Συνόδου Λαοδικείας κανὼν ι', λα'.

ι'. Περὶ τοῦ μὴ δεῖν τοὺς τῆς Ἐκκλησίας ἀδιαφόρως πρὸς γάμου κοινωνίαν συνάπτειν τὰ ἑαυτῶν παιδία αἱρετικοῖς.

λα'. Ὅτι οὐ δεῖ πρὸς πάντας αἱρετικοὺς ἐπιγαμίαν ποιεῖν, ἢ διδόναι υἱοὺς ἢ θυγατέρας, ἀλλὰ μᾶλλον λαμβάνειν, εἴ γε ἐπαγγέλλοιντο Χριστιανοὶ γενέσθαι.

Συνόδου Χαλκηδόνος κανὼν ιδ'.

ιδ'. Ἐπειδὴ ἔν τισιν ἐπαρχίαις συγκεχώρηται τοῖς ἀναγνώσταις, κ. τ. λ.

Συνόδου Καρθαγέννης κανὼν κα'.

Ὥστε τὰ τέκνα τῶν κληρικῶν ἐν συνοικεσίῳ μὴ συνάπτεσθαι αἱρετικοῖς.

κα'. Ὁμοίως ἤρεσεν, ὥστε τὰ τέκνα τῶν κληρικῶν, ἐθνικοῖς ἢ αἱρετικοῖς γαμικῶς μὴ συνάπτεσθαι.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν οβ'.

οβ'. Μὴ ἐξέσθω ὀρθόδοξον ἄνδρα αἱρετικῇ συνάπτεσθαι γυναικί, μήτε μὴν αἱρετικῷ ἀνδρὶ γυναῖκα ὀρθόδοξον ζεύγνυσθαι· ἀλλ' εἰ καὶ φανῇ τι τοιοῦτον ὑπό τινος τῶν ἁπάντων γινόμενον, ἄκυρον τὸν γάμον ἡγεῖσθαι, καὶ τὸ ἄθεσμον διαλύεσθαι συνοικέσιον· οὐ γὰρ χρὴ τὰ ἄμικτα μιγνύναι, οὐδὲ τῷ προβάτῳ λύκον συμπλέκεσθαι, καὶ τῇ τοῦ Χριστοῦ μερίδι τὸν τῶν ἁμαρτωλῶν κλῆρον. Εἰ δὲ παραβῇ τις τὰ παρ' ἡμῶν ὁρισθέντα, ἀφοριζέσθω· εἰ δέ τινες ἔτι ἐν τῇ ἀπιστίᾳ τυγχάνοντες, καὶ οὕπω τῇ τῶν ὀρθοδόξων ἐγκαταλεγέντες ποίμνῃ, ἀλλήλοις γάμῳ νομίμῳ ἡρμόσθησαν, εἶτα ὁ μὲν τὸ καλὸν ἐκλεξάμενος τῷ φωτὶ τῆς ἀληθείας προσέδραμεν, ὁ δὲ ὑπὸ τοῦ τῆς πλάνης κατεσχέθη δεσμοῦ, μὴ πρὸς τὰς θείας ἀτενίσαι ἀκτῖνας ἑλόμενος, εὐδοκεῖ δὲ τῷ πιστῷ ἡ ἄπιστος συνοικεῖν, ἢ τὸ ἔμπαλιν ὁ ἄπιστος τῇ πιστῇ, μὴ χωριζέσθωσαν

Digitized by Google Распознавание текста АВК/ГК

κατὰ τὸν θεῖον Ἀπόστολον· Ἡγίασται γὰρ ὁ ἄπιστος ἀνὴρ ἐν τῇ γυναικί, καὶ ἡγίασται ἡ ἄπιστος γύνη ἐν τῷ ἀνδρί.

Ὁ πολιτικὸς νόμος, εἰ καὶ τὰ μάλιστα τὸν γάμον ὁριζόμενος φησὶν, βιβλ. κγ', τίτ. β', διάτ.α',ὅτι γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια, καὶ συγκλήρωσις πάσης τῆς ζωῆς, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία, καὶ κατὰ τοῦτον τὸν ὅρον ἔδει τοὺς γάμῳ συναπτομένους, ὁμοθρήσκους εἶναι· ὅμως οἶδε καὶ δέχεται μεταξὺ ὀρθοδόξου καὶ αἱρετικοῦ γάμον· φησὶ γὰρ βιβλ. α' τοῦ κώδ. τίτ., ε', διατ. ιβ', ὅτι ἀμφισβητούντων τῶν γονέων, ἐπικρατέστερος ἐστὶν ὁ θέλων τῇ ὀρθοδόξῳ πίστει τοὺς παῖδας προσαγαγεῖν· καὶ διάτ. ιη' τοῦ αὐτοῦ τίτ. ὅτι ἐὰν θάτερος τῶν συνοικούντων ὀρθόδοξος εἴη, καὶ ὁ ἄλλος αἱρετικὸς, δεῖ γίνεσθαι τοὺς παῖδας αὐτῶν ὀρθοδόξους· καὶ βιβλ. ε', τίτ. α', διάτ. ε', ἐὰν ἡ μνηστὴ παραιτῆται τὸν γάμον διὰ τὸ τῆς θρησκείας διάφορον, εἰ μὲν προῆδει τὴν αἰτίαν, ἡ γυνὴ ἢ οἱ γονεῖς αὐτῆς ὑπόκεινται· εἰ δὲ ἠγνόουν, ἢ μετὰ τὸ λαβεῖν τοὺς ἀρραβῶνας ἡ αἰτία συνέβη, τὸ ἁπλοῦν ἀναδίδοται· τὸ αὐτὸ καὶ ἐπὶ μνηστῆρος. Ἡ δὲ ϛ' διάτ. τοῦ θ' τίτ. τοῦ α' βιβλ. τοῦ κώδ. φησὶν, ὅτι Χριστιανὸς λαμβάνων Ἰουδαίαν γαμετὴν, ἢ Χριστιανὴν Ἰουδαῖος, ἐπὶ μοιχείᾳ κατηγορεῖται.

ΚΕΦΑΛ. ΙΔ'. — Περὶ τῶν ἐξ αἱρετικῶν εἰς ὀρθοδοξίαν ἐπιστρεφόντων, καὶ εἰ δυνατὸν τούτους κληροῦσθαι, καί τίνες αὐτῶν βαπτίζονται, καὶ τίνες μόνον χρίονται, καὶ ὅτι πρᾶως δεῖ τοῖς αἱρετικοῖς κεχρῆσθαι διὰ τὸ ἐπιστρέψαι αὐτούς.

Συνόδου Νικαίας κανὼν η', ιθ'.

η'. Περὶ τῶν ὀνομαζόντων μὲν ἑαυτοὺς Καθαροὺς, κ. τ. λ.

ιθ'. Περὶ τῶν Παυλιανισάντων, κ. τ. λ.

Συνόδου Λαοδικείας κανὼν ζ', η'.

ζ'. Περὶ τοῦ τοὺς ἐκ τῶν αἱρέσεων, τουτέστι Ναυατιανῶν ἤτοι Φωτεινιανῶν ἢ Τεσσαρεσκαιδεκατιτῶν ἐπιστρεφομένους, κ. τ. λ.

η'. Περὶ τοῦ τοὺς ἀπὸ τῆς αἱρέσεως τῶν λεγομένων Φρυγῶν ἐπιστρέφοντας, κ. τ. λ.

Συνόδου Κωνσταντινουπόλεως κανὼν ζ'.

ζ'. Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ, κ. τ. λ.

Συνόδου Καρθαγέννης κανὼν μζ', νζ', ξϛ'.

Περὶ Δονατιστῶν παιδίων τῶν παρὰ τοῖς Δονατιστὰις βαπτιζομένων.

μζ'. Ἤρεσεν, ἵνα ἐρωτήσωμεν τοὺς ἀδελφοὺς καὶ συνιερεῖς ἡμῶν Σιρίκιον καὶ Σιμπλικιανὸν, κ. τ. λ.

Ὥστε τοὺς μικροὺς παρὰ τοῖς Δονατισταῖς βαπτιζομένους, ἐν τῇ καθολικῇ κληρικοὺς χειροτονεῖσθαι.

νζ'. Διὸ ἐπειδὴ ἐν τῇ ἀνωτέρω συνόδῳ ὡρισθὲν μέμνηται, κ. τ. λ.

habitare, vel et contra, ne a se invicem separentur. Ex divini enim Pauli sententia : *Sanctificatus est vir infidelis in muliere, et sanctificata est mulier infidelis in viro* 99.

Textus. — Civilis lex tametsi, cum exactissime nuptias definit, dicat, lib. XXIII, tit. 3, digest. 1 : Nuptiæ sunt conjunctio maris et feminæ, consortium omnis vitæ, divini et humani juris communicatio: secundum quam definitionem eos qui matrimonio conjunguntur, ejusdem esse religionis oportet : agnoscit tamen atque admittit inter orthodoxum atque hæreticum, matrimonium. Dicit namque lib. 1 Cod., tit. 5, const. 12, quod, Cum parentes litigant, potior sit qui libero ad orthodoxam fidem adducere vult. Et const. 18 ejusdem tit. quod, Si alter conjugum orthodoxus sit, et alter hæreticus, liberos illorum 398 orthodoxos fieri oporteat. Et lib. v, tit. 1 const. 5 : Si sponsa propter religionis diversitatem conjugium recuset, si quidem [eam] rem illa præscivit, parentes ejus tenentur : sin ignoravit, aut postquam arrhas cepit, [ea] res incidit, simplum redditur. [Quod] ipsum et in sponso [obtinet.] Const. autem 6, tit. 9, lib. 1 Cod. ait : Qui Christianus Judæam [in matrimonium] accipit, aut qui Judæus Christianam, adulterii accusatur.

CAP. XIV. — *De hæreticis ad orthodoxiam se convertentibus, et utrum hi in clerum admitti possint, et quinam ex his baptizentur, qui autem tantummodo ungantur; et quod mansuete cum hæreticis est agendum, ob spem conversionis.*

Concilii Nicæni canones 8, 507.

8. De his qui se catharos, etc., *ut pag.* 59.

19. De Paulianistis, etc., *ut pag.* 559.

Concilii Laodiceni canon 7, 8.

7. Eos qui ex hæresibus, hoc est Novatianis, sive Photinianis, vel Tessaradecatitis convertuntur, etc., *ut pag.* 623.

0. Eos qui ab eorum hæresi qui Phryges dicuntur, etc., *ut pag.* 623.

399 *Concilii Constantinopolitani canon* 7.

7. Eos qui rectæ fidei adjiciuntur, etc., *ut pag.* 623.

Concilii Carthaginensis canones 47, 57, 66.

De parvulis qui apud Donatistas baptizati sunt.

47. De Donatistis placuit, ut consulamus fratres et consacerdotes nostros Siricium et Simplicianum, etc., *ut pag.* 595.

Ut parvuli apud Donatistas baptizati in catholica Ecclesia clerici ordinentur.

57. Unde quoniam superiori concilio statutum, etc., *ut pag.* 875.

99 I Cor. VII, 14.

Digitized by Google Распознавание текста ABK/FR

Ut cum Donatistis leniter agatur.

66. Deinde [1] pertractatis et consideratis omnibus quæ utilitati Ecclesiæ convenire 400 videbantur, annuente atque admonente Spiritu Dei, elegimus cum memoratis hominibus, quamvis de Dominici corporis unitate inquieta dissensione præcisis, leniter et pacifice agere; ut quantum in nobis est, omnibus qui eorum communione et societate irretiti sunt, per universas provincias Africanas penitus innotescat, quam miserabili errore devincti sunt : *Ne forte*, sicut dicit Apostolus, nobis in mansuetudine corripientibus diversa sentientes, *det illis Deus pœnitentiam ad cognoscendam veritatem, et resipiscant de diaboli laqueis, captivati ab ipso ad ipsius voluntatem* [2].

Concilii œcumenici VI *canon* 95.

95. Eos qui ex hæreticis ad rectam fidem accedunt, etc., *ut pag.* 626.

Basilii canones 1, 47.

1. Quod igitur ad Catharos pertinet, etc., *ut pag.* 866.

Pepuzeni ergo sunt, etc., *ut pag.* 866.

Cathari sunt et ipsi, etc., *ut pag.* 867.

49. Encratitæ et Saccophori, etc., *ut pag.* 466.

Theophili ex epistola ad Aphyngium episcopum.

De his qui dicuntur Cathari.

Declaravit mihi tua pietas, quod quidam horum qui se Catharos nominant, volunt ad Ecclesiam accedere. Quoniam ergo magna synodus, quæ Nicææ habita est a sanctis Patribus nostris, statuit, ut ordinentur qui accedunt, velis juxta hanc formam eos qui ad Ecclesiam accedere volunt ordinare, si quidem vita eorum recta est, et nihil eis adversatur.

401 Concilium Cypriani [temporibus habitum] statuit, ut quicunque hæreticus ad rectam fidem devenit, baptizetur : hæreticorum [lotionem] non esse baptismum dicens.

CAP. XV. — *Non oportere ab episcopis vel clericis donari re aliqua, vel heredes aut legatarios institui hæreticos, etiamsi sint eorum propinqui.*

Concilii Carthaginensis canones 22, 81.

Ut episcopi vel clerici, etc., *ut pag.* 827.

22. Et ut in eos qui catholici, etc., *ut pag.* 827.

De episcopis qui hæreticos vel paganos hæredes instituunt.

81. Item placuit ut si quis episcopus hæredes, etc., *ut pag.* 827.

Lege quæ adnotata sunt in cap. 8, tit. 10 præsentis operis.

[1] Conc. Afric. 33. [2] II Tim. II, 25, 26.

A Περὶ τοῦ μετὰ τῶν Δονατιστῶν πράως διαπράξασθαι:

ξς'. Μετὰ ταῦτα ψηλαφηθέντων καὶ κατανοηθέντων πάντων, τῶν τῇ ἐκκλησιαστικῇ χρησιμότητι συντρέχειν δοκούντων, ἐπινεύσαντος καὶ ἐνηχήσαντος τοῦ Πνεύματος τοῦ Θεοῦ, ἐπελεξάμεθα ἡπίως καὶ εἰρηνικῶς διαπράξασθαι μετὰ τῶν μνημονευθέντων ἀνθρώπων, κἂν εἰ τὰ μάλιστα ἐκ τῆς τοῦ Κυριακοῦ σώματος ἑνώσεως ἀνηυχάστῳ διχονοίᾳ ἀποσχίζωσιν· ἵνα ὅσον τὸ ἐν ἡμῖν, πᾶσι καθόλου γνωσθῇ τοῖς τῇ ἐκείνων κοινωνίᾳ καὶ ἑταιρίᾳ σαγηνευθεῖσιν ἀνὰ πάσας τὰς τῆς Ἀφρικῆς ἐπαρχίας, πῶς ἐλεεινῇ πλάνῃ κατεδέθησαν· Ἴσως, καθὼς λέγει ὁ Ἀπόστολος, ἡμῶν ἐν ἡμερότητι συναγόντων τοὺς τὰ διάφορα φρονοῦντας, δώσει αὐτοῖς ὁ Θεὸς μετάνοιαν πρὸς τὸ ἐπιγνῶ- B ναι τὴν ἀλήθειαν, καὶ ἀνασφήλωσιν οἱ ἐκ τῶν τοῦ διαβόλου βρόχων αἰχμαλωτισθέντες αὐτῷ εἰς τὸ αὐτοῦ θέλημα.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ξ'.

ξ'. Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ, κ. τ. λ.

Βασιλείου κανὼν α', μζ'.

α'. Τὸ μὲν οὖν περὶ τοὺς Καθαροὺς ζήτημα, κ. τ. λ.

Οἱ τοίνυν Πεπουζηνοί, κ. τ. λ.

Οἱ δὲ Καθαροὶ καὶ αὐτοί, κ. τ. λ.

μθ'. Ἐγκρατῖται καὶ Σακκοφόροι, κ. τ. λ.

Θεοφίλου ἐκ τῆς πρὸς Ἀφύγγιον ἐπίσκοπον ἐπιστολῆς.

Περὶ τῶν λεγομένων Καθαρῶν.

Δεδήλωκέ μοι ἡ σὴ εὐλάβεια, ὡς τινες τῶν ὀνομαζόντων ἑαυτοὺς Καθαροὺς προσελθεῖν βούλονται τῇ C Ἐκκλησίᾳ· ἐπειδὴ τοίνυν ἡ μεγάλη σύνοδος, ἡ γενομένη ἐν Νικαίᾳ παρὰ τῶν μακαρίων Πατέρων ἡμῶν, ὥρισεν ὥστε χειροτονεῖσθαι τοὺς προσερχομένους, θέλησον κατὰ τὸν τύπον τοῦτον τοὺς ἐθέλοντας προσέρχεσθαι τῇ Ἐκκλησίᾳ χειροτονεῖν, εἴ γε ὁ βίος αὐτῶν ὀρθός ἐστι, καὶ μηδὲν τούτων ἀντίκειται.

Ἡ κατὰ Κυπριανὸν σύνοδος πάντα αἱρετικὸν ἐρχόμενον εἰς ὀρθοδοξίαν ὁρίζει βαπτίζεσθαι, λέγουσα τὸ τῶν αἱρετικῶν μὴ εἶναι βάπτισμα.

ΚΕΦΑΛ. ΙΕ'. — Περὶ τοῦ μήτε ἐπισκόπους μήτε κληρικοὺς δωρεῖσθαι, ἢ ἐν διαθήκῃ διδόναι τι αἱρετικοῖς, κἂν ὦσιν αὐτῶν συγγενεῖς.

D Συνόδου Καρθαγέννης κανὼν κβ', πα'.

Ὥστε τοὺς ἐπισκόπους καὶ τοὺς κληρικούς, κ. τ. λ.

κβ'. Μηδὲν διὰ δωρεᾶς τῶν οἰκείων πραγμάτων, κ. τ. λ.

Περὶ ἐπισκόπων τῶν αἱρετικοὺς ἢ Ἕλληνας κληρονόμους καταλιμπανόντων.

πα'. Ὁμοίως ὡρίσθη, ἵνα ἐάν τις ἐπίσκοπος, κληρονόμους συγγενεῖς, κ. τ. λ.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ η' κεφ. τοῦ ι' τίτ. τοῦ παρόντος συντάγματος.

Digitized by Google Распознавание текста ABK/FR

ΚΕΦΑΛ. ις'. — Περὶ αἱρετικῶν μετανοούντων.

Βασιλείου κανὼν ε'.

ε'. Τοὺς δὲ ἐπὶ ἐξόδῳ μετανοοῦντας, κ. τ. λ.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ λθ' τοῦ θ' τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛ. ιζ'. — Πῶς ἐκδικοῦσιν οἱ ἐπίσκοποι τοὺς ἁρμόζοντας αὐτοῖς, τόπους παρὰ αἱρετικῶν κατεχομένους.

Συνόδου Καρθαγέννης κανὼν ριθ', ρκα'.

Περὶ τοῦ ἐάν τινα διοίκησιν ἐξ αἱρέσεως ἐλευθερώσῃ ἐπίσκοπος, καὶ ἐπὶ τριετίαν κατάσχῃ, μηδένα τάύτην ἀναζητεῖν.

ριθ'. Ὁμοίως ἤρεσεν, ἵνα ἐάν τις μετὰ τοὺς νόμους, τόπον τινὰ πρὸς τὴν καθολικὴν ἑνότητα μεταστρέψῃ, καὶ τοῦτο ἐπὶ τριετίαν μηδενὸς ἀναζητοῦντος κατάσχοι, τοῦ λοιποῦ παρ' αὐτοῦ μὴ ἀναζητηθῇ, ἐὰν μέντοι ἐντὸς τῆς αὐτῆς τριετίας ὑπῆρχεν ἐπίσκοπος ὁ ὀφείλων ἀναζητῆσαι καὶ ἡσύχασεν· εἰ δὲ μὴ ἦν, προκριματισθῇ ἐν τῇ μάτρικι· ἀλλ' ὅτε ὁ χηρεύων τόπος λάβῃ ἐπίσκοπον, ἐξὸν εἴη αὐτῷ ἀπ' αὐτῆς τῆς ἡμέρας ἐντὸς τριετίας ἀναζητῆσαι. Ὁμοίως δὲ καὶ ἐὰν ἐπίσκοπος ἐκ τῶν τοῦ Δονάτου μερῶν πρὸς τὴν καθολικὴν ἐπιστρέψῃ, μὴ προκριματισθῇ περὶ τοῦ προορισθέντος χρόνου, ἀλλ' ἐξ ἧς ἡμέρας ἐπέστραψεν, ἐχέτω ἐξουσίαν ἐντὸς τριετίας ἀναζητεῖν τοὺς τόπους τοὺς τῇ αὐτοῦ ἀνήκοντας καθέδρᾳ.

Περὶ τῶν ἀμελούντων τῶν αὐτοῖς ἀνηκόντων λαῶν.

ρκα'. Ὁμοίως ἤρεσεν, ἵνα οἵτινες δήποτε ἀμελοῦσι τῶν τόπων τῶν ἀνηκόντων τῇ αὐτῶν καθέδρᾳ, κ. τ. λ.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ι' κεφ. τοῦ η' τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛ. ιη'. — Περὶ τῶν πειρωμένων ἀθετεῖν τὰ ἐν Ἐφέσῳ πραχθέντα.

Συνόδου Ἐφέσου κανὼν ς'.

ς'. Ὁμοίως δὲ καὶ εἴ τινες βουληθεῖεν τὰ περὶ ἑκάστου πεπραγμένα ἐν τῇ ἁγίᾳ συνόδῳ τῇ ἐν Ἐφέσῳ οἱῳδήποτε τρόπῳ παρασαλεύειν, ἡ ἁγία σύνοδος ὥρισεν, εἰ μὲν ἐπίσκοποι εἶεν ἢ κληρικοί, τοῦ οἰκείου παντελῶς ἀποπίπτειν βαθμοῦ· εἰ δὲ λαϊκοί, ἀκοινωνήτους τυγχάνειν.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ γ' τοῦ παρόντος τίτ.

CAP. XVI. — *De hæreticis erroris sui pœnitentibus.*

Basilii canon 5.

5. Hæreticos in exitu pœnitentiam, etc., *ut pag.* 803.

Lege quæ in præsentis operis cap. 39, tit. 9, adnotata sunt.

402 CAP. XVII. — *Quomodo episcopi vindicent pertinentia ad se loca, quæ hæretici occupaverint.*

Concilii Carthaginensis canones 119, 121.

Ut si quam diœcesim episcopus, ab hæresi liberans, triennio possederit, nullus eum repetat.

119. Item [3] placuit, ut etiamsi quisquam post leges aliquem locum ad catholicam unitatem converterit, eumque per triennium nemine repetente retinuerit, ulterius ab eo non repetatur. Si tamen per ipsum triennium fuit episcopus qui posset repetere, et tacuit, præjudicium patietur. Si autem non fuit, non præjudicetur matrici, sed liceat, cum locus acceperit episcopum quem non habebat, ex ipso die intra triennium repetere. Itemque si fuerit episcopus ad catholicam ex Donati parte conversus, non ei præjudicet præfinitum tempus, sed ex quo die conversus est, habeat per triennium potestatem repetendi loca, quæ ad ipsam pertinebant cathedram.

De his qui plebes ad se pertinentes negligunt.

121. Item placuit ut quicunque negligunt loca ad suam cathedram pertinentia, etc., *ut pag.* 679.

Lege quæ adnotata sunt in 10 cap. tit. 81 præsentis operis.

403 CAP. XVIII. — *De iis quæ acta Ephesina abolere niluntur.*

Concilii Ephesini canon 6.

6. Similiter autem et si qui velint ea, quæ de singulis per sanctam synodum Ephesinam gesta sunt, quocunque modo movere : sancta synodus ipsa decrevit, si quidem episcopi aut clerici fuerint, eos omnino a proprio cadere gradu : si vero laici, excommunicatos esse.

Lege quæ in cap. 3 præsentis tituli sunt adnotata.

ΤΙΤΛΟΣ ΙΓ'.

ΠΕΡΙ ΛΑΙΚΩΝ.

TITULUS XIII.

DE LAICIS

ΚΕΦΑΛ. Α'. — Περὶ τοῦ ἀποκινεῖσθαι τὸν λαϊκὸν τῆς ἁγίας κοινωνίας, ἐπὶ τρεῖς Κυριακὰς ἐν πόλει διάγοντα, καὶ μὴ συνελθόντα τῇ ἐκκλησίᾳ.

CAP. I. — *Ut laicus qui in urbe versans, pertres hebdomadas ad ecclesiam non convenerit, a sancta communione removeatur.*

[5] Conc. Afric. c. 86.

Digitized by Google Распознавание текста ABK/FR

Concilii Sardicensis canon 11.

11. Osius episcopus dixit: Hoc quoque definire debemus, etc., *ut pag.* 606.

Concilii œcumenici VI *canon* 80.

80. Si quis episcopus, vel presbyter, vel diaconus, etc., *ut pag.* 606.

404 CAP. II. — *De laicis secundo vel pluries nubentibus, et de illicitis nuptiis et copula.*

Apostolorum canones 19, 48.

19 [18]. Qui duas sorores duxit, vel consobrinam, non potest esse clericus.

48 [47]. Si quis laicus sua ejecta uxore aliam acceperit vel ab alio solutam, segregetur.

Concilii Ancyrani canones 16, 17.

16. De iis, qui rationis expertia animalia inierunt, vel ineunt (30). Quicunque priusquam viginti quidem annos nati essent, peccarunt, postquam quindecim annis substrati ac supplices fuerint, communionem ad preces assequantur. Deinde et cum in communione quinque annis perseveraverint, oblationem attingant. Examinetur autem et eorum in substratione vita, et ita humanitatem consequantur. Si qui autem improbe ac maligne in peccatis fuerunt, longe substrationem habeant. Quicunque autem hanc ætatem transgressi, et habentes uxores, in hoc peccatum inciderunt, viginti annis substrati, communionem ad preces assequantur. Deinde cum in precum communione quinque annos peregerint, oblationem assequantur. Si qui autem et mulieres habentes, et quinquagesimum annum transgressi, peccaverunt, in vitæ exitu communionem assequantur.

17. Eos qui rationis expertia animantia inierunt, et qui leprosi sunt vel fuerunt, jussit sancta synodus inter hiemantes orare.

405 *Concilii Neocæsariensis, canones* 2, 3, 4, 7.

2. Femina si duobus fratribus nupserit, etc., *ut pag.* 802.

3. De iis qui in plurima matrimonia incidunt, tempus quidem præstitutum esse manifestum est. Sed conversio et pœnitentia eorum tempus contrahit.

4. Si quis proposuerit concupiscere mulierem ad dormiendum cum ipsa, ejus autem desiderium ad opus non venerit, videtur esse a gratia liberatus.

7. Presbyter in nuptiis ejus qui duas uxores ducit, ne convivetur, etc., *ut pag.* 691.

Concilii Laodicenι canones 1, 10, 31.

1. Oportere ex ecclesiastico canone eos qui libere et legitime secundo matrimonio conjuncti sunt, et non clam uxores duxerunt cum exiguum tempus præterierit, et orationibus et jejuniis vacaverint, eis ex venia dari communionem.

A Συνόδου Σαρδικῆς κανὼν ια'.

ια'. Ὅσιος ἐπίσκοπος εἶπε· Καὶ τοῦτο δὲ ὁρίσαι ὀφείλομεν, κ. τ. λ.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν π'.

π'. Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, κ. τ. λ.

ΚΕΦΑΛ. Β'. — Περὶ λαϊκῶν δευτερογαμούντων, ἢ πολυγαμούντων, καὶ κεκωλυμένων γάμων, καὶ μίξεως.

Ἀποστόλων κανὼν ιθ', μη'.

ιθ'. Ὁ δύο ἀδελφὰς ἀγόμενος ἢ ἀδελφιδᾶς, οὐ δύναται εἶναι κληρικός.

μη'. Εἴ τις λαϊκὸς τὴν ἑαυτοῦ γυναῖκα ἐκβαλὼν ἑτέραν λάβοι, ἢ παρὰ ἄλλου ἀπολελυμένην, ἀφοριζέσθω.

B Συνόδου Ἀγκύρας κανὼν ις', ιζ'.

ις'. Περὶ τῶν ἀλογευσαμένων ἢ καὶ ἀλογευομένων, ὅσοι πρὶν εἰκοσαετεῖς γενέσθαι ἥμαρτον, πεντεκαίδεκα ἔτεσιν ὑποπεσόντες, κοινωνίας τυγχανέτωσαν τῆς εἰς τὰς προσευχάς· εἶτα ἐν τῇ κοινωνίᾳ διατελέσαντες ἔτη πέντε, τότε καὶ τῆς προσφορᾶς ἐφαπτέσθωσαν· ἐξεταζέσθω δὲ αὐτῶν καὶ ὁ ἐν τῇ ὑποπτώσει βίος, καὶ οὕτως τυγχανέτωσαν τῆς φιλανθρωπίας· εἰ δέ τινες κατακόρως ἐν τοῖς ἁμαρτήμασι γεγόνασι, τὴν μακρὰν ἐχέτωσαν ὑπόπτωσιν· ὅσοι δὲ ὑπερβάντες τὴν ἡλικίαν ταύτην, καὶ γυναῖκας ἔχοντες περιπεπτώκασι τῷ ἁμαρτήματι, πέντε καὶ εἴκοσι ἔτεσιν ὑποπεσόντες, κοινωνίας τυγχανέτωσαν τῆς εἰς τὰς προσευχάς· εἶτα ἐκτελέσαντες πέντε ἔτη ἐν τῇ κοινωνίᾳ τῶν εὐχῶν, τυγχανέτωσαν τῆς προσφορᾶς· εἰ δὲ τινες καὶ γυναῖκας ἔχοντες, καὶ ὑπερβάντες τὸν C πεντηκονταετῆ χρόνον ἥμαρτον, ἐπὶ τῇ ἐξόδῳ τοῦ βίου τυγχανέτωσαν τῆς κοινωνίας.

ιζ'. Τοὺς ἀλογευσαμένους καὶ λεπροὺς ὄντας, ἤτοι λεπρώσαντας τούτους, προσέταξεν ἡ ἁγία σύνοδος εἰς τοὺς χειμαζομένους εὔχεσθαι.

Συνόδου Νεοκαισαρείας κανὼν β', γ', δ' ζ'.

β'. Γυνὴ ἐὰν γήμηται δύο ἀδελφοῖς, κ. τ. λ.

γ'. Περὶ τῶν πλείστοις γάμοις περιπιπτόντων, ὁ μὲν χρόνος σαφὴς ὁ ὡρισμένως· ἡ δὲ ἀναστροφὴ καὶ ἡ πίστις αὐτῶν συντέμνει τὸν χρόνον.

δ'. Ἐὰν πρόθηταί τις ἐπιθυμήσας γυναικὸς, συγκαθευδῆσαι αὐτῇ, μὴ ἔλθῃ δὲ εἰς ἔργον αὐτοῦ ἡ ἐνD θύμησις, φαίνεται ὅτι ὑπὸ τῆς χάριτος ἐῤῥύσθη.

ζ'. Πρεσβύτερον εἰς γάμον δι γαμοῦντος μὴ ἑστιᾶσθαι, κ. τ. λ.

Συνόδου Λαοδικείας κανὼν α', ι', λα'.

α'. Περὶ τοῦ δεῖν κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα, τοὺς ἐλευθερίως καὶ νομίμως συναφθέντας δευτέροις γάμοις, μὴ λαθρογαμίαν ποιήσαντας, ὀλίγοις χρόνου παρελθόντος σχολασάντων ταῖς προσευχαῖς καὶ νηστείαις, κατὰ συγγνώμην ἀποδίδοσθαι αὐτοῖς τὴν κοινωνίαν ὡρίσαμεν.

(30) Hoc intelligi potest de his qui vel cum pecoribus, vel more pecudum cum propinquo sanguine misti sunt.

Digitized by Google Распознавание текста ABK/FR

ι'. Περὶ τοῦ μὴ δεῖν τοὺς τῆς Ἐκκλησίας ἀδιαφόρως πρὸς γάμου κοινωνίαν συνάπτειν τὰ ἑαυτῶν παιδία αἱρετικοῖς.

λα'. Ὅτι οὐ δεῖ πρὸς πάντας αἱρετικοὺς, κ. τ. λ.

Συνόδου Χαλκηδόνος κανὼν ις'.

ις'. Παρθένον ἑαυτὴν ἀναθεῖσαν, κ. τ. λ.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν νγ', νδ', οβ', ξη'.

νγ'. Ἐπειδὴ μείζων ἡ κατὰ πνεῦμα οἰκειότης τῆς τῶν σωμάτων συναφείας, ἔγνωμεν δὲ ἔν τισι τόποις τινὰς ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος παῖδας ἀναδεχομένους, μετὰ τοῦτο ταῖς ἐκείνων μητράσι χηρευούσαις γαμικὸν συναλλάσσοντας συνοικέσιον, ὁρίζομεν ἀπὸ τοῦ παρόντος μηδὲν τοιοῦτον πραχθῆναι. Εἰ δέ τινες μετὰ τὸν παρόντα κανόνα φωραθεῖεν τοῦτο ποιοῦντες, πρωτοτύπως μὲν οἱ τοιοῦτοι ἀφιστάσθωσαν τοῦ παρανόμου τούτου συνοικεσίου, ἔπειτα δὲ καὶ τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβληθήτωσαν.

νδ'. Τῆς θείας ἡμᾶς οὕτω σαφῶς ἐκδιδασκούσης Γραφῆς· Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ, ὁ θεοφιλὴς Βασίλειος τινὰ τῶν ἀπηγορευμένων γάμων ἐν τοῖς οἰκείοις κανόσιν ἀπηριθμήσατο, σιωπῇ τὰ πλεῖστα παραδραμών, καὶ κατ' ἀμφότερα κατασκευάσας ἡμῖν τὸ ὠφέλιμον. Τὸ γὰρ τῶν αἰσχρῶν ὀνομασιῶν πλῆθος παραιτησάμενος, ὡς ἂν μὴ τὸν λόγον καταῤῥυπαίνοι, τοῖς ῥήμασι γενικοῖς ὄνομα τῆς ἀκαθαρσίας διέλαβε, δι' ὧν περιεκτικῶς ἡμῖν τοὺς παρανόμους γάμους ὑπέδειξεν· ἐπειδὴ τῇ τοιαύτῃ σιωπῇ, καὶ τῷ ἀδιαγνώστῳ τῆς τῶν ἀθέσμων γάμων ἀπαγορεύσεως ἑαυτὴν ἡ φύσις συνέχεε, συνείδομεν γυμνότερον τὰ περὶ τούτου ἐκθέσθαι, ὁρίζοντες ἀπὸ τοῦ νῦν τὸν τῇ οἰκείᾳ ἐξαδέλφῃ πρὸς γάμου κοινωνίαν συναπτόμενον, ἢ πατέρα καὶ υἱὸν μητρὶ καὶ θυγατρὶ, ἢ δύο κόραις ἀδελφαῖς πατέρα καὶ υἱὸν, ἢ ἀδελφοῖς δυσὶ μητέρα καὶ θυγατέρα, ἢ ἀδελφοὺς δύο δυσὶν ἀδελφαῖς, ὑπὸ τὸν τῆς ἑπταετίας πίπτειν κανόνα, ἀφισταμένων αὐτῶν προδήλως τοῦ παρανόμου συνοικεσίου.

οβ'. Μὴ ἐξέστω ὀρθόδοξον ἄνδρα, αἱρετικῇ συνάπτεσθαι γυναικί, κ. τ. λ.

ξη'. Ὁ ἑτέρῳ μνηστευθεῖσαν γυναῖκα, ἔτι τοῦ μνηστευσαμένου ζῶντος, πρὸς γάμου κοινωνίαν ἀγόμενος, τῷ τῆς μοιχείας ὑποκείσθω ἐγκλήματι.

Συνόδου τῆς ἑνώσεως κανὼν α', β', γ'.

α'. Τέταρτον γάμον μηδενὶ τολμᾶσθαι, ἀλλ' εἶναι ἀπόβλητον παντελῶς, εἴ τις ἐπὶ τοιοῦτον ἐλθεῖν συνοικέσιον προθυμηθείη, πάσης ἀπεστερημένον εἶναι συνάξεως ἐκκλησιαστικῆς, καὶ αὐτῆς τῆς πρὸς τὸν ἅγιον ναὸν εἰσόδου ἀλλότριον, μέχρις ἂν ἐπιμένει τῷ συνοικεσίῳ. Τοῦτο γὰρ καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις ἔδοξε Πατράσι, καὶ ἡμεῖς δὲ τὴν γνώμην ἐνδηλοτέραν ποιοῦντες, ὡς ἀλλότριον αὐτὸν τῆς Χριστιανικῆς πολιτείας ἀποκηρύττομεν· ἀλλ' οὕτω μὲν περὶ τοῦ τετάρτου γάμου.

10. Non oportere eos qui sunt Ecclesiæ, indiscriminatim suos filios hæreticis matrimonio conjungere.

31. Quod non oportet cum omni hæretico, etc., *ut pag.* 883.

Concilii Chalcedonensis canon 16.

16. Virginem quæ se Domino Deo dedicavit, etc., *ut pag.* 734.

Concilii œcumenici VI *canones* 53, 54, 72, 98.

53. Quoniam spiritalis necessitudo seu affinitas corporum conjunctione major est, in nonnullis autem locis cognovimus quosdam, qui ex sancto et salutari baptismate infantes suscipiunt, postea quoque cum matribus illorum viduis matrimonium contrahere, statuimus ut in posterum nihil fiat ejusmodi. Si qui autem post præsentem canonem hoc facere deprehensi fuerint, ii quidem 406 primo ab hoc illicito matrimonio desistant, deinde et fornicatorum pœnis subjiciantur.

54. Cum divina Scriptura nos aperte doceat : *Non ingredieris ad omnem consanguineam carnis tuæ ad revelandam ejus turpitudinem* [4], divinus Basilius [5] nonnullas prohibitas nuptias in suis canonibus enumeravit, multis silentio præteritis, et his utrisque nobis utilitatem attulit. Turpium enim nominum multitudine evitata, ne verbis orationem pelluerat, generalibus nominibus impuritates complexus est, per quas legibus vetitas nuptias nobis in summa ostendit. Quoniam autem propter ejusmodi silentium, et quod non discerni posset illicitarum nuptiarum prohibitio, seipsam natura confudit : nobis visum est ea paulo apertius exponere, ab hoc deinceps tempore decernentes, ut qui cum patrui sui filia matrimonii societatem inierit ; vel pater et filius, qui cum matre et filia ; vel cum duabus puellis sororibus pater et filius ; vel cum duobus fratribus mater et filia, vel fratres duo cum duabus sororibus, in septennii canonem incidant, iis procul dubio separatis a nefario contubernio [6].

72. Non licere virum orthodoxum cum muliere hæretica conjungi, etc., *ut pag.* 883.

98. Qui alteri desponsatam mulierem eo adhuc vivo cui desponsata est, in nuptiarum ducit societatem, adulterii crimini subjiciatur.

Concilii unionis canones 1, 2, 3.

407 1. Tribus nuptiis quartas adjicere nemo præsumat, sed prorsus ab iis abstineat, ac recordetur se per tale facinus ab omni communi ecclesiastica, imo ab omni aditu domus sacræ exclusum iri per omne tempus quo isto vitæ genere utatur. Sic enim sanctis prius etiam quam nobis, placuit. Quam quidem sententiam dilucidaturi confirmamus ejusmodi nuptias moribus Christianis repugnare.

[4] Levit XVIII, 6. [5] Can. 88 et 68. [6] Vide can. 23 Basilii ad Amphiloch.

Digitized by Google Распознавание текста ABKJFR

2. Sed secundarum quoque tertiarumque nuptiarum conditiones excusatione opus habent utpote Christianorum moribus minus congruentes. Et tertiæ quidem a Patribus ipsis minus bene et non sine nota sorditatis commendabantur. Cum enim ob majorem verecundiam ea res pudore non vacabat, nec, ut nunc quidem, in mores ipsos transierat. Quod enim accidit ei qui rem obscenam in parte domus recondita viderit, ut flocci faciat, imo cum libertate de ea verba faciat, sic et nos quidquid sordidi inhæserit, ejicimus ac minus odiosum reddimus. Igitur debilitatis humanæ ratione habita et ea quæ Christianos decet, verecundia usi, ejusmodi nuptiis abstinendum esse existimamus. Nam qui quadragesimum attigerit annum, et nullo naturæ et decori quod a Christiana nunquam abesse vita potest, respectu ad tertiam curret uxorem, solo voluptatis stimulo excitatus, eum per quinquennium sacramentorum participatione privari jubemus cum omni severitate. Qui enim non erubuit in Christi Ecclesia hominis impuri partes re et verbo agere, parum dignus est qui clementia fruatur factorumque indulgentiam persequatur. Licet enim in sacrum cœtum receptus fuerit per gratiam, ista tamen receptio perfecta non erit sine resurrectionis Salvatoris nostri et Dei beneficio; quare abstinentiæ continentiæque 408 operam dando ad puritatis statum revertetur; puta ubi e prioribus connubiis liberi procreati non adsunt, post quadragesimum vitæ annum ad tertias convolare nuptias, fas esse quod facere nefas erit ubi nati superstites priora connubia annuntiant. Quid enim injustius quam libidini inopportunæ deditum, liberos a prioribus susceptos uxoribus negligere tanquam onus, molestiam, præsertim ubi liberorum abundantia est? Qui igitur triginta annos natus post susceptos ex uxoribus liberos tertias inierit nuptias, per quatuor annos sacrorum particeps ne esto mysteriorum, quippe quem nihil aliud, ut clarum est, nisi concupiscentia et effrenata libido ad nuptias compulit. Quod si postea mysteriis ei frui concedetur, ter per annum ad eucharistiam accedet, primo, tempore salutaris resurrectionis Jesu Christi et Dei; altera vice in assumptione immaculatæ Deiparæ; tertia vice in festo Jesu Christi Deique natalitio; quibus diebus jejunium erit exercendum. Deficientibus autem liberis tertias inire nuptias nemini probrum, siquidem paternitatis jura exercere honestum ac reprehensione haud dignum. Hæc de tertiis nuptiis disseruisse sufficiat.

β'. Ἵνα δὲ καὶ τὰ τῶν ἄλλων γάμων εὐσχημονέστερον τυπωθῇ, καὶ τοῦ τῶν Χριστιανῶν βίου μὴ ἀνάξιον ἔχῃ τὴν προσαγωγήν, καὶ περὶ τοῦ τρίτου ὁρίζομεν γάμου ὥστε μὴ ἁπλῶς μηδὲ ὡς ἔτυχεν ἐπιτελεῖσθαι αὐτόν· καὶ γὰρ συγκεχώρηται μὲν ὡς ῥύπασμα τοῖς Πατράσιν, οὐπώποτε καθὼς νῦν γινομένου τοῦ πράγματος ἀπηρυθριασμένου, οὐδ' εἰς πλάτος ἐξηπλωμένου, ἀλλ' ὥσπερ εἴ τις ἐν οἴκῳ παραπεπτωκὸς ἐν γωνίᾳ παρίδοι πολλάκις κείμενον ῥύπασμα· νῦν δὲ χώραν ἔλαβε παῤῥησίας, καὶ ὡς οὐδὲν ἔχον εἰς ἀσχημοσύνην οὐδὲ ῥυπαρὸν λογίζεται, ἐκ τοῦ προβῆναι εἰς πληθυσμόν, καλῶς ἔδοξεν ἀνακαθαίρειν αὐτὸ ὥσπερ καὶ αἶσχος οὐκ ἐν γωνίᾳ παρερριμμένον ἀλλ' ἐξηπλωμένον ἐπὶ τῆς οἰκίας, οὐδαμῶς ἐῶμεν, ἀλλὰ καθαίρομεν, καὶ τὸ ἐκ τούτου ἀηδὲς ἀποβάλλομεν· καὶ τῇ ἀνθρωπίνῃ τοίνυν συνυπείκοντες ἀσθενείᾳ καὶ τῆς πρεπούσης αἰσχύνης φροντίδα ποιούμενοι τῇ Χριστιανῶν ζωῇ, τοῦτο ἐπὶ τῶν τριγάμων παραφυλάττεσθαι διορίζομεν, ὥστε εἴ τις πρὸς τεσσαρακοστὸν ἀναβεβηκὼς ἔτος, καὶ μήτε τὴν φύσιν αἰδούμενος, μήτε τῆς ὀφειλομένης Χριστιανοῖς εὐκόσμου ζωῆς φροντίδα ποιούμενος, ἀλλὰ μόνης τῆς ἐμπαθοῦς ἐπιθυμίας γενόμενος, πρὸς τρίτον ἑαυτὸν ἐπιῤῥίπτοι γάμον. τοῦτον μετὰ πάσης ἀκριβείας καὶ παρατηρήσεως, μέχρι πενταετίας ἀμέτοχον εἶναι τῆς τοῦ ἁγιασμοῦ μεταλήψεως, καὶ μηδαμῶς ἐπ' αὐτῷ συντέμνεσθαι τὸν χρόνον. Ὃς γὰρ μετὰ τεσσαρακοστὸν ἔτος τὸ ῥύπασμα ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ εἶναι καὶ λέγεσθαι ἠγάπησε, τίνα παρέξει πληροφορίαν τῆς περὶ τὸν βίον αὐτοῦ σπουδῆς, δι' ἣν ὁ χρόνος τῆς μεταλήψεως τῶν ἁγιασμάτων αὐτῷ συντμηθήσεται; Ἀλλὰ γὰρ καὶ μετὰ τὸ ἀξιωθῆναι τῆς ἀχράντου μεταλήψεως, οὐκ ἔστι συγκεχωρημένον αὐτῷ ἐν ἄλλῳ καιρῷ τῇ μεταλήψει προσιέναι, ἢ ἐν μόνῃ τῇ τοῦ Σωτῆρος καὶ Θεοῦ ἡμῶν ἀναστάσει, διὰ τὴν ἐκ τῆς προηγουμένης ἐγκρατείας τῶν νηστειῶν ὅσον δυνατὸν ἀνακάθαρσιν. Ταῦτα δέ φαμεν, ὅταν μὴ τέκνα παρῇ ἐκ τῶν προτέρων γάμων, τοῖς ἤδη μετὰ τὸ τεσσαρακοστὸν ἔτος, τρίτην ἄγεσθαι προῃρημένοις γυναῖκα· ἐπεὶ ἐὰν τέκνα παρῇ, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία· λίαν γάρ ἐστιν ἄδικον, τὴν μὲν χαρίζεσθαι τῇ ἐξώρῳ ἐπιθυμίᾳ, τοῖς δὲ παισὶ τῶν προτέρων γάμων μὴ προνοεῖσθαι τὸ ἀσφαλὲς καὶ τὸ ἄλυπον καὶ ἀτάραχον, καὶ ὅσον οἷόν τὸ ἀνθρώπινον καταλαμβάνειν ἐκ τῆς πολυσπόρου τεκνώσεως. Καὶ εἴ τις δὲ τριακονταετὴς ὢν, καὶ τέκνα ἔχων ἐκ τῶν προλαβόντων γάμων, τρίτῃ συνάπτοιτο γυναικί, καὶ οὗτος ἀσυγχώρητος μέχρι τετάρτου ἔτους τῆς κοινωνίας τῶν ἁγιασμάτων, καὶ ἀμέτοχος ἔστω· διότι δῆλός ἐστιν ἐξ οὐδενὸς ἑτέρου, ἀλλ' ὑπὸ ἀκρασίας κινούμενος, καὶ τοῦ δοῦλος εἶναι σαρκικῆς ἐπιθυμίας, ἐπὶ τὸν τοιοῦτον γάμον ἐλθών· καὶ μετὰ τὸ τυχεῖν δὲ τῆς μεταλήψεως τῶν μυστηρίων τρὶς τοῦ ἐνιαυτοῦ μόνον ἀξιωθήσεται ἀπολαῦσαι. ἅπαξ μὲν, ἐν σωτηρίῳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἀναστάσει· δεύτερον, ἐν τῇ κοιμήσει τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου· καὶ τρίτον, ἐν τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν· διὰ τὸ καὶ ἐν ταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος. Εἰ δὲ παῖδες μὴ παρείησαν, ἐπειδὴ τὸ τεκνογονίας ἐπιθυμεῖν οὐκ ἀσύγγνωστον, τὸ τηνικαῦτα συγγνώμης ἀξιωθήσεται ὁ τοιοῦτος γάμος, καὶ μόνῳ τῷ ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν κρατήσαντι ἐπιτιμίῳ θεραπευθήσεται· ταῦτα μὲν καὶ περὶ τοῦ τρίτου γάμου.

3. Nec primus nec secundus torus periculis caret suis; alteruter enim ita comparatus esse debet ut

γ'. Οὐ μὴν οὐδὲ τὸν δεύτερον οὐδὲ τὸν πρῶτον ἐκτὸς ἀσφαλείας ἐῶμεν, ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτως

Digitized by Google Распознавание текста ABK/FR

συνίστασθαι, ὥστε μηδεμίαν ἔχειν πονηρὰν αἰτίαν, ἢ ἐξ ἁρπαγῆς, ἢ ἐκ προηγησαμένης λαθραίου φθορᾶς, ἀλλὰ νομίμως καὶ καθαρεύοντας τῶν τοιούτων μολυσμάτων καὶ τῆς πορνικῆς ἀκαθαρσίας· εἴ τις οὖν τῶν εἰρημένων καταφρονήσας τύπων, πρὸς γαμικὴν ὁμιλίαν πρώτην ἢ δευτέραν συνέλθοι, τοῦτον ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἡ καθαρὰ, καὶ μηδένα σπίλον ἔχουσα ἢ ῥυτίδα, τοῖς σωτηρίοις ὑποβάλλουσα ἐτασμοῖς, οὐ πρὶν εἰς μεταλήψιν παραδέξεται μυστηρίων, ἢ τὸν ὡρισμένον ἐπὶ τῇ πορνείᾳ χρόνον ἀκριβῶς ἐκπληρώσῃ· εἰ μὴ ἄρα ἡ τοῦ βίου ἀναγκαία κατεπείγει ἀναχώρησις, τουτέστι μέχρις ἂν τὸ ἕβδομον ἐκπληρωθῇ ἔτος· ὁ δὲ τολμῶν ἱερεὺς παρὰ τὸν διατετυπωμένον ὅρον μεταλήψεως θείας τινὰ τούτων ἀξιῶσαι, περὶ τὸν ἴδιον κινδυνεύσει βαθμὸν, δηλονότι τοῦ ἀξιωθέντος παρὰ τὸν ὡρισμένον τύπον τῆς θείας κοινωνίας πάλιν εἰς τὸ ἀκοινώνητον περιισταμένου, μέχρι τῆς συμπληρώσεως τοῦ ἑβδόμου ἔτους· ἀλλὰ τὰ σκάνδαλα δῆλον ταῦτα μὲν ὡς δεδήλωται ὑπὸ τῶν πάλαι βασιλευσάντων ἐπράχθησαν. Νῦν δὲ τῇ τοῦ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος εὐδοκίᾳ καὶ χάριτι, καὶ ταῖς τῆς πανάγνου καὶ θεομήτορος, καὶ ταῖς τοῦ μεγάλου ἀρχιστρατήγου πρεσβείας, τοὺς ἤδη πρὸ ἐνενήκοντα χρόνων ἕνεκεν τῆς προδηλωθείσης αἰτίας καὶ ἀφορμῆς ἀποῤῥαγέντας ἱερεῖς καὶ μονάζοντας, ἡ παγγάληνος βασιλεία τῶν θεοστεφῶν βασιλέων ἡμῶν Βασιλείου καὶ Κωνσταντίνου συνήψέ τε καὶ συνήνωσε, καὶ μίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν εἰργάσατο· ὅθεν χρεὼν ἀνακτορύττεσθαί τε καὶ μεγαλύνεσθαι τοὺς τοιοῦτον θεοφιλὲς καὶ ἀξιόλογον ἔργον πεπληρωκότας.

A causa prava non 409 subsit, ut raptus aut corruptio per seductionem. Suprema namque lex puritas et artium meretriciarum absentia. Si quis igitur iis quæ præmisimus, spretis primas aut secundas celebrat nuptias, cum Ecclesia Christi pura et immaculata salutariter experietur, nec prius ad mysteria admittet, quam fornicationem suam expiarit, ad septimum annum. Presbyter autem qui contra terminum redintegrationis aliquem in cœtum piorum receperit, cum sue ipsius periculo id facit. Nam homo ita receptus de statu gratiæ dejicietur per septennium. Hæc porro scandala eorum qui antiquius regni habenas tenebant, opus erant. Nunc autem Patris, et Filii, et Spiritus sancti benevolentia et gratia, necnon sanctissimæ Deiparæ et magni B exercituum ducis auxilio sacerdotes solitarios inde a nonaginta annis ob causam quam commemoravimus regnum placidum imperatorum nostrorum Basilii et Constantini conjunxit in unamque catholicam et apostolicam Ecclesiam coadunavit. Oportet igitur maximis laudibus efferri eos qui hoc opus divinum et excelsum perpetrarunt.

Βασιλείου κανὼν δ', ιη', κγ', κδ', μα', ν', νγ', ξζ', ξη', οε', οζ', οη', οθ', π'.

Basilii canones 4, 18, 23, 24, 41, 50, 53, 67, 68, 75, 76, 78, 79, 80.

δ'. Περὶ τριγάμων καὶ πολυγάμων, τὸν αὐτὸν ὥρισαν κανόνα, ὃν καὶ ἐπὶ τῶν διγάμων ἀναλόγως· ἐνιαυτὸν μὲν γὰρ ἐπὶ τῶν διγάμων, ἄλλοι δὲ δύο ἔτη· τοὺς δὲ τριγάμους, ἐν τρισὶ καὶ τέτρασι πολλάκις ἔτεσιν ἀφορίζουσιν. Ὀνομάζουσι δὲ τὸ τοιοῦτον οὐκέτι γάμον, ἀλλὰ πολυγαμίαν, μᾶλλον δὲ πορνείαν κεκολασμένην· διὸ καὶ ὁ Κύριος τῇ Σαμαρείτιδι πεντε ἄνδρας διαμειψάσῃ, Ὃν νῦν, φησὶν, ἔχεις, οὐκ ἔστι σου ἀνήρ· ὡς οὐκέτι ἀξίων ὄντων τῶν ὑπερεκπεσόντων τοῦ μέτρου τῆς διγαμίας, τῷ τοῦ ἀνδρὸς ἢ τῆς γυναικὸς καλεῖσθαι προσρήματι· συνήθειαν δὲ κατελάβομεν ἐπὶ τῶν τριγάμων, πενταετίας ἀφορισμὸν, οὐκ ἀπὸ κανόνος, ἀλλ' ἀπὸ τῆς τῶν προειληφότων ἀκόλουθον. Δεῖ δὲ μὴ πάντη αὐτοὺς ἀπείργειν τῆς Ἐκκλησίας, ἀλλ' ἀκροάσεως αὐτοὺς ἀξιοῦν ἐν δύο που ἔτεσιν ἢ τρισί· καὶ μετὰ ταῦτα ἐπιτρέπειν συστήκειν μὲν, τῆς δὲ κοινωνίας τοῦ ἁγιάσματος ἀπέχεσθαι· καὶ οὕτως ἐπιδειξαμένους καρπόν τινα μετανοίας, ἀποκαθιστᾷν τῷ τόπῳ τῆς κοινωνίας.

C 410 4. De trigamis et polygamis definire eumdem canonem, quem et de digamis, servata proportione: annum videlicet in digamis, alii vero duos annos. Trigamos autem tribus, et sæpe quatuor annis segregant. Id autem non amplius conjugium, sed polygamiam appellant, vel potius moderatam fornicationem. Quapropter et Dominus Samaritanæ, quæ maritos quinque per vices habuerat, *Quem nunc*, inquit, *habes, maritus non est* [7]: quippe quod ii qui digamiæ mensura exciderunt, digni non sint qui vel mariti vel uxoris nomine appellentur. Jam vero consuetudine accepimus in trigamis quinquennii segregationem, non a canonibus, sed eos qui præcesserunt sequendo. Oportet autem eos non omnino arcere ab Ecclesia, sed auditione dignari duobus vel tribus annis: ac posthac ipsis D permittere, ut consistant quidem, abstineant vero a boni communione, et sic, exhibito pœnitentiæ aliquo fructu, communionis loco restituere.

ιη'. Περὶ τῶν ἐκπεσουσῶν παρθένων, κ. τ. λ.

18. De lapsis virginibus, etc., *ut pag.* 858.

κγ'. Περὶ δὲ τῶν δύο ἀδελφὰς γαμούντων ἢ ἀδελφοῖς δυσὶ γαμουμένων, ἐπιστολίδιον ἡμῖν ἐκπεφώνηται, οὗ τὸ ἀντίγραφον ἀπεστείλαμέν σου τῇ εὐλαβείᾳ· ὁ δὲ ἀδελφοῦ ἰδίου γυναῖκα λαβὼν, οὐ πρότερον δεχθήσεται πρὶν ἀποστῆναι αὐτῆς.

23. De iis autem qui duas sorores uxores ducunt, vel de iis quæ duobus fratribus nubunt, a nobis edita est epistola, cujus misimus exemplar tuæ pietati. Qui autem sui fratris uxorem acceperit, non prius admittetur, quam ab ea recesserit.

κδ'. Χήραν τὴν καταλεγεῖσαν εἰς τὸν ἀριθμὸν τῶν χηρῶν, τουτέστι τὴν διακονουμένην ὑπὸ τῆς Ἐκκλησίας, ἔκρινεν ὁ Ἀπόστολος γάμου μένην παρορᾶσθαι·

411 24. Viduam, quæ in viduarum numerum relata est, hoc est, quæ ab Ecclesia alitur, judicavit Apostolus nubentem contemni debere [8]. Viro

[7] Joan. IV. 18. [8] I Tim. V, 11, 12.

Digitized by Google Распознавание текста ABK/FR

autem viduo lex imposita non est, sed tali sufficit pœna digamorum. Porro vidua sexaginta annos nata, si rursus una cum viro habitare voluerit, boni communione non dignabitur, donec ab impuritatis vitio destiterit. Sed si ante sexaginta annos eam ascripserimus, nostra est, non mulieris culpa.

41. *Quæ in viduitate habet sui potestatem, una cum viro habitare potest sine reprehensione, si nemo est qui conjugium divellat, cum Apostolus dicat : Si mortuus sit maritus, libera est ut nubat cui velit ; tantum in Domino* 9.

50. *Trigamiæ lex non est.* Quare lege matrimonium tertium non contrahitur. Ac talia quidem, ut Ecclesiæ inquinamenta, habemus. Sed condemnationibus publicis non subjicimus ut soluta fornicatione magis eligenda.

53. Vidua ancilla fortasse non multum lapsa est, quæ secundas nuptias per raptus speciem elegit. Quamobrem ob id incusanda non est. Non enim prætextus judicantur, sed voluntas. Illam autem, ut perspicuum est, manet digamiæ pœna.

67. Cum sorore coitus, homicidæ tempus in pœnitentia explebit.

68. Cognationis in humanis nuptiis prohibitæ conjunctio, si in peccatis deprehendatur, adulterorum pœnas subibit.

412 75. Qui cum sua ex patre vel ex matre sorore pollutus est, etc., *ut pag.* 806.

76. Eadem est ratio de iis quoque qui suas nurus accipiunt.

78. Eadem autem forma observetur et in eos qui sorores duas in matrimonium ducunt, etsi diversis temporibus.

79. Qui autem in suas novercas insaniunt, sunt eidem canoni obnoxii, cui et ii, qui insaniunt in suas sorores.

80. Polygamiam Patres silentio prætermisere, ut belluinam, prorsusque ab hominum genere alienam. Ea autem nobis videtur peccatum esse fornicatione majus. Quapropter consentaneum est eos subjici canonibus, ut scilicet postquam anno fleverint, et tribus substrati fuerint, sic suscipiantur.

Ejusdem ex epistola ad Diodorum Tarsensem de iis qui duas sorores ducunt, vel de feminis quæ duobus fratribus matrimonio conjunguntur.

Venerunt nobis litteræ nomine Diodori inscriptæ, etc., *ut pag.* 455.

Theophili archiepiscopi Alexandrini ad Agathonem.

Maximus asserit se Ecclesiæ leges ignorantem illicito matrimonio conjunctum esse, et quia hoc cum male habet quod non recte et ex ordine agat, affirmavit, qui contra leges facit per ignorantiam, se ab illicita vitæ societate ex consensu abstenturum, illa etiam hoc volente. Si ergo probaveris, quod hoc ex consensu faciant, et non fallant, quia

9 I Cor. VII, 39.

Ἀνδρὶ δὲ χηρεύσαντι, οὐδεὶς ἐπίκειται νόμος, ἀλλ' ἱκανὸν τῷ τοιούτῳ τὸ τῶν διγάμων ἐπιτίμιον. Ἡ μέντοι χήρα ἐξηκοντούτις γεγουῖα, ἐὰν θέλῃ πάλιν ἀνδρὶ συνοικεῖν, οὐ καταξιωθήσεται τῆς τοῦ ἁγαθοῦ κοινωνίας, ἕως ἂν τοῦ πάθους τῆς ἀκαθαρσίας παύσηται· ἐὰν μέντοι πρὸ ἑξήκοντα ἐτῶν ἀριθμήσωμεν αὐτὴν, ἡμέτερον τὸ ἔγκλημα οὐ τοῦ γυναίου.

μα'. Ἡ ἐν τῇ χηρείᾳ ἐξουσίαν ἑαυτῆς ἔχουσα συνοικεῖν ἀνδρὶ ἀνεγκλήτῳ, εἰ μηδείς ἐστιν ὁ διασπῶν τὸ συνοικέσιον· τοῦ Ἀποστόλου εἰπόντος· Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ.

να'. Τριγαμίας νόμος οὐκ ἔστιν, ὥστε νόμῳ τρίτος γάμος οὐκ ἄγεται· τὰ μέντοι τοιαῦτα, ὡς ῥυπάσματα τῆς Ἐκκλησίας ὁρῶμεν· δημοσίαις δὲ καταδίκαις οὐχ ὑποβάλλομεν, ὡς τῆς ἀνειμένης πορνείας αἱρετώτερα.

νγ'. Ἡ χήρα δούλη οὐ μέγα τι ἔπταισεν, ἑλομένη δεύτερον γάμον ἐν σχήματι ἁρπαγῆς· ὥστε οὐδὲν τούτου ἕνεκεν ἐγκαλεῖσθαι χρή· οὐ γὰρ τὰ σχήματα κρίνεται, ἀλλ' ἡ προαίρεσις· δῆλον δὲ ὅτι τὸ τῆς διγαμίας μένειν αὐτὴν ἐπιτίμιον.

ξζ'. Ἡ ἀδελφομιξία τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται.

ξη'. Ἡ τῆς ἀπειρημένης συγγενείας εἰς γάμον ἀνθρώπων σύστασις, εἰ φωραθείη ἐν ἁμαρτήμασι γεγενημένη, τὰ τῶν μοιχῶν ἐπιτίμια δέξεται.

οε'. Ὁ ἀδελφῇ ἰδίᾳ ἐκ πατρὸς ἢ ἐκ μητρὸς συμμιανθείς, κ. τ. λ.

οϛ'. Ὁ αὐτὸς τύπος καὶ περὶ τῶν τὰς νύμφας ἑαυτῶν λαμβανόντων.

οη'. Ὁ αὐτὸς δὲ κρατείτω τύπος καὶ ἐπὶ τῶν δύο ἀδελφὰς λαμβανόντων εἰς συνοικέσιον, εἰ καὶ κατὰ διαφόρους χρόνους.

οθ'. Οἱ δὲ ταῖς μητρυαῖς ἑαυτῶν ἐπιμαινόμενοι, τῷ αὐτῷ ὑπόκεινται κανόνι, ᾧ καὶ οἱ ταῖς ἑαυτῶν ἀδελφαῖς ἐπιμαινόμενοι.

A εἰ ἐπ' ἄλλον ἦλθεν ἀνδρα· ὁ δὲ καταλειφθεὶς συγγνωστὸς, καὶ ἡ συνοικοῦσα τῷ τοιούτῳ οὐ κατακρίνεται· εἰ μέντοι ὁ ἀνὴρ ὁ ἀποστὰς τῆς γυναικὸς ἐπ' ἄλλην ἦλθε, καὶ αὐτὸς μοιχός· διότι ποιεῖ αὐτὴν μοιχευθῆναι, καὶ ἡ συνοικοῦσα αὐτῷ μοιχαλὶς, διότι ἀλλότριον ἄνδρα πρὸς ἑαυτὴν μετέστησεν.

λε'. Ἐπὶ δὲ τοῦ καταλειφθέντος ἀνδρὸς ὑπὸ τῆς γυναικὸς, τὴν αἰτίαν χρὴ σκοπεῖν τῆς ἐγκαταλείψεως, κἂν φανῇ ἀλόγως ἀναχωρήσασα, ὁ μὲν συγγνώμης ἐστὶν ἄξιος, ἡ δὲ ἐπιτιμίου· ἡ δὲ συγγνώμη τούτῳ πρὸς τὸ κοινωνεῖν τῇ Ἐκκλησίᾳ δοθήσεται.

μη'. Ἡ δὲ ἐγκαταλειφθεῖσα παρὰ τοῦ ἀνδρὸς, κατὰ τὴν ἐμὴν γνώμην μένειν ὀφείλει ἄγαμος· εἰ γὰρ ὁ Κύριος εἶπεν· Ἐάν τις καταλίπῃ γυναῖκα ἐκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι, ἐκ τοῦ μοιχαλίδα αὐτὴν ὀνομάσαι, ἀπέκλεισεν αὐτὴν τῆς πρὸς ἕτερον κοινωνίας· πῶς γὰρ δύναται ὁ μὲν ἀνὴρ ὑπεύθυνος εἶναι ὡς μοιχείας αἴτιος, ἡ δὲ γυνὴ ἀνέγκλητος εἶναι, ἡ μοιχαλὶς παρὰ τοῦ Κυρίου διὰ τὴν πρὸς ἕτερον ἄνδρα κοινωνίαν προσαγορευθεῖσα;

οζ'. Ὁ μέντοι καταλιμπάνων τὴν νομίμως συναφθεῖσαν αὐτῷ γυναῖκα, καὶ ἑτέραν ἀγόμενος, κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν, τῷ τῆς μοιχείας ὑπόκειται κρίματι· κεκανόνισται δὲ παρὰ τῶν Πατέρων ἡμῶν, τοὺς τοιούτους ἐνιαυτὸν προσκλαίειν, διετίαν ἐπακροᾶσθαι, τριετίαν ὑποπίπτειν, τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσωσιν.

B

C Περὶ διαζεύξεως γάμου, ἐν πολλοῖς τόποις ὁ πολιτικὸς διαλέγεται νόμος (32), καὶ μάλιστα βιβλ. κε' τίτ. β', καὶ βιβλ. ε' τοῦ κώδ., τίτ. ιζ', καὶ ἐν τῇ περὶ γάμων Νεαρᾷ· τελειότερον δὲ ἡ ριζ' Νεαρα, ῥητῶς ἐκτιθεμένη τὰς αἰτίας καθ' ἃς ὁ ἀνὴρ ἢ ἡ γυνὴ δύναται ῥεπουδίου στελλομένου, εὐλόγως λῦσαι τὸν γάμον· εἰσὶ δὲ αἰτίαι καθ' ἃς ὁ ἀνὴρ εὐλόγως στέλλει ῥεπούδιον, καὶ τὴν προῖκα κερδαίνει, τὴν δεσποτείαν αὐτῆς φυλάττων τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισὶν εἴπερ εἰσὶν, ἐὰν σύνοιδέ τινας ἐπιβουλεύοντας τῇ βασιλείᾳ, καὶ τῷ ἰδίῳ μὴ φανερώσῃ ἀνδρὶ· ἐὰν αὐτῆς περὶ μοιχείας κατηγορῇ καὶ ἀποδείξῃ· ἐὰν ἐν οἱῳδήποτε τρόπῳ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσῃ, ἢ τοῦτο ἑτέροις συγγινώσκουσα, μὴ φανερώσῃ αὐτῷ· ἐὰν ἐξωτικοῖς ἀνδράσι συμποσιάζῃ ἢ συλλούηται μὴ βουλομένου τοῦ ἀνδρός· ἐὰν μὴ βουλομένου αὐτοῦ, ἔξω τοῦ υἱκου μείνῃ παρὰ τοῖς γονεῦσιν αὐτῆς· εἰ μὴ αὐτὸς χωρὶς τῶν εἰρημένων αἰτιῶν αὐτὴν ἐξωθῇ· ἡ δὲ γυνὴ στέλλει ῥεπούδιον, καὶ τὴν πρὸ γάμου δωρεὰν κερδαίνει, τὴν δεσποτείαν φυλάττουσα τοῖς ἐκ τοῦ

D

(32) Leges civiles, ad divortium quod attinet, haud raro repugnasse juri ecclesiastico, imo et evangelico, nimis heu exploratum est. Cæteroqui pro doctrina et constante traditione ecclesiastica legantur, compendii gratia, quæ docte scribuntur in insigni opere: *Tradition ou histoire de l'Eglise sur le sacrement du mariage*, t. III, p. 164, seqq. præcipueque p. 224, verba Nazianzeni ex orat. 31: *Lex quidem omnes ob causas libellum dat repudii: at Christus non ob omnem causam, sed separari tantum ab adultera uxore permittit:* Ὁ μὲν νόμος κατὰ πᾶσαν αἰτίαν τὸ ἀποστάσιον δίδωσι, Χριστὸς δ' οὐ κατὰ πᾶσαν αἰτίαν, ἀλλὰ συγχωρεῖ μὲν μόνον χωρίζεσθαι τῆς πόρνης. Idem infra dicendum ad ea quæ de concubinatu referuntur ex legibus.

Digitized by Google Распознавание текста ABBYY FR

αὐτοῦ γάμου παισὶν, εἴπερ εἰσὶν, ἐάν τι κατὰ τῆς βασιλείας βουλεύσηται· ἢ τοῦτο συνειδὼς ἑτέροις, μὴ φανερώσῃ τῇ βασιλείᾳ δι' ἑαυτοῦ ἢ δι' ἑτέρου· ἐὰν οἱαδήποτε τρόπῳ τῇ ζωῇ αὐτῆς ἐπιβουλεύσῃ, ἢ τοῦτο συνειδὼς ἑτέροις, μὴ φανερώσῃ αὐτῇ καὶ σπουδάσῃ κατὰ τοὺς νόμους ἐκδικῆσαι· ἐὰν τῇ σωφροσύνῃ αὐτῆς εἰς τὸ μοιχευθῆναι σπουδάσῃ ἐπιβουλεῦσαι· ἐὰν κατηγορήσας αὐτῆς ὁ ἀνὴρ περὶ μοιχείας, μὴ ἀποδείξῃ· ἐπὶ τούτου δὲ οὐ μόνον τὴν πρὸ γάμου δωρεάν ὁ ἀνὴρ ζημιοῦται, ἀλλὰ καὶ ἕτερον τρίτον αὐτῆς, ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας· καὶ τὰς τιμωρίας ὑφίσταται, ἃς ἔμελλεν ἡ γυνὴ καταδικαζομένη ὑφίστασθαι· ἐὰν ἑτέρᾳ συνοικῇ ἐν τῷ αὐτῷ οἴκῳ ἢ τῇ αὐτῇ πόλει, καὶ παρ' αὐτῆς, ἢ δι' ἑτέρου ὑπομνησθεὶς μὴ ἀπόσχοιτο· καὶ ἐπὶ τούτου δὲ ἕτερον μέρος τῆς πρὸ γάμου δωρεᾶς κερδαίνει, ναὶ αὐτοῦ τὴν δεσποτείαν φυλάττουσα τοῖς ἐπὶ γάμου παισίν· ἐὰν οὖν παρὰ ταύτας τὰς αἰτίας ἀνὴρ στείλῃ ῥεπούδιον, ἀπόλλει τὴν δωρεὰν καὶ ἄλλο τρίτον αὐτῆς· εἰ δὲ ἡ γυνὴ στείλῃ ἄλογον ῥεπούδιον, ἀπόλλει τὴν προῖκα, καὶ πρὸς τούτοις μοναστηρίῳ ἐμβάλλεται πᾶσαν τὴν ζωὴν αὐτῆς, καὶ τὰ πράγματα αὐτῆς διαιροῦνται· καὶ οἱ μὲν παῖδες λαμβάνουσιν οὐγγίας η', τὸ δὲ μοναστήριον οὐγγίας δ'· εἰ δὲ οὐκ εἰσὶ παῖδες ἀλλὰ γονεῖς μὴ συναινέσαντες τῷ ῥεπουδίῳ, αὐτοὶ μὲν λαμβάνουσιν οὐγγίας δ', τὸ δὲ μονάστήριον οὐγγίας η'· εἰ δὲ συνήνεσαν, ὅλην τὴν οὐσίαν τὸ μοναστήριον λαμβάνει· δυνατὸν δὲ ταῦτα λέγειν καὶ ἐπὶ ἀνδρὸς ἀλόγως ῥεπουδιατεύοντος ἐκ τῆς ριζ' Νεαρᾶς, λεγούσης ἴσας εἶναι τὰς ποινὰς τῶν ἀλόγων ῥεπουδίων· καὶ τὸν ἄνδρα ὁμοίως ὑποκεῖσθαι τοῖς κατὰ γυναικὸς ὁρισθεῖσιν· ἀζημίως διαλύεται γάμος, ἐὰν ὁ ἀνὴρ ἐπὶ τριετίαν μετὰ τὴν ἀρχὴν τοῦ γάμου μὴ δυνηθῇ τῇ γαμετῇ συγγενέσθαι, καὶ διὰ τὸ μονάσαι, καὶ ἐὰν ὁ ἀνὴρ αἰχμάλωτος γένηται, καὶ ἄδηλον μείνῃ ἐπὶ πενταετίαν εἰ ζῇ.

Τὸ δὲ κατὰ συναίνεσιν πρὸς τὸ συμφωνούμενον λύειν τὸν γάμον, εἴρητο μὲν πρώην· ἀνῃρέθη δὲ ἐκ τῆς εἰρημένης ριζ' Νεαρᾶς, αὖθις δὲ ἀνεκαινίσθη ὑπὸ Ἰουστινιανοῦ τοῦ βασιλέως· καὶ τὴν ἄπροικον γαμετὴν ὁ ἀνὴρ ἀλόγως ἐκβάλλων, δίδωσιν αὐτῇ τὸ τέταρτον τῆς αὐτοῦ περιουσίας τῆς καθαρᾶς· εἰ δὲ συμβῇ πατδας εἶναι πλείονας τῶν τριῶν, οὐ τὸ τέταρτον ἀλλὰ παιδὸς ἑνὸς ἀναλογίαν λαμβάνει· οὐ δύναται δὲ τὸ διδόμενον αὐτῇ, ὑπερβαίνειν τὰς ρ' τοῦ χρυσοῦ λίτρας· οὐχ ὑπόκειται δὲ τούτοις ἡ ἄπροικος γυνὴ, ἀλόγως τοῦ ἀνδρὸς ἀναχωροῦσα, ὡς ἡ αὐτὴ ριζ' Νεαρά.

Τοσοῦτον δὲ ἀκώλυτός ἐστιν ἡ τῶν γάμων διάλυσις, ὅτι εἴρηται βιβλ. με', τίτ. α', διάτ. ιε', ὡς ἐάν τις τῶν συνοικούντων ὁμολογῇ ποινὴν, ἐκ τοῦ παρ' αἰτίαν αὐτοῦ λυθῆναι τὸν γάμον, οὐκ ἔρρωται· ἀρκεῖ γὰρ ἡ τῷ νόμῳ ἐπὶ τῶν τοιούτων ὡρισμένη ποινή· εἰ μή ἄρα καὶ ἡ ἐπερώτησις τοσαύτην περιέχει· καὶ διάτ. ρλδ' τοῦ αὐτου τίτ. ὅτι οὐ καλῶς ἐπερωτῶ τινα ποινὴν ἐκ τοῦ μὴ γαμηθῆναί μοι·

cratur, si contra majestatem imperatoriam [maritus] consilium captaverit, vel ejus conscius, majestati non manifestaverit per ipsum vel per alium : 420 si quolibet modo maritus uxoris vitæ insidias posuerit, aut aliis de hoc consultantibus sciens prudensque non manifestaverit ipsi, nec secundum leges vindicare studuerit : si castitati ipsius, ut adulterio polluatur, insidiari tentaverit : si maritus, ubi uxorem de adulterio accusaverit, [crimen] non probaverit. His vero de [causis] maritus non solum donatione propter nuptias multatur, verum etiam alterum ejus trientem ex aliis suis bonis [amittit:] [cum] et pœnas sustinet, quas mulier damnata sustentura fuisset. Si [maritus] alteri in eadem domo eademve civitate cohabitet, et ab uxore aut ab alio admonitus non abstineat : etiam de hac [causa] trientem donationis ante nuptias alterum [uxor] lucratur, donationem ejus matrimonii liberis servatura. Si igitur extra has causas maritus repudium miserit, donationem [propter nuptias] ejusque alterum trientem perdit. Sin mulier citra rationem repudium mittat, dotem perdit et insuper per omnem vitam suam in monasterium conjicitur, bonaque ejus [ita] dividuntur, ut liberi octo uncias, monasterium vero quatuor capiat. At si liberi non fuerint, parentes autem [sint,] qui repudio non consenserint, illi uncias quatuor, monasterium octo capit. Sin vero consenserint, monasterium universam substantiam percipit. Possunt autem hæc etiam de viro citra causam repudiante dici, [idque] ex Novella 117, quæ pœnas temerariorum repudiorum æquales, et virum statutis in mulierem [pœnis] ex æquo obnoxium esse, dicit. Cæterum, sine damno solvitur matrimonium, si maritus per triennium post initum matrimonium cum uxore coire non potuerit, propter vitam monasticam etiam, et si maritus ab hostibus captus fuerit, ac an vivat ad quinquennium ignoretur.

Textus. Quod porro consensu 421 conjuges inter se matrimonium dirimere [possint] dictum fuit olim, abrogatum autem est per dictam 117 Novellam, sed postmodum renovatum ab imperatore Justino. Plane qui maritus indotatam uxorem citra rationem ejicit, dat illi puræ substantiæ suæ quadrantem. At si forte plures tribus liberi sint, non quadrantem, sed unius liberorum portionem [illa] accipit. Non potest autem quod illi datur, centum auri libras excedere. Huic [dationi] tamen quæ dotem non intulit mulier, si citra rationem a marito divertat (quomodo eadem 117 Novella [tradit]) non est obnoxia.

Textus. Usque adeo autem matrimoniorum dissolutio impediri nequit, ut lib. XLV, tit. 1, digest. 19 dicatur: Quod si quis conjugum pœnam spoponderit, si culpa sua divortium fiat, [promissio] non valet. Sufficit enim in talibus a lege constituta pœna : nisi si stipulatio tantumdem comprehendat et ejusdem tit. digest. 134. Non recte stipulor ab aliqua pœnam, si mihi non nubat, neque item quæ

Digitized by Google Распознавание текста ABK/FR

mihi jam nupta est, ab ea pœnam stipulari possum, si divortium fecerit. Eadem etiam de muliere a marito stipulante [intelligenda sunt] et lib. VIII, cod. tit. 38, const. 2. Invalide quis paciscitur, ne sibi divortium facere non liceat : et quæ pœna in hac stipulatione constituta est, irrita est.

A οὕτε μὴν τὴν ἤδη γαμηθεῖσαν μοι, ποινὴν ἐπερωτᾷν δύναμαι, ἐὰν λύσῃ τὸν γάμον · τὰ αὐτὰ καὶ περὶ γυναικὸς ἐπερωτώσης τὸν ἄνδρα · καὶ βιβλ. η' τοῦ κώδ., τίτ. λη', διάτ. β', ὅτι ἀνισχύρως τις πακτεύει μὴ ἐξεῖναι αὐτῷ λῦσαι τὸν γάμον, καὶ οὐκ ἔῤῥωται ἡ ἐπὶ τούτῳ ἐπερωτηθεῖσα ποινή.

CAP. V. — *De fornicatione, adulterio, stupro et masculorum concubitu.*

Apostolorum canon 61.

60. Si adversus fidelem aliqua accusatio intendatur, ut fornicationis, vel adulterii, vel alicujus alius prohibitæ actionis, et convictus fuerit, ad clerum non provehatur.

ΚΕΦΑΛ. Ε'. — Περὶ πορνείας, καὶ μοιχείας, καὶ φθορᾶς, καὶ ἀῤῥενοκοιτίας.

Ἀποστόλων κανὼν ξα'.

ξ'. Εἴ τις κατηγορία γένηται κατὰ πιστοῦ πορνείας ἢ μοιχείας ἢ ἄλλης τινὸς ἀπηγορευμένης πράξεως, καὶ ἐλεγχθείη, εἰς κλῆρον μὴ προαγέσθω.

423 *Concilii Ancyrani canon* 20.

20. Si alicujus uxor adulterata fuerit, vel quis eam adulteraverit, oportet eum in septem annis quod perfectum est assequi, per gradus qui eo deducunt.

Συνόδου Ἀγκύρας κανὼν κ'.

κ'. Ἐάν τινος γυνὴ μοιχευθῇ, ἢ μοιχεύσῃ τις, ἐν ἑπτὰ ἔτεσι δεῖ αὐτὸν τοῦ τελείου τυχεῖν, κατὰ τοὺς βαθμοὺς τοὺς προάγοντας.

Concilii Neocæsariensis canon 8.

8. Si alicujus uxor, etc., *ut pag.* 555.

Συνόδου Νεοκαισαρείας κανὼν η'.

η'. Γυνή τινος μοιχευθεῖσα λαϊκοῦ ὄντος, κ. τ. λ.

Concilii œcumenici VI *canones* 86, 87, 98.

86. Eos qui ad animarum lapsus, etc., *ut pag.* 751.

87. Quæ maritum reliquit est adultera, etc., *ut pag.* 906.

98. Qui alteri desponsam mulierem, etc., *ut pag.* 894.

Συνόδου οἰκουμενικῆς ἕκτης κανόνων πζ', πζ', ϛ η'.

πζ'. Τοὺς ἐπὶ ψυχῶν ὀλίσθῃ, κ. τ. λ.

πζ'. Ἡ τὸν ἄνδρα καταλιποῦσα μοιχαλίς ἐστιν, κ. τ. λ.

Basilii canones 7, 18, 21, 22, 25, 26, 30, 34, 37, 39, 49, 58, 59, 62, 77.

ϛ η'. Ὁ ἑτέρῳ μνηστευθεῖσαν γυναῖκα, κ. τ. λ.

Βασιλείου κανόνων ζ', ιη', κα', κβ', κε', κζ', λ', λδ', λζ', λθ', μθ', νη', νθ', ξβ', οζ'.

7. Masculorum et animalium corruptores, et homicidæ, et venefici, et adulteri, et idololatræ, eadem condemnatione digni habentur. Quare quam in aliis habes formam, in iis quoque serva. Ii autem qui triginta annos pœnitentiam egerunt propter immunditiam, quam in ignorantia fecerunt, quin recipiendi sint, ne dubitare quidem nos oportet. Nam eos venia dignos efficit et ignoratio, et spontanea confessio, et temporis tanta diuturnitas. Fere enim totam hominis ætatem Satanæ traditi sunt, ut discant non gerere se turpiter. Quamobrem jube eos absque dilatione suscipi, maxime si lacrymas habent, quæ tuam clementiam flectant, et vitam ostendunt commiseratione dignam.

ζ'. Ἀῤῥενοφθόροι, καὶ ζωοφθόροι, καὶ φονεῖς, καὶ φαρμακοὶ, καὶ μοιχοὶ, καὶ εἰδωλολάτραι, τῆς αὐτῆς κατακρίσεως εἰσὶν ἠξιωμένοι · ὥστε ὃν ἔχεις ἐπὶ τῶν ἄλλων τύπον, καὶ ἐπὶ τούτων φύλαξον · τοὺς δὲ ἐν τριάκοντα ἔτεσι μετανοήσαντας ἐπὶ τῇ ἀκαθαρσίᾳ ἣν ἐν ἀγνοίᾳ ἔπραξαν, οὐδ' ἀμφιβάλλειν ἡμᾶς προσῆκεν εἰς τὸ παραδέξασθαι · ἥ τε γὰρ ἄγνοια συγγνώμης αὐτοὺς ἀξίους ποιεῖ, καὶ τὸ ἑκούσιον τῆς ἐξαγορεύσεως, καὶ ἡ παράτασις ἡ ἐν τοσούτῳ χρόνῳ γενομένη · σχεδὸν γὰρ ὅλην γενεὰν ἀνθρώπου παρεδόθησαν τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ ἀσχημονεῖν · ὥστε κέλευσον αὐτοὺς ἤδη ἀνυπερθέτως δεχθῆναι, μάλιστα εἰ καὶ δάκρυα ἔχουσι δυσωποῦντα σου τὴν εὐσπλαγχνίαν, καὶ βίον ἐπιδείκνυνται ἄξιον συμπαθείας.

423 18. De virginibus lapsis, etc., *ut pag.* 858.

ιη'. Περὶ τῶν ἐκπεσουσῶν παρθένων, κ. τ. λ.

21. Si vir una cum uxore habitans, postea matrimonio non contentus, in fornicationem inciderit; fornicatorem eum judicamus, ipsumque longius producimus in impositis pœnis: sed tamen canonem non habemus, qui eum adulterii crimini subjiciat, si in solutam a matrimonio peccatum commissum sit: propterea quod adultera quidem, inquit, *Polluta polluetur* et ad virum suum non revertetur [25]; et, *Qui adulteram detinet, stultus est et impius* [24]: sed qui fornicatus est, non excludetur quominus cum uxore habitet. Quare uxor quidem a fornicatione revertentem virum suum excipiet: vir vero pollutam e suis ædibus ejiciet. Atque

κα'. Εἰ ἀνὴρ γυναικὶ συνοικῶν, ἐπειδὰν μὴ ἀρκεσθεὶς τῷ γάμῳ εἰς πορνείαν ἐμπέσῃ, πόρνον κρίνομεν τὸν τοιοῦτον · καὶ πλεῖον αὐτὸν παρατείνομεν ἐν τοῖς ἐπιτιμίοις · οὐ μέντοι ἔχομεν κανόνα τῷ τῆς μοιχείας αὐτὸν ὑπαγαγεῖν ἐγκλήματι, ἐὰν εἰς ἐλευθέραν γάμου ἡ ἁμαρτία γένηται · διότι ἡ μοιχαλὶς μὲν μιαινομένη, φησὶ ληθήσεται, καὶ οὐκ ἀναστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, καὶ Ὁ κατέχων μοιχαλίδα ἄφρων καὶ ἀσεβής · ὁ μέντοι πορνεύσας, οὐκ ἀποκλεισθήσεται τῆς πρὸς τὴν γυναῖκα αὐτοῦ συνοικήσεως · ὥστε ἡ μὲν γυνὴ ἀπὸ πορνείας ἐπανιόντα τὸν ἄνδρα αὐτῆς παραδέξεται, ὁ δὲ ἀνὴρ τὴν μιανθεῖσαν, τῶν οἴκων ἑαυτοῦ ἀποπέμψει · καὶ

[25] Jerem. III, 1. [24] Proverb. XVIII, 22.

Digitized by Google Распознавание текста ABK/FR

τούτων δὲ ὁ λόγος οὐ ῥᾴδιος, ἡ δὲ συνήθεια οὕτω κεκράτηκεν.

κβ'. Τοὺς ἐξ ἁρπαγῆς ἔχοντας γυναῖκας, εἰ μὲν ἄλλοις προμεμνηστευμένας εἶεν ἀφῃρημένοι, οὐ πρότερον χρὴ παραδέχεσθαι, πρὶν ἢ ἀφελέσθαι αὐτὰς αὐτῶν, καὶ ἐπ' ἐξουσίᾳ τῶν ἐξ ἀρχῆς μνηστευσαμένων ποιῆσαι, εἴτε βούλοιντο λαβεῖν αὐτὰς, εἴτε ἀποστῆναι· εἰ δὲ σχολάζουσάν τις λάβοι, ἀφαιρεῖσθαι μὲν δεῖ καὶ τοῖς οἰκείοις ἀποκαθιστᾷν· ἐπιτρέπειν δὲ τῇ γνώμῃ τῶν οἰκείων, εἴτε γονεῖς εἶεν, εἴτε ἀδελφοί, εἴτε οἱτινεσοῦν προεστῶτες τῆς κόρης· κἂν μὲν ἕλωνται αὐτῷ παραδοῦναι, ἵστασθαι τὸ συνοικέσιον· ἐὰν δὲ ἀνανεύωσι, μὴ βιάζεσθαι· τὸν μέντοι ἐκ διαφορᾶς εἴτε λαθραίας εἴτε βιαιοτέρας γύναικα ἔχοντα, ἀνάγκη τὸ τῆς πορνείας ἐπιγνῶναι ἐπιτίμιον· ἔστι δὲ ἐν τέσσαρσιν ὡρισμένη τοῖς πορνεύουσιν ἡ ἐπιτίμησις· χρὴ τῷ πρώτῳ ἐκβάλλεσθαι τῶν προσευχῶν, καὶ προσκλαίειν αὐτοὺς τῇ θύρᾳ τῆς ἐκκλησίας· τῷ δευτέρῳ δεχθῆναι εἰς ἀκρόασιν· τῷ τρίτῳ εἰς μετάνοιαν· τῷ τετάρτῳ εἰς σύστασιν μετὰ τοῦ λαοῦ, ἀπεχομένους τῆς προσφορᾶς, εἶτα αὐτοὺς ἐπιτρέπεσθαι τὴν κοινωνίαν τοῦ ἁγιασμοῦ.

κε'. Ὁ τὴν διεφθαρμένην ὑφ' ἑαυτοῦ εἰς γυναῖκα κατέχων, τὸ μὲν ἐπὶ τῇ φθορᾷ ἐπιτίμιον ὑποστήσεται, τὴν δὲ γυναῖκα ἔχειν συγχωρηθήσεται.

κϛ'. Ἡ πορνεία γάμος οὐκ ἔστιν, ἀλλ' οὐδὲ γάμου ἀρχή· ὥστε ἐὰν ᾖ δυνατὸν τοὺς κατὰ πορνείαν συναπτομένους χωρίζεσθαι, τοῦτο κράτιστον· ἐὰν δὲ στέργωσιν ἐκ παντὸς τρόπου τὸ συνοικέσιον, τὸ μὲν τῆς πορνείας ἐπιτίμιον γνωριζέτωσαν, ἀφιέσθωσαν δὲ ἵνα μὴ χεῖρόν τι γένηται.

λ'. Περὶ τῶν ἁρπαζόντων, κανόνα μὲν παλαιὸν οὐκ ἔχομεν, ἰδίαν δὲ γνώμην ἐποιησάμεθα, τρία ἔτη καὶ αὐτοὺς καὶ τοὺς συναρπάζοντας αὐτοῖς, ἔξω τῶν εὐχῶν γίνεσθαι· τὸ δὲ μὴ βιαίως γενόμενον, ἀνεύθυνόν ἐστιν ὅταν μὴ φθορὰ ᾖ, μηδὲ κλοπὴ ἡγουμένη τοῦ πράγματος· αὐτεξουσία δὲ ἡ χήρα καὶ ἐπ' αὐτῇ τὸ ἀκολουθῆσαι· ὥστε τῶν σχημάτων ἡμῖν οὐ φροντιστέον.

λδ'. Τὰς μοιχευθείσας καὶ ἐξαγορευούσας, κ. τ. λ.

λζ'. Μετὰ τὸ ἀφαιρεθῆναι τὴν ἀλλοτρίαν ὁ γαμήσας, ἐπὶ μὲν τῇ πρώτῃ μοιχείᾳ, ἐγκληθήσεται· ἐπὶ δὲ τῇ δευτέρᾳ, ἀνεύθυνος ἔσται.

λθ'. Ἡ τῷ μοιχῷ συζῶσα, μοιχαλίς ἐστι πάντα τὸν χρόνον.

μθ'. Αἱ πρὸς ἀνάγκην γενόμεναι φθοραὶ, ἀνεύθυνοι ἔστωσαν· ὥστε καὶ ἡ δούλη εἰ ἐδιάσθη παρὰ τοῦ οἰκείου δεσπότου, ἀνεύθυνος ἐστιν.

νη'. Ὁ μοιχεύσας, ἐν ἓξ καὶ πέντε ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων, ἐν τέσσαρι μὲν προσκλαίων ἔτεσιν, ἐν πέντε δὲ ἀκροώμενος, ἐν τέσσαρσιν ὑποπίπτων, ἐν δυσὶ συνεστὼς, ἄνευ κοινωνίας.

νθ'. Ὁ πόρνος ἐν ἑπτὰ ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων, δύο προσκλαίων, καὶ δύο ἀκροώμενος, καὶ δύο ὑποπίπτων, καὶ ἑνὶ συνεστώς· μόνον τῷ ὀγδόῳ δεχθήσεται εἰς κοινωνίαν.

horum quidem ratio non facilis, sed consuetudo sic invaluit.

22. Qui ex raptu mulieres habent, siquidem aliis jam desponsas abripuerint, ante admittendi non sunt, quam ab eis ablatæ sint et eorum quibus ab initio desponsæ erant, potestati redditæ, utrum eas velint accipere an desistere. Si quis autem vacantem acceperit, auferre quidem oportet, suisque restituere, et ipsorum voluntati permittere, sive sint parentes, sive fratres, sive quivis alii puellæ moderatores : ac si ei quidem tradere velint, oportet matrimonium constituere : sin autem renuerint, nequaquam vim inferre. Eum autem qui ex stupro, sive latenti sive violento, uxorem habet, necesse est fornicationis pœnam agnoscere. Est autem in quatuor annis præfinita fornicantibus pœna. Oportet eos anno primo a precibus expelli, et flere ad fores ecclesiæ : secundo ad auditionem admitti, tertio ad pœnitentiam : 424 quarto ad standum una cum populo, abstinentes ab oblatione : deinde eis permitti boni communionem.

25. Qui a se stupratam pro uxore detinet, stupri quidem pœnam subibit, sed ei licebit eam uxorem habere.

26. Fornicatio matrimonium non est, sed ne matrimonii quidem initium. Quare si fieri potest, ut qui per fornicationem conjuncti sunt, separentur, id quidem optimum est. Sin autem eis omnino placeat conjugium, fornicationis quidem pœnam agnoscant; sed minime separentur, ne quid deterius accidat.

30. De iis qui rapiunt, canonem quidem antiquum non habemus, sed propriam sententiam proferimus, ut et ipsi et qui una cum ipsis rapiunt, tribus annis sint extra preces. Quod autem violenter non sit, pœnæ nulli obnoxium est, si nec stuprum nec furtum rem præcesserit. Est autem vidua sui juris, et sequendi potestas penes ipsam est. Quare simulationum ac prætextuum cura nulla nobis habenda est.

34. Mulieres adulterio pollutas, etc., *ut pag.* 806.

37. Qui aliena sibi ablata uxorem duxit, in prima quidem adulterii crimen sustinebit, in secunda vero reus non agetur.

39. Quæ vivit cum adultero, adultera est omni tempore.

49. Stupra quæ per vim inferuntur, non sint accusationi obnoxia. Quare etiam serva, si vis ei a proprio hero illata sit, libera est a culpa.

58. Qui mœchatus est, per quindecim annos sacramentorum non erit particeps : quatuor annis flens, quinque audiens, quatuor substratus, per duos consistens sine communione.

425 59. Fornicator septem annis sacramento rum non erit particeps, duobus flens, et duobus audiens, et duobus substratus, et uno consistens: tantum octavo ad communionem admittetur.

Digitized by Google Распознавание текста ABK/FR

62. Qui turpitudinem in maribus patravit, tempus illius qui adulterii scelus admisit, ei dispensabitur.

77. Qui relinquit, etc., *ut pag.* 907.

G regorii Nyssent cap. 3.

Eorum autem quæ ad cupiditatem et voluptatem fiunt peccatorum, etc., *ut pag.* 807.

Textus. De stupro, adulterio, atque prædicatione tractat lex in lib. IX cod. tit. 9, et lib. XLVIII, titulo 5, talia delinquentibus pœnam inducens capitalem. Ubi [etiam] dicitur, quod adulterii accusatio non solum ob stupratam legitimam conjugem, verum etiam de instabili atque illegitimo matrimonio et sponsalibus, et de concubinatu instituatur.

Textus. Proinde fornicatio non laudatur quidem a civili lege, neque tamen prohibetur. Etenim dicitur lib. XII, tit. 5, dig. 4 : Quod meretrici datur, non redditur. Cum enim meretrix sit, non turpe est ipsam accipere, tametsi meretricem esse turpe sit. Et lib. XXXIX, tit. 5, digest. 6, quod etiam ob inhonestam causam recte donetur, veluti [si] meretrici [quippiam detur] : atque [id] ratum sit. Et lib. XLVII, tit. 2, digest. 39. Qui alienam ancillam meretricem rapuit, aut celavit, neque tanquam plagiarius, neque tanquam fur tenetur. Non enim furti, sed libidinis causa id fecit. Nam si quis fores meretricis effregerit, et alii ingressi, non [autem] ab ipso inducti, res ejus furati fuerint : [is] non tenetur tanquam fur.

Textus. Dicit vero etiam lib. XXXVIII tituli 8, quod 426 vulgo quæsiti non modo matri, sed etiam cognatis materni generis succedant, et [ipsis] ab his succedatur. Illustris autem [mulier] quæ liberos legitimos et spurios habet : non potesi spuriis, neque inter vivos, neque cum moritur, quidquam suppeditare : quomodo lib. VI, C. tit. 57, const. 5. [tradit.] Plane vulgo conceptus neque patrem habere dicitur : quemadmodum lib. I, tit. 5, dig. 23. Porro concubinatus legitimus est, et eas sine crimine concubinas habere possumus, in quas illicita non committuntur : veluti [fit] in concubina patris, vel avi aut in filia sororis : ut lib. XXV, tit. 7, et lib. XXIII, tit 2, digest. 55, et lib. XLVIII, tit. 5, digest. 11 [docent.] In concubinatu autem esse possunt libertinæ, et ingenuæ obscuro loco natæ. Qui vero ingenuam [eamdem] honestamque in concubinatu habet, contestationem super hoc facere debet : alioquin uxorem ipsam habet; vel si hoc recusat, stuprum cum ea committit, nam concubinatus nomen a legibus agnoscitur ; unde lib. VI, cod. tit. 67, const. 5, dicitur, quod [mulier] libera, quæ legitime cum homine libero in concubinatu est, [liberos] ex illa consuetudine natos, cum legitimis liberis hæredes habitura sit. Breviter, permulta [de] concubinarum liberis, sive illegitimis et naturalibus lex in cod. et Novellis complectitur, docens, quinam [illi] sint, et quomodo patri legitimi fieri, et quando ac quantum ex paternis bonis percipere possint.

ξβ'. Ὁ τὴν ἀσχημοσύνην ἐν τοῖς ἄρρεσιν ἐπιδεικνύμενος, τὸν χρόνον τοῦ ἐν τῇ μοιχείᾳ παρανομοῦντος οἰκονομηθήσεται.

οζ'. Ὁ μέντοι καταλιμπάνων, κ. τ. λ.

Γρηγορίου Νύσσης κεφ. γ'.

Τῶν δὲ δι' ἐπιθυμίαν τε καὶ ἡδονὴν γινομένων ἁμαρτημάτων τοιαύτη ἐστὶν ἡ διαίρεσις, κ. τ. λ.

Κείμενον. Περὶ φθορᾶς καὶ μοιχείας καὶ ἀῤῥενοκοιτίας διαλαμβάνει ὁ νόμος, βιβλ. θ' τοῦ κώδ., τίτ. θ', καὶ βιβλ. μη', τίτ. ε', κεφαλικὴν τοῖς ταῦτα πλημμελοῦσιν ἐπάγων τιμωρίαν · ἔνθα εἴρηται ὅτι τὸ μοιχικὸν, οὐ μόνον ἐπὶ φθορᾷ νομίμου γαμετῆς κινεῖται, ἀλλὰ καὶ ἐπὶ ἀσυστάτου καὶ ἀθεμίτου γάμου καί μνηστείας καὶ παλλακισμοῦ.

Κείμενον. Ἡ μέντοι πορνεία οὐκ ἐπαινεῖται μὲν παρὰ τῷ πολιτικῷ νόμῳ, οὐκ ἀπηγόρευται δέ · ἀμέλει εἴρηται βιβλ. ιβ', τίτ. ε', διάτ. δ', ὅτι τὸ διδόμενον πόρνῃ, οὐκ ἀποδίδοται · ἐπειδὴ γάρ ἐστι πόρνη, οὐκ ἔστιν αἰσχρὸν τὸ λαβεῖν αὐτὴν, εἰ καὶ αἰσχρόν ἐστι τὸ εἶναι αὐτὴν πόρνην · καὶ βιβλ. λθ', τίτ. ε', διάτ. ϛ', ὅτι καὶ διὰ ἀσεμνον αἰτίαν γίνεται καλῶς δωρεὰ, οἷον εἰς πόρνην, καὶ ἔῤῥωται · καὶ βιβλ. μζ', τίτ. β' διάτ. λθ', ὅτι ὁ ἁρπάζων ἢ ἀποκρύπτων ἀλλοτρίαν δούλην πόρνην οὖσαν, οὔτε ὡς ἀνδραποδιστὴς, οὔτε ὡς κλέπτης ἐνέχεται · οὐ γὰρ κλοπῆς, ἀλλ' ἡδονῆς χάριν ἐποίησε τοῦτο · εἰ γὰρ καὶ θυρίδας τις κλάσει, καὶ εἰσελθόντες ἕτεροι μὴ παρ' αὐτοῦ εἰσαχθέντες κλέψουσι τὰ πράγματα αὐτῆς, οὐκ ἐνέχεται ὡς κλέπτης.

Κείμενον. Λέγει δὲ καὶ βιβλ. λη', τίτ. η', ὅτι οἱ πορνογεννεῖς οὐ μόνον τῆς μητρὸς, ἀλλὰ καὶ τῶν κατὰ μητέρα συγγενῶν κληρονομοῦσι, καὶ ὑπ' αὐτῶν κληρονομοῦνται · ἡ δὲ ἰλλουστρία νομίμους ἔχουσα πάτδας πορνογεννεῖς, οὐδὲν δύναται παρασχεῖν τοῖς πορνογεννέσιν, οὔτε ζῶσα, οὔτε τελευτῶσα, ὡς βιβλ. ϛ' τοῦ κώδ., τίτ. νζ', διάτ. ε' · ὁ δὲ ἀπὸ πορνείας, οὔτε λέγεται ἔχειν πατέρα, ὡς βιβλ. α', τίτ. κγ' · ὁ μέντοι παλλακισμὸς νόμιμός ἐστι, κἀκείνας ἔχειν δυνάμεθα παλλακὰς ἄνευ ἐγκλήματος, πρὸς ἃς οὐ πλημμελεῖται ἀθέμιτον, οἷον τὴν παλλακὴν τοῦ ἰδίου πατρὸς ἢ πάππου, ἢ τὴν θυγατέρα τῆς ἰδίας ἀδελφῆς, ὡς βιβλ. κε', τίτ. ζ', καὶ βιβλ. κγ', τίτ. β', διάτ. νε', καὶ βιβλ. μη', τίτ. α', διάτ. ια · παλλακεύονται δὲ αἱ ἀπελεύθεροι καὶ εὐγενεῖς ἄσημοι · ὁ γὰρ εὐγενῆ καὶ σεμνὴν παλλακευόμενος, χρῄζει περὶ τούτου ποιεῖν ἐκμαρτύριον, ἐπεὶ γαμετὴν αὐτὴν ἔχει · καὶ ἡ τοῦτο παραιτούμενος, ἀθέμιτον πρὸς αὐτὴν πλημμελεῖ, οὐ μὲν καὶ μοιχείαν, ἐπειδὴ τὸ τῆς παλλακῆς ὄνομα τοῖς νόμοις ἔγνωσται · ὅθεν εἴρηται βιβλ. ϛ' τοῦ κώδ., τίτ. νζ', διάτ. ε', ὅτι ἡ ἐλευθέρᾳ νομίμως ἐλευθέρῳ παλλακευθεῖσα, τοὺς ἐκ τῆς τοιαύτης συναφείας τεχθέντας, ἕξει κληρονόμους μετὰ τῶν νομίμων παίδων · καὶ ἁπλῶς εἰπεῖν πολλὰ περὶ τῶν ἀπὸ παλλακῶν τικτομένων, ἤγουν νόθων καὶ φυσικῶν, ὁ νόμος ἐν τῷ κώδ. καὶ ταῖς Νεαραῖς διαλαμβάνει, διδάσκων τίνες εἰσὶ, καὶ πῶς δύνανται γενέσθαι τῷ πατρὶ γνήσιοι, καὶ πότε καὶ πόσον δύνανται λαβεῖν τῶν τοῦ πατρὸς πραγμάτων.

Digitized by Google Распознавание текста ABK/FR

Κείμενον. Καὶ δούλας δὲ ἰδίας δυνάμεθα παλλακεύεσθαι· εἴρηται γὰρ βιβλ. ς' τίτ. ς', διάτ. δ', ὅτι ἡ τῷ δεσπότῃ μέχρι τελευτῆς αὐτοῦ παλλακευθεῖσα, μὴ ἔχοντα γαμετὴν νόμιμον, ἁρπάζεται μετὰ τῶν παίδων αὐτῆς εἰς εὐγένειαν, καὶ λαμβάνει τὸ πεκούλιον ὅπερ εἶχεν ἐν τῷ τελευτᾷν τὸν δεσπότην πρὸς τὸ νόμιμον μέτρον· καὶ οὐκ ἔχουσι κατ' αὐτῆς πατρωνικὸν δίκαιον οἱ πατδες, ἢ οἱ κληρονόμοι, ἢ οἱ συγγενεῖς τοῦ τελευτήσαντος· καὶ βιβλ. ζ' τοῦ αὐτοῦ κώδ., τίτ. ιε', διάτ. γ' φησὶν, ὅτι ὁ δούλην παλλακὴν μέχρι τελευτῆς ἐσχηκὼς, δύναται περιὼν, ὅπερ ἐθέλει ποιεῖν ἐπ' αὐτῇ, καὶ τοῖς ὡς εἰκὸς ἐξ αὐτῆς τεχθεῖσι, καὶ ἐν τελευταίᾳ βουλήσει καταλεμπάνειν ἄλλῳ, ἢ ῥητῶς τῷ κληρονόμῳ· εἰ δὲ τελευτήσει μηδὲν εἰπών, ἀναρπάζονται εἰς ἐλευθερίαν καὶ οἱ ὡς εἰκὸς τεχθέντες· ταῦτα ἐν ᾧ μὴ ἔσχεν ὁ τελευτήσας νόμιμον γαμετήν· ὁ γὰρ νόμιμον ἔχων γαμετὴν, οὔτε ἐλευθέραν, οὔτε δούλην δύναται παλλακεύεσθαι· τὸ δὲ μοιχικὸν κινεῖται καὶ περὶ φθορᾶς παλλακῆς, ὡς βιβλ. μη', τίτ. ε', διάτ. ιβ', ιγ'· παλλακὴ δὲ ἐστιν ἡ νομίμως τινὶ συζῶσα χωρὶς γάμου· ἡ δὲ ἧττον τιμιωτέρα, παρακοιτις λέγεται, ὡς βιβλ. ν', τίτ. ιβ', διάτ. ρμδ'.

ΚΕΦΑΛ. ς'. — Ἐὰν γυνὴ λαϊκοῦ μοιχευθῇ.

Συνόδου Ἀγκύρας κανὼν κ'.

κ'. Ἐάν τινος γυνὴ μοιχευθῇ ἢ μοιχεύσῃ τις, κ.τ.λ.

Συνόδου Νεοκαισαρείας κανὼν η'.

η'. Γυνή τινος μοιχευθεῖσα λαϊκοῦ ὄντος, κ. τ. λ.

Ἀνάγνωθι τὰ παρεγγραφέντα ἐν τῷ λβ', κεφ. τοῦ α' τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛ. ζ'. — Περὶ φθορᾶς, καὶ γάμου χήρας, καὶ τίς λέγεται χήρα.

Βασιλείου κανὼν ιη', κδ'.

ιη'. Περὶ τῶν ἐκπεσουσῶν παρθένων, κ. τ. λ.

κδ'. Χήραν τὴν καταλεγεῖσαν, κ. τ. λ.

ΚΕΦΑΛ. η'. — Περὶ τῶν ἐπὶ γάμῳ γυναῖκας ἁρπαζόντων, ἢ βιαζομένων, ἢ φθειρόντων παρθένους, καὶ περὶ συνιστόρων αὐτῶν.

Ἀποστόλων κανὼν ξζ'.

ξζ'. Εἴ τις παρθένον ἀμνήστευτον βιασάμενος ἔχει, κ. τ. λ.

Συνόδου Ἀγκύρας κανὼν ια', κε'.

ια'. Τὰς μνηστευθείσας κόρας, κ. τ. λ.

κε'. Μνηστευσάμενός τις κόρην, κ. τ. λ.

Συνόδου Χαλκηδόνος κανὼν κζ'.

κζ'. Τοὺς ἁρπάζοντας γυναῖκας, κ. τ. λ.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ξβ'.

ξβ'. Τοὺς ἁρπάζοντας γυναῖκας, κ. τ. λ.

Βασιλείου κανὼν κβ', λ', νγ'.

κβ'. Τοὺς ἐξ ἁρπαγῆς ἔχοντας γυναῖκας, κ. τ. λ.

Textus. Proinde et ancillas nostras in concubinatu habere possumus. Dicitur namque lib. VI, tit. 4, const. 4, quæ [ancilla] domini sui legitimam uxorem non habentis, usque ad mortem ejus concubina fuerit, [eam] cum liberis suis in ingenuitatem rapi, et supra legitimam portionem peculium, quod 427 cum dominus moreretur habebat, capere : neque liberos, aut hæredes, aut cognatos defuncti in illam jus patronatus habere. Et lib. VII ejusdem cod. tit. 15, const. 3, ait : Qui ancillam ad mortem usque in concubinatu habet : potest dum vivit, de illa, et qui forte ex ipsa nati erunt, quod visum fuerit, statuere, et in ultima voluntate nominatim alii hæredi relinquere. Sed si moriens nihil dixerit, in libertatem [illa], et qui forte ex ea nati fuerint, eripiuntur : dummodo [tamen] defunctus legitimam uxorem non habuerit. Etenim qui uxorem habet, neque liberam, neque servam in concubinatu habere potest. Plane adulterii accusatio ob stupratam concubinam etiam instituitur : quomodo lib. XLVIII, tit. 5, digest. 12 [et] 13 [docent.] Cæterum concubina est, quæ legitime cum aliquo sine nuptiis vivit : et puæ minus honesta est, pellex vocatur : ut lib. D, tit. 10, digest. 144 [traditur].

CAP. VI. — *Quid si laici uxor fiat adultera. Concilii Ancyrani canon* 20.

20. Si alicujus uxor adulterata fuerit, etc., *ut pag.* 911.

Concilii Neocæsariensis canon 8.

8. Si alicujus uxor, etc., *ut pag.* 555.

Lege quæ adnotata sunt in cap. 32, tit. 1, præsentis operis.

CAP. VII. — *De stupro, et de viduæ nuptiis et quænam dicatur vidua.*

Basilii canones 18, 24.

18. De lapsis virginibus, etc., *ut pag.* 858.

24. Viduam quæ in viduarum numerum, etc., *ut pag.* 898.

428 CAP. VIII. — *De iis qui matrimonii causa rapuerint mulieres, vel violentum stuprum virginibus inferunt et de consciis ipsorum.*

Apostolorum canon 67.

67 [66]. Si quis virginem non desponsatam vi allata habet, etc., *ut pag.* 786.

Concilii Ancyrani canones 18, 25.

18. Desponsatas aliis puellas, etc., *ut pag.* 786.

25. Quidam cui erat puella desponsata, etc., *ut pag.* 786.

Concilii Chalcedonensis canon 27.

27. Eos qui nomine conjugii mulieres rapiunt, etc., *ut pag.* 750.

Concilii œcumenici VI *canon* 92.

92. Eos qui nomine matrimonii mulieres rapiunt, etc., *ut pag.* 786.

Basilii canones 22, 30, 53.

22. Qui ex raptu mulieres habent, etc., *ut pag.* 914.

Digitized by Google Распознавание текста ABK/ER

30. De iis qui rapiunt canonem quidem antiquum non habemus, etc., *ut pag.* 914.

53. Vidua ancilla fortasse, etc., *ut pag.* 899.

Lege quæ annotata sunt in cap. 32 tit. 1 præsentis operis.

429 CAP. IX. — *De iis qui præter parentum aut dominorum sententiam nubunt.*

Basilii canones 38, 40, 42.

38. Puellæ, quæ præter patris sententiam secutæ sunt, fornicantur : reconciliatis autem parentibus videtur res remedium accipere ; non tamen statim in communionem restituuntur, sed triennio punientur.

40. Quæ præter heri sententiam se viro tradit, fornicata est ; quæ vero postea matrimonio libero usa est, nupsit : quare illud quidem fornicatio est : hoc vero matrimonium. Nam pacta eorum, qui sunt in alterius potestate, nihil habent firmi.

42. Matrimonia sine iis qui potestatem habent, fornicationes sunt. Neque ergo vivente patre, neque hero, qui conveniunt extra reprehensionem sunt, quemadmodum si annuant cohabitationi, quos penes hujus rei est arbitrium, tunc firmitatem conjugii accipit cohabitatio.

Textus. Quæ quive in alterius potestate sunt, non possunt legitime matrimonium contrahere, non consentiente eo qui illos in potestate habet : ut lib. v cod. tit. 4, et lib. XXIII, tit. 2 [traditur] : extra quam si [quis] filiam viginti quinque annos natam [in matrimonium] elocare differat. Tunc enim [illa] liberæ conditionis homini seipsum [matrimonio] jungere potest : quemadmodum quæ de ingratitudine hæredum [speciat] Novella 112 [docet].

CAP. X. — *De feminis quæ partus suos interimunt ex fornicatione conceptos.*

Concilii Ancyrani canon 21.

21. De mulieribus, quæ sunt fornicatæ, et fetus in utero perimunt, et fetuum necatoriis medicamentis faciendis dant operam, prior quidem 430 definitio usque ad vitæ exitum prohibebat, et ei quidam assentiuntur. Sed humanitate tamen utentes, decrevimus, ut decennium per gradus præfinitos impleant.

Concilii œcumenici VI *canon* 91.

91. Eas quæ dant abortionem facientia medicamenta, et quæ fetus necantia venena accipiunt, homicidæ pœnis subjicimus.

Basilii canones 2, 8, 52.

2. Quæ de industria fetum corrupit, cædis pœnas luit. De formato autem aut informi subtilius non inquirimus. Hic enim non id modo quod nasciturum erat, vindicatur, sed etiam illa ipsa, quæ sibi insidias paravit, quoniam ut plurimum intereunt in ejusmodi inceptis mulieres. Huc autem accedit et fetus interitus, cædes altera, saltem si consilii eorum qui hæc audent, ratio habeatur. Oportet autem non ad obitum usque pœnitentiam earum extendere, sed decem quidem annorum mensuram

λ'. Περὶ τῶν ἁρπαζόντων, κανόνα μὲν παλαιὸν οὐκ ἔχομεν, κ. τ. λ.

νγ'. Ἡ χήρα δούλη, κ. τ. λ.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ λ' κεφ. τοῦ θ' τίτ. τούτου τοῦ συντάγματος.

ΚΕΦΑΛ. ϑ'. — Περὶ τῶν παρὰ γνώμην τῶν οἰκείων γονέων ἢ δεσποτῶν γαμούντων.

Βασιλείου κανὼν λη', μ', μβ'.

λη'. Αἱ κόραι αἱ παρὰ γνώμην Πατρὸς ἀκολουθήσασαι, πορνεύουσι · διαλλαγέντων δὲ τῶν γονέων, δοκεῖ θεραπείαν λαμβάνειν τὸ γεγονός · οὐκ εὐθὺς δὲ εἰς τὴν κοινωνίαν ἀποκαθίστανται, ἀλλ' ἐπιτιμηθήσονται τρία ἔτη.

μ'. Ἡ παρὰ γνώμην τοῦ δεσπότου ἀνδρὶ ἑαυτὴν ἐκδιδοῦσα, ἐπόρνευσεν · ἡ δὲ μετὰ ταῦτα πεπαρβησιασμένῳ γάμῳ χρησαμένη, ἐγήματο · οὔτε ἐκεῖνο μὲν πορνεία, τοῦτο δὲ γάμος · αἱ γὰρ συνθῆκαι τῶν ὑπεξουσίων, οὐδὲν ἔχουσι βέβαιον.

μβ'. Οἱ ἄνευ τῶν κρατούντων γάμοι, πορνεῖαί εἰσιν · οὔτε οὖν πατρὸς ζῶντος, οὔτε δεσπότου, οἱ συνιόντες ἀνεύθυνοί εἰσιν · ὥστε ἐὰν ἐπινεύσωσιν οἱ κύριοι τὴν συνοίκησιν, τότε λαμβάνει ὁ γάμος τὸ βέβαιον.

Ἡ ὑπεξουσία ἢ ὁ ὑπεξαύσιος, οὐ δύνανται νομίμως γαμεῖν, μὴ συναινοῦντος τοῦ ἔχοντος αὐτοὺς ὑπεξουσίους, ὡς βιβλ. ε' τοῦ κώδ., τίτ. δ', καὶ βιβλ. κγ', τίτ. β' · εἰ μὴ γεγονυῖαν τὴν θυγατέρα κε' ἐνιαυτῶν ὑπερέθετο ζεύξαι · τότε γὰρ ἑαυτὴν ἐλευθέρῳ ζεῦξαι δύναται, ὡς ἡ περὶ τῶν ἐπὶ κλήρῳ ἀχαριστιῶν ρβ'.

ΚΕΦΑΛ. Ι. — Περὶ πορνευούσων καὶ ἀναιρουσῶν τὰ τικτόμενα.

Συνόδου Ἀγκύρας κανὼν κα'.

κα'. Περὶ τῶν γυναικῶν τῶν ἐκπορνευουσῶν καὶ ἀναιρουσῶν τὰ γεννώμενα, καὶ σπουδαζουσῶν φθόρια ποιεῖν, ὁ μὲν πρότερος ὅρος μέχρις ἐξόδου ἐκώλυε, καὶ τούτῳ συντίθενται · φιλανθρωπότερον δέ τι εὑρόντες, ὡρίσαμεν δεκαετῆ χρόνον κατὰ τοὺς βαθμοὺς τοὺς ὡρισμένους πληρῶσαι.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ϛ'.

ϛ'. Τὰς τὰ ἀμβλωθρίδια διδούσας φάρμακα, καὶ τὰς δεχομένας τὰ ἐμβρυοκτόνα δηλητήρια, τῷ τοῦ φονέως ἐπιτιμίῳ καθυποβάλλομεν.

Βασιλείου κανὼν β', η', νβ'.

β'. Ἡ φθείρασα κατ' ἐπιτήδευσιν, φόνου δίκην ὑπέχει · ἀκριβολογία γὰρ ἐκμεμορφωμένου καὶ ἀνεξεικονίστου παρ' ἡμῖν οὐκ ἔστιν · ἐνταῦθα γὰρ ἐκδικεῖται οὐ μόνον τὸ γεννησόμενον, ἀλλὰ καὶ αὐτὴ ἡ ἑαυτῇ ἐπιβουλεύσασα · διότι ὡς ἐπὶ πολὺ ἐναποθνήσκουσι ταῖς τοιαύταις ἐπιχειρήσεσιν αἱ γυναῖκες · πρόσεστι δὲ τούτῳ καὶ ἡ φθορὰ τοῦ ἐμβρύου, ἕτερος φόνος κατά γε τὴν ἐπίνοιαν τῶν ταῦτα τολμώντων · δεῖ μέντοι μὴ μέχρι τῆς ἐξόδου παρατείνειν αὐτῶν τὴν ἐξομολόγησιν, ἀλλὰ δέχεσθαι μὲν τῶν

Digitized by Google Распознавание текста ABK/FR

δέκα ἐτῶν τὸ μέτρον· ὁρίζειν δὲ μὴ χρόνῳ, ἀλλὰ τρόπῳ τῆς μετανοίας τὴν θεραπείαν.

η'. Ὁ ἀξίνῃ παρὰ τὸν θυμὸν κατὰ τῆς ἑαυτοῦ γαμετῆς χρησάμενος, φονεύς ἐστιν· καλῶς δέ με ὑπέμνησας καὶ ἀξίως τῆς ἑαυτοῦ συνέσεως, εἰπεῖν περὶ τούτων πλατύτερον· διότι πολλαὶ ἐν τοῖς ἑκουσίοις καὶ τοῖς ἀκουσίοις διαφοραί· ἀκούσιον μὲν γάρ ἐστι παντελῶς καὶ πόρρω τοῦ κατάρξαντος, τὸ ἀκοντίσαι λίθον ἐπὶ κύνα ἢ δένδρον, καὶ ἀνθρώπου τυχεῖν· ἡ μὲν γὰρ ὁρμὴ ἦν τὸ θηρίον ἀμύνασθαι, ἢ τὸν καρπὸν κατασεῖσαι· ὑπέβη δὲ αὐτομάτως τῇ πληγῇ κατὰ πάροδον ὁ παραπεσών· ὥστε τὸ τοιοῦτον ἀκούσιον· ἀκούσιον μέντοι, καὶ εἴ τις βουλόμενος ἐπιστρέψαι τινὰ, ἱμάντι ἢ ῥάβδῳ μὴ σκληρῶς τύπτοι, ἀποθάνοι δὲ ὁ τυπτόμενος· ἡ γὰρ πρόθεσις ἐνταῦθα σκοπεῖται, ὅτι βελτιῶσαι ἠβούλετο τὸν ἁμαρτάνοντα, οὐκ ἀνελεῖν· ἐν τοῖς ἀκουσίοις ἐστὶ κἀκεῖνο, τὸ ἀμυνόμενόν τινα ἐν μάχῃ, ξύλῳ, ἢ χειρὶ, ἀφειδῶς ἐπὶ τὰ καίρια τὴν πληγὴν ἐνεγκεῖν ὥστε κακῶσαι αὐτὸν, οὐχ ὥστε παντελῶς ἀνελεῖν· ἀλλὰ τοῦτο ἤδη προσεγγίζει τῷ ἑκουσίῳ· ὁ γὰρ τοσούτῳ χρησάμενος ὀργάνῳ πρὸς ἄμυναν, ἢ ὁ μὴ πεφεισμένως τὴν πληγὴν ἐπαγαγὼν, δῆλός ἐστι διὰ τὸ κεκρατῆσθαι ὑπὸ τοῦ πάθους ἀφειδῶς τοῦ ἀνθρώπου· ὁμοίως καὶ ὁ ξύλῳ βαρεῖ καὶ ὁ λίθῳ μείζονι τῆς δυνάμεως τῆς ἀνθρωπίνης χρησάμενος, τοῖς ἀκουσίοις ἐναριθμεῖται, ἄλλο μέν τι προελόμενος, ἄλλο δέ τι ποιήσας· ὑπὸ γὰρ τοῦ θυμοῦ τοιαύτην ἤνεγκε τὴν πληγήν· ὥστε ἀνελθεῖν τὸν πληγέντα, καίτοι ἡ σπονδὴ ἦν αὐτῷ συντρίψαι τυχὸν, οὐχὶ δὲ καὶ παντελῶς θανατῶσαι· ὁ μέντοι ξίφει χρησάμενος, ἢ ᾠτινιοῦν τοιούτῳ, οὐδεμίαν ἔχει παραίτησιν· καὶ μάλιστα ὁ τὴν ἀξίνην ἀκοντίσας· καὶ γὰρ οὐδὲ ἀπὸ χειρὸς φαίνεται πλήξας, ὥστε τὸ μέτρον τῆς πληγῆς ἐπ' αὐτῷ εἶναι, ἀλλ' ἀκοντισεν· ὥστε καὶ τῷ βάρει τοῦ σιδήρου, καὶ τῇ ἀκμῇ, καὶ τῇ διὰ πλείστου φορᾷ, ὀλεθρίαν ἀναγκαίως τὴν πληγὴν γενέσθαι· ἑκούσιον δὲ πάλιν παντελῶς, καὶ οὐδεμίαν ἀμφιβολίαν ἔχον, οἷόν ἐστι τὸ τῶν λῃστῶν καὶ τὸ τῶν πολεμικῶν ἐφόδων· οὗτοι μὲν γὰρ διὰ χρήματα ἀναιροῦσι, τὸν ἔλεγχον ἀποφεύγοντες· οἵ τε ἐν τοῖς πολέμοις ἐπὶ φόνους ἔρχονται, οὔτε φοβῆσαι, οὔτε σωφρονῆσαι, ἀλλ' ἀνελεῖν τοὺς ἐναντιουμένους ἐκ τοῦ φανεροῦ προαιρούμενοι· καὶ μέντοι κἂν δι' ἄλλην τινὰ αἰτίαν περίεργον, φάρμακόν τις ἐγκεράσῃ, ἀνέλῃ δὲ, ἑκούσιον τιθέμεθα τὸ τοιοῦτον, οἷον ποιοῦσιν αἱ γυναῖκες πολλάκις ἐπαοιδαῖς, τισι καὶ καταδέσμοις, πρὸς τὸ ἑαυτῶν φίλτρον ἐπάγεσθαι πειρώμεναι, καὶ προδιδοῦσαι αὐτοῖς φάρμακα, σκότωσιν ἐμποιοῦντα ταῖς διανοίαις· αἱ τοιαῦται ἀνελοῦσαι, εἰ καὶ ἄλλο προελόμεναι, ἄλλο ἐποίησαν, ὅμως διὰ τὸ περίεργον καὶ ἀπηγορευμένον τῆς ἐπιτηδεύσεως, ἐν τοῖς ἑκουσίως φονεύουσι καταλογίζονται· καὶ αἱ τοίνυν τὰ ἀμβλωθρίδια διδοῦσαι φάρμακα, φονεύτριαί εἰσι καὶ αὗται καὶ αἱ δεχόμεναι τὰ ἐμβροκτόνα δηλητήρια.

νβ'. Ἡ τοῦ κυήματος κατὰ τὸν ὁδὸν ἀμελήσασα, εἰ μὲν δυναμένη περισώσασθαι κατεφρόνησεν, ἢ συγκαλύψειν τὴν ἁμαρτίαν ἐντεῦθεν νομίζουσα, ἢ

A accipiant, definiatur autem curatio non tempore, sed pœnitentiæ modo.

8. Qui ob iracundiam securi adversus uxorem suam usus est, est homicida. Recte autem me admonuisti, et uti tuam sapientiam decuit, ut fusius de his dicerem, propterea quod multa in voluntariis et involuntariis discrimina. Est enim involuntarium omnino, et longe a consilio ejus qui incepit, remotum, dum lapis jacitur in canem aut arborem, hominem attingere. Propositum enim fuit bestiam propulsare aut fructum excutere: sed ictum fortuito subiit qui transiens occurrit, quare hoc involuntarium est. Et illud quoque involuntarium est, si quis volens aliquem castigare, loro vel virga non dura eum percutiat, moriatur autem qui per-
B cussus est. 431 Propositum enim hic consideratur, quia peccantem corrigere voluit, non interimere. Recensetur et illud inter involuntaria, cum quis in pugna aliquem ligno vel manu repellens, non parce in præcipuas partes ictum torquet, ut eum lædat, non ut omnino interficiat. Sed hoc quidem accedit ad voluntarium. Qui enim ejusmodi instrumento ad se defendendum usus est, vel qui non parce ictum inflixit, liquet eum ideo homini non pepercisse, quod ira victus fuerit. Sic et qui gravi ligno, et qui lapide majore quam pro viribus humanis usus est, in involuntariis numeratur, ut qui aliud voluerit, aliud fecerit. Nam præ ira ictum talem intulit, ut etiam percussum interficeret; quanquam forte in animo habebat eum conterere, non autem omnino interimere. Qui autem
C ense vel quavis re simili usus est, nullam habet excusationem: et maxime, qui securim jaculatus est. Manifestum est enim illum manu non percussisse, ita ut ictum ad arbitrium moderari posset: sed jaculatus est, ita ut et gravitate ferri et acie et motu e longinquo, ictus necessario lethalis fieret. Rursus autem omnino est voluntarium, ac nullam habens dubitationem, quod fit a latronibus, et in bellicis incursionibus. Hi enim propter pecunias interimunt, cavente ne convincantur: et qui in bellis ad cædem feruntur, his nec terrere, nec castigare, sed adversarios interficere aperte propositum est. Atque etiamsi quis propter aliquam aliam causam curiosum pharmacum miscuerit, et interfecerit, id pro voluntario ducimus; ut sæpe fa-
D ciunt mulieres, quæ quibusdam incantationibus et amuletis ad sui amorem aliquos attrahere conantur, dantque 432 eis pharmaca mentibus tenebras offundentia. Hæ ergo, si interfecerint, etiamsi aliud volentes, aliud fecerint, tamen propter curiosum et prohibitum opus inter voluntarios homicidas reputantur. Itaque et quæ præbent pharmaca abortum cientia, sunt et ipsæ homicidæ, sicut et quæ venena fetum necantia accipiunt. Hæc quidem huc usque.

52. Quæ fetum in via editum neglexit, si cum servare posset, contempsit, aut peccatum inde celaturam se existimans, aut belluina et inhumana

Digitized by Google Распознавание текста ABKAFR

cogitatione utens, tanquam in homicidio judicetur. Sin autem eum fovere non potuit, et propter solitudinem rerumque necessariarum inopiam fetus interiit, matri est ignoscendum.

Textus. Dicitur lib. XLVIII, tit. 11, dig. 4, quod quæ data opera abortierit, in temporale exsilium detur. Idem etiam lib. XLVIII, tit. 8, dig. 8. In dig. vero 39, tit 19, lib. XLVIII, dicitur, quod quæ acceptis pecuniis partum abegerit, capite plectatur : quæ vero post divortium odio mariti id fecerit, ad tempus exsulare jubetur. Et dig. 38, ejusdem tit. Qui abortionis poculum dederit, si vilis sit, in metallum damnator: si honestus, amissa parte bonorum relegatur. Si quis vero inde enecatus fuerit, summum supplicium infligitur. [Atque] hæc [etiam], tametsi citra dolum abortionis medicamentum datum sit.

CAP. XI. — *De vituperantibus nuptias, carnem vinumque.*

Apostolorum canon 51.

51 [50]. Si quis episcopus vel presbyter, etc., *ut pag.* 731.

433 *Concilii Gangrensis canones* 1, 2, 4, 9, 10.

1. Si quis matrimonium vituperet et eam quæ cum marito suo dormit, quæ est fidelis et religiosa, abhorreat et insimulet, tanquam quæ non possit regnum Dei ingredi, sit anathema.

2. Si quis eum qui carnem præter sanguinem, et idolothytum, et suffocatum, cum pietate et fide comedit, condemnat, tanquam eum qui quod illa vescatur, spem non habeat, sit anathema.

4. Si quis de presbytero qui uxorem duxit, contendat, non oportere, eo sacra celebrante, oblationi communicare, sit anathema.

9. Si quis virgo sit, vel continens, a matrimonio tanquam abominando recedens, et non propter ipsam virginitatis pulchritudinem et sanctitatem, sit anathema.

10. Si quis eorum qui sunt virgines propter Dominum, insultet in eos qui uxores duxerunt, anathema sit.

Basilii canones 28, 85.

28. Illud quidem mihi visum est ridiculum, vovere aliquem se a suillis carnibus abstenturum. Quamobrem dignare eos docere ut ab ineptis votis et promissis abstineant, sed usum nihilominus indifferentem esse sine. Nulla enim Dei creatura, quæ cum gratiarum actione percipitur, rejicienda est [25]. Quare votum est ridiculum, abstinentia non necessaria.

85. Lepidis autem Encratitis ad præclaram eorum quæstionem, cur nos etiam non omnibus vescimur, hoc detur responsi, nos etiam excrementa nostra aversari. Ac quantum quidem ad dignitatem, olera herbæ nobis sunt carnes: quantum vero ad utilium discretionem, quemadmodum et in oleribus noxium a salubri separamus, ita et in 434 carnibus ab

[25] I Tim. IV, 4.

ὅλως θηριώδει καὶ ἀπανθρώπῳ λογισμῷ χρησαμένη, ὡς ἐπὶ φόνῳ κρινέσθω · εἰ δὲ οὐκ ἠδυνήθη περιστεῖλαι, καὶ διὰ ἐρημίαν καὶ ἀπορίαν τῶν ἀναγκαίων διεφθάρη τὸ γεννηθὲν, συγγνωστὴ ἡ μήτηρ.

Εἴρηται βιβλ. μζ', τίτ. ια', διάτ. δ', ὅτι ἡ ἐπίτηδες ἐκτρώσασα, προσκαίρως ἐξορίζεται · τὸ αὐτὸ καὶ βιβλ. μη', τίτ. η', διάτ. η' · ἐν δὲ τῇ λθ' διατ. τοῦ ιθ' τίτ. τοῦ μη' βιβλ. φησίν, ὅτι ἐπὶ χρήμασιν ἐκτρώσασα, κεφαλικῶς τιμωρεῖται · ἡ δὲ μετὰ διαζύγιον πρὸς μῖσος τοῦ ἀνδρὸς τοῦτο ποιήσασα, προσκαίρως ἐξορίζεται · καὶ διάτ. λη' τοῦ αὐτοῦ τίτ. ὅτι ὁ πόμα δεδωκὼς πρὸς ἀμβλωθρίδιον, εὐτελὴς μὲν ὢν μεταλλίζεται, τίμιος δὲ ἐξορίζεται μετὰ μερικῆς δημεύσεως · ἐσχάτη δὲ τιμωρία ἐπάγεται, ἐάν τις ἀπέθανεν ἐκ τούτου · ταῦτα, κἂν χωρὶς δόλου τὸ πόμα δέδωκεν.

ΚΕΦΑΛ. ΙΑ'. — Περὶ τῶν βδελυττομένων τὸν γάμον καὶ κρέας καὶ οἶνον.

Ἀποστόλων κανὼν να'.

να'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, κ. τ. λ.

Συνόδου Γάγγρας κανὼν α', β', δ', θ', ι'.

α'. Εἴ τις τὸν γάμον μέμφοιτο, καὶ τὴν καθεύδουσαν μετὰ τοῦ ἀνδρὸς αὐτῆς, οὖσαν πιστὴν καὶ εὐλαβῆ, βδελύσσοιτο ἢ μέμφοιτο, ὡς ἂν μὴ δυναμένους εἰς βασιλείαν εἰσελθεῖν, ἀνάθεμα ἔστω.

β'. Εἴ τις ἐσθίοντα κρέα, χωρὶς αἵματος καὶ εἰδωλοθύτου καὶ πνικτοῦ μετ' εὐλαβείας καὶ πίστεως κατακρίνοι, ὡς ἂν διὰ τὸ μεταλαμβάνειν ἐλπίδα μὴ ἔχοντα, ἀνάθεμα ἔστω.

δ'. Εἴ τις διακρίνοιτο φαρὰ πρεσβυτέρου γεγαμηκότος, μὴ χρῆναι λειτουργήσαντος αὐτοῦ προσφορᾶς μεταλαμβάνειν, ἀνάθεμα ἔστω.

θ'. Εἴ τις παρθενεύοι ἢ ἐγκρατεύοιτο, ὡς ἂν βδελυκτῶν τῶν γάμων ἀναχωρήσας, καὶ μὴ δι' αὐτὸ τὸ καλὸν καὶ ἅγιον τῆς παρθενίας, ἀνάθεμα ἔστω.

ι'. Εἴ τις τῶν παρθενευόντων διὰ τὸν Κύριον, κατεπαίροιτο τῶν γεγαμηκότων, ἀνάθεμα ἔστω.

Βασιλείου κανὼν κη', πε'.

κη'. Ἐκεῖνο γε μὴν γελοῖον κατεφάνη, τὸ εὔξασθαί τινα ὀείων ἀπέχεσθαι κρεῶν · ὥστε καταξίωσον διδάσκειν αὐτοὺς τῶν ἀπαιδεύτων προσευχῶν καὶ ἐπαγγελιῶν ἀπέχεσθαι · τὴν μέντοι χρῆσιν, ἀδιάφορον εἶναι συγχώρησον · οὐδὲν γὰρ κτίσμα Θεοῦ ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον · ὥστε ἡ εὐχὴ καταγέλαστος, οὐχ ἡ ἀποχὴ ἀναγκαία.

πε'. Τοῖς δὲ κομψοῖς Ἐγκρατίταις πρὸς τὸ σεμνὸν αὐτῶν πρόβλημα, διὰ τί καὶ οὐχ ἡμεῖς πάντα ἐσθίομεν ἐκεῖνο λεγέσθω · ὅτι καὶ τὰ περιττώματα ἡμῶν βδελυσσόμεθα · κατὰ μὲν γὰρ τὴν ἀξίαν, λάχανα χόρτου ἡμῖν ἐστι τὰ κρέα · κατὰ δὲ τὴν τῶν συμφερόντων διάκρισιν, ὡς καὶ ἐν λαχάνοις τὸ βλαβερὸν τοῦ καταλλήλου χωρίζομεν · οὕτω καὶ ἐν τοῖς κρέασι

Digitized by Google Распознавание текста ABK/FR

τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν, ἐπεὶ λάχανόν ἐστι καὶ τὸ κώνειον, ὥσπερ κρέας ἐστὶ καὶ τὸ γύπειον· ἀλλ' ὅμως οὔτε ὑοσκύαμον φάγοι ἄν τις νοῦν ἔχων· οὔτε κυνὸς ἅψαιτο, μὴ μεγάλης ἀνάγκης κατεπειγούσης· ὡς ὅ γε φαγὼν οὐκ ἠνόμησε.

ΚΕΦΑΛ. ΙΒ'. — Περὶ λαϊκῶν ἑαυτοὺς ἀκρωτηριαζόντων.

Ἀποστόλων κανὼν κβ', κδ'.

κβ'. Ὁ ἀκρωτηριάσας ἑαυτὸν, κ. τ. λ.

κδ'. Λαϊκὸς ἑαυτὸν ἀκρωτηριάσας, κ. τ. λ.

Συνόδου Νικαίας κανὼν α'.

α'. Εἴ τις ἐν νόσῳ ὑπὸ ἰατρῶν ἐχειρουργήθη, κ. τ. λ.

Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ιδ' κεφ. τοῦ α' τιτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛ. ΙΓ'. — Περὶ λαϊκῶν ἐσθιόντων εἰδωλόθυτα, ἢ κρέας ἐν αἵματι, ἢ πνικτὰ, ἢ θηριάλωτα, ἢ θνησιμαῖα.

Ἀποστόλων κανὼν ξγ'.

ξγ'. Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, φάγῃ κρέα, κ. τ. λ.

Συνόδου Ἀγκύρας κανὼν γ'.

β'. Τοὺς φεύγοντας καὶ συλληφθέντας, κ. τ. λ.

Συνόδου Γάγγρας κανὼν β'.

β'. Εἴ τις ἐσθίοντα κρέα χωρὶς αἵματος, κ. τ. λ.

Συνόδου οἰκουμενικῆς ἕκτης κανὼν ξ'.

ξ'. Θεία ἡμῖν Γραφὴ ἐνετείλατο, κ. τ. λ.

Γρηγορίου τοῦ Θαυματουργοῦ ἐκ τῆς περὶ τῶν εἰδωλόθυτα φαγόντων κανὼν α'.

α'. Οὐ τὰ βρώματα ἡμᾶς βαρεῖ, ἱερὲ πάππα, εἰ ἔφαγον οἱ αἰχμάλωτοι ταῦτα, ἅπερ παρετίθεσαν αὐτοῖς οἱ κρατοῦντες αὐτῶν· μάλιστα ἐπειδὴ εἷς λόγος παρά πάντων, τοὺς καταδραμόντας τὰ ἡμέτερα μέρη βαρβάρους, εἰδώλοις μὴ τεθυκέναι· ὁ δὲ Ἀπόστολός φησιν· Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ κοιλία τοῖς βρώμασιν, ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει· ἀλλὰ καὶ ὁ Σωτὴρ ὁ πάντα καθαρίζων τὰ βρώματα, οὐ τὸ εἰσπορευόμενον, φησὶ, κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον.

Βασιλείου κανὼν πα'.

πα'. Ἐπειδὴ δὲ πολλοὶ ἐν τῇ τῶν Βαρβάρων καταδρομῇ παρέβησαν τὴν εἰς Θεὸν πίστιν, ὅρκους ἐθνικοὺς τελέσαντες, καὶ ἀθεμίτων τινῶν γευσάμενοι, τῶν ἐν τοῖς εἰδώλοις τοῖς μαγικοῖς προσενεχθέντων αὐτοῖς, οὗτοι κατὰ τοὺς ἤδη παρὰ τῶν Πατέρων ἡμῶν ἐξενεχθέντας κανόνας, εἰ μὲν ἀνάγκην χαλεπὴν ἐκ βασάνων ὑπομείναντες, καὶ μὴ φέροντες τοὺς πόνους, καὶ αἰκισθέντες πρὸς τὴν ἄρνησιν ἦλθον, ἐν τρισὶν ἔτεσιν ἀδέκτους εἶναι, καὶ ἐν δυσὶν ἀκροᾶσθαι, καὶ ἐν τρισὶν ὑποπεσόντας, οὕτως δεκτοὺς γενέσθαι εἰς τὴν κοινωνίαν· εἰ δὲ ἄνευ ἀνάγκης μεγάλης προδόντες τὴν εἰς Θεὸν πίστιν, καὶ ἁψάμενοι τῆς τραπέζης τῶν δαιμονίων, καὶ ὀμόσαντες ὅρκους Ἑλληνικοὺς, ἐκβάλλεσθαι μὲν ἐν τρισὶν ἔτεσι, καὶ ἐν δυσὶν ἔτεσιν ἀκροᾶσθαι, ἐν ὑποπτώσει

A utili noxium secernimus. Nam certe et cicuta olus est, sicut etiam caro est vulturina caro; sed tamen nec hyoscyamum sanus quisquam comedet, nec cane vescetur, nisi urgente summa necessitate: qui tamen comedit, non peccat.

CAP. XII. — *De laicis semet mutilantibus.*

Apostolorum canones 22, 24.

22 [21]. Qui seipsum mutilaverit, etc., *ut p.* 502.

24 [23] Laicus qui seipsum mutilaverit, etc., *ut pag.* 738.

Concilii Nicæni canon 1.

1. Si quis in morbo a medicis excisus fuerit, etc. Lege quæ annotata sunt in cap. 14, tit. 1 præsentis operis.

CAP. XIII. — *De laicis idolothyta edentibus,* B *vel carnem cum sanguine, vel a fera captum vel morticinum.*

Apostolorum canon 63.

63 [62]. Si quis episcopus vel presbyter, vel diaconus vel omnino ex sacerdotali catalogo comederit carnes, etc., *ut pag.* 746.

Concilii Ancyrani canon 3.

3. Eos qui fugientes comprehensi sunt, etc., *ut pag.* 758.

Concilii Gangrensis canon 2.

2. Si quis eum qui carnem, etc., *ut pag.* 923.

435 *Concilii œcumenici* VI *canon* 67.

67. Divina nobis Scriptura mandavit, etc., *ut pag.* 758.

Gregorii Thaumaturgi ex epistola de iis qui idolothyta comedunt canon 1.

C 1. Non cibi nos gravant, sanctissime papa, si captivi ea comederint quæ qui in eos dominium obtinent eis apposuerunt, maxime quando una de omnibus fama est, Barbaros qui in nostras regiones incursiones fecerint, idolis non sacrificasse. Dicit autem Apostolus: *Escæ ventri, et venter escis; Deus autem et hunc et has destruet* [26]. Sed Servator quoque omnes cibos mundans: *Non quod intrat* inquit, *coinquinat hominem, sed quod egreditur* [27].

Basilii canon 81.

81. Quoniam autem multi in Barbarorum incursione fidem in Deum violarunt, sacramenta gentilia jurantes, et nefanda quædam gustantes, quæ ipsis in magicis idolorum templis apposita D fuere, iis secundum canones jam a Patribus nostris editos dispensetur. Nam qui vim gravem per tormenta sustinuere, nec ferentes labores, ad negationem tracti sunt, tribus annis non recipiantur, et duobus audiant, et ubi annis tribus substrati fuerint, sic ad communionem admittantur. Qui vero sine magna vi fidem in Deum prodiderunt, mensamque attigerunt dæmoniorum, et gentilium sacramenta jurarunt, ejiciantur quidem tribus annis, duobus audiant: ubi vero annis tribus in substratione oraverint, et per alios tres cum fidelibus

[26] I Cor. VI, 13. [27] Matth. XV, 11.

Digitized by Google Распознавание текста ABK/FR

ad orationem steterint, sic admittantur ad boni communionem.

436 CAP. XIV. — *De laico qui regi maledicit. Apostolorum canon* 84.

84 [83] Quisquis regem vel principem, etc., *ut pag.* 739.

Photii synodi canon 3.

3. Si quis laicus Dei ac imperatorum contemnens mandata, tremendasque deridens Ecclesiæ constitutiones legesque, audeat episcopum quemdam vel cædere vel in carcerem tradere, sine causa, vel ficta de causa, anathema sit.

Lege quæ sunt annotata in cap. 36, tit. 9, præsentis operis.

CAP. XV. — *De orthodoxis eulogias recipientibus ab hæreticis aut Judæis, vel Judæorum festis communicantibus. Et quod Sabbato non sit feriandum, sed prout fieri poterit die Dominica. Et de iis qui in hæreticorum monasteriis vel ecclesiis orant.*

Apostolorum canones 65, 70.

65 [63]. Si quis clericus vel laicus in Judæorum, etc., *ut pag.* 738.

70 [69]. Si quis episcopus vel presbyter, vel diaconus vel omnino ex sacerdotali catalogo, jejunet cum Judæis, etc., *ut pag.* 738.

Concilii Laodiceni canones 9, 29, 32, 34, 37, 38, 39.

9. Concedendum esse, etc., *ut pag.* 883.

437 29. Quod non oportet Christianos judaizare, etc., *ut pag.* 643.

32. Quod non oportet hæreticorum benedictiones accipere, etc., *ut pag.* 882.

soli tamen dolos hæreticorum ii discernunt, qui magnopere in divinis se Scripturis exercent.

IV. Illi quippe nefarii cum primum affantur aliquem, bonos simulant se habere mores, et omnia orthodoxorum Christianorum dogmata dolose approbant et proclamant : verumtamen impie atque inscitissime 7 sanctam Trinitatem cum allegoria confiteri se aiunt, imo si qui eam non confitentur, anathematizare se aiunt. Dominum quoque et Deum nostrum factum hominem in virgine dicunt, sed hoc ipsum impie et irreligiose; et anathema haud ita confitentibus dicunt; verumtamen omnes incarnationis Dominicæ proprietates aliter voce, aliter corde, affirmant. Tum etiam Manetem et reliquos cum eo nefarios hæreticos, necnon Paulum Samosatensem ultro anathematizant : alios quippe habuerunt multoque pejores improbitatis suæ magistros, prout paulo post ostendetur : et omnino polypi instar et chamæleontis, pro tempore et usu personaque mutantur : ut aliquem scilicet levioris ingenii hominem venentur; quem si suis nugis attendentem noverint, huic se pedetemptim cum suis mysteriis revelant. Propterea utilis est noxiarum quoque rerum notitia haud secus quam salutarium. Sunt enim cognoscendæ, non ut illis utamur, sed ut manantem ex his perniciem vitemus. Igitur ad propositum argumentum veniendum.

ΙΣΤΟΡΙΑ.

Ε'. Ὁ ἀρχέκακος ὄφις καὶ πονηρότατος δράκων, ὁ τῶν ζιζανίων σπορεύς, καὶ πάσης ἀδικίας ἀρχηγὸς καὶ διδάσκαλος, ὁ τοῦ ψεύδους καθηγεμὼν [h] καὶ πατὴρ αὐτοῦ, ἡ τῆς ὑπερηφανίας βορβορώδης λίμνη, τὸ τῆς ἀλαζονείας [i] σαθρότατον ὄγκωμα, ὁ δίκην [j] νηπίου τοῖς ποσὶ τῶν πιστῶν συμπατούμενος, τῇ οἰκείᾳ συμβουλῇ [k] τοῦ Θεοῦ χωρίσας τὸ αὐτοῦ τίμιον πλάσμα τὸν ἄνθρωπον, καὶ τῆς ἐν παραδείσῳ μακαρίας διαγωγῆς δι' ὑπερβολὴν κακίας ἐκβληθῆναι τοῦτον παρασκευάσας, ὁ πανάθλιος τῆς κακίας τὴν ἡδονὴν ἀντιδοὺς πεπραμένον αὐτὸν ὥσπερ ἀνδράποδον [cod. f. 83. b.] ἐκ τῆς ἐκουσίου αὐτοῦ προαιρέσεως, τῇ ἁμαρτίᾳ οἴμοι ὠνήσατο · τοῦ μόνου Θεοῦ τοῦτο διὰ τὴν ἁμαρτίαν συγχωρήσαντος, καὶ ὡς ἐν δεσμοτηρίῳ ἐν τῷ τοῦ ᾅδου χωρίῳ τὰς ψυχὰς τῶν ἀνθρώπων φυλάττεσθαι ἐάσαντος, μέχρι τῆς ἐν σαρκὶ παρουσίας τοῦ Υἱοῦ τοῦ Θεοῦ, Κυρίου δὲ καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἑνὸς τῆς ἁγίας κἀὶ

HISTORIA.

V. Malorum initium serpens ac scelestissimus draco, zizaniorum seminator et omnis malitiæ princeps ac magister, mendacii antesignanus ejusdemque pater, superbiæ cœnosa palus, jactantiæ infirmissum culmen, is qui pueri instar a fidelium pedibus conculcatur, qui propria suasione a Deo abstraxit pretiosam ejus creaturam hominem; deditque operam, ut hunc beato paradisi incolatu, summo malitiæ artificio depelleret; hic, inquam, ærumnossissimus, voluptate vitium compensans, Adamum quasi venundatum mancipium, non 8 sine ejusdem voluntario consensu, peccati heu! tanquam pretio coemit, Deo unico id propter Adami culpam permittente; et tanquam carcere in inferorum regionibus animas hominum detineri sinente, usque ad adventum in carne Filii Dei, Domini Deique nostri Jesu Christi, unius de sancta et laudatissima Trinitate. Veterator idem mul-

VARIÆ LECTIONES.

[a] R. τες. [b] R. δὲ pro καί. [c] R. ἐπικροῦσι. [d] R. omisso καί, scribit ἐπαναφωνοῦσιν. [e] R. ἀνηγορεῦντες. [f] R. omisso καί ait ἐπαναθεματίζουσι. [g] R. ἅνως. [h] R. κατ' ἡγεμών. [i] R. ἀλαζονίας. [j] R. νίκην, et mox νηπίων. [k] R. βουλῇ.

NOTÆ.

(8) Plinius Hist. Nat. VIII, 51 : *Colorem mutat chamæleon subinde, redditque semper quemcunque proximе attingit.* De chamæleonte et polypo Theophrastus quoque in fragmento de animalibus colorem mutantibus.

Digitized by Google Распознавание текста ABK/ER

tis variisque idolorum cultibus, flagitiis, turpitudinibus ac voluptatibus captivatum hominem, ceu nunquam revocandum, apud se retinere sperabat, cum tamen ipse potius sit admodum facile superabilis. Sed non diu potietur dolosus præda sua: ecce enim spe sua falsus est qui semper fallit. Namque unigenitus Filius Verbumque Dei, Patri conregnator, et cum vivifico sanctissimo consubstantiali sibi Spiritu sempiternus, pro sua ineffabili bonitate volens iterum instaurare quem formaverat ex humo hominem, suoque flatu digna Deo ratione condecoraverat; postea beneplacito Patris et sancti Spiritus cooperatione, semet demittens, et ex Virgine sancta carnem sumens rationali anima et intellectuali animatam, homo factus est; non id quod erat immutans, est enim inconvertibilis; sed id quod non erat assumens, quia benignus est, Virginem quam clausam ingressus erat, reliquit pariter virginitatis luce splendentem et gloriosam, ut prophetice loquar, ab intus: cujus virginis præludia lex et prophetæ omnes insolitis olim modis prænuntiaverunt, gloriamque ejus præoccupante oculo visam præmonstrarunt. Et alius quidem *clausam januam solique Deo reservatam* prædixit [7]: alius *fontem sigillo munitum* [8]: alius: *Erit*, inquit, *de radice Jessæ virgo, et flos de radice ejus ascendet Dominus Deus noster ex ipsa corporatus* [9]. Idem insuper: *Ecce Virgo*, inquit, *in utero habebit, et pariet filium* [10], videlicet ex se Dominum incarnatum, facticio opere in ipsa habitantem, carne vestitum Deum ex ipsa procedentem. Sed cur jam cuncta hæc testimonia enumerem, quæ studiosis potius reservanda sunt?

VI. Neque tamen quisquam existimet, de semper virgine ac Deipara Maria testimonia hactenus a nobis in medium frustra esse prolata: etenim veritatis hostes divinum ejus partum apparenter, non autem vere, peractum censent: et quidem post divinum partum alios quoque ipsam liberos ex Joseph suscepisse fabulantur: prophetarum denique circa ipsam testimonia non admittunt, veluti postea diligentius demonstrabitur. Dicunt profecto se sancti Evangelii apostolique dictamina sequi, cæteroqui dolose ac simulate stultissimi homines ovium vellus lupo circumponunt. Atqui tum evangelicus divinus liber, tum etiam apostolicus, continenter recitant testimonia prophetarum, eosque testes fide dignos demonstrant, qui omnia sine mendacio

Ἀπανυμήτου Τριάδος πολλαῖς δὲ καὶ ποικίλαις τὸν ἄνθρωπον ὁ δόλιος εἰδωλολατρείαις [l] καὶ μιάσμασιν εἰδωλικοῖς, αἰσχρουργίαις τε [m] καὶ ἡδοναῖς δουλωσάμενος, ὡς οὐκέτ' ἀνακληθησόμενον ᾤετο ἐν ἑαυτῷ κατέχειν ὁ εὐχείρωτος. Ἀλλ' οὐκ ἐπιτεύξεται δόλιος θήρας· ἔψευσται γὰρ τῶν ἑαυτοῦ ἐλπίδων ὁ ἀείψευστος. Ὁ γὰρ μονογενὴς Υἱὸς καὶ [n] Λόγος τοῦ Θεοῦ, ὁ συνάναρχος τῷ Πατρὶ καὶ συναΐδιος τῷ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ παναγίῳ Πνεύματι, ἀφάτῳ φιλανθρωπίᾳ βουληθεὶς πάλιν ἀνακτήσασθαι ὃν διέπλασεν ἐκ γῆς ἄνθρωπον καὶ τῷ οἰκείῳ ἐμφυσήματι [o] θεοπρεπῶς ἐδόξασεν, εὐδοκίᾳ τοῦ Πατρὸς καὶ συνεργείᾳ τῶν ἁγίου Πνεύματος καθεὶς ἑαυτὸν, ἐκ Παρθένου τὰ ἁγίας σάρκα ἀνειληφὼς ἐψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ, ἄνθρωπος [p] γίνεται, οὐχ ὃ ἦν μεταβαλών, ἄτρεπτος γάρ· ἀλλ' ὅπερ οὐκ ἦν προσλαβών, φιλάνθρωπος [q] γάρ· ἦν διελθὼν [r] κεκλεισμένην [s] πάλιν κατέλιπεν τῷ τῆς παρθενίας φωτὶ κατηγλαϊσμένην καὶ δεδοξασμένην, προφητικῶς εἰπεῖν, ἔσωθεν (9)· ἧς ὁ νόμος [t] καὶ οἱ προφῆται πάντες τὰ σήμαντρα πάλαι ξενοπρεπῶς προκατήγγειλαν· καὶ τὴν δόξαν αὐτῆς προβλεκτικῷ ὄμματι προυπέφηναν· cod. f. 84.] καὶ ὁ μὲν πύλην κεκλεισμένην, μόνῳ τῷ Θεῷ τηρουμένην προεφήνεν· ὁ δὲ, πηγὴν ἐσφραγισμένην· ἕτερος δέ φησιν, Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ ἡ παρθένος· καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται ὁ Κύριος καὶ Θεὸς ἡμῶν, ἐξ αὐτῆς σωματούμενος· ὁ δὲ αὐτὸς, Καὶ ἰδοὺ ἡ παρθένος, ἐρεῖ, ἐν γαστρὶ ἕξει καὶ τέξεται Υἱὸν, δῆλον ὅτι ἐξ αὐτῆς τὸν Κύριον σαρκολογούμενον δημιουργικῶς (10) ἐν αὐτῇ ἐνοικοῦντα· καὶ σαρκοφόρον ἐξ αὐτῆς [u] Θεὸν προερχόμενον· καὶ τί δὴ [v] πάσας τὰς τοιαύτας μαρτυρίας ἀπαριθμεῖν, αἳ τοῖς φιλοπόνοις τετήρηνται;

ς'. Μή τις δὲ ἡμᾶς οἰέσθω τὰς περὶ τῆς ἀειπαρθένου καὶ Θεοτόκου Μαρίας μαρτυρίας, μάτην ἀρτίως εἰς μέσον παραγαγεῖν· οἱ [x] γὰρ τῆς ἀληθείας ἐχθροὶ τὸν θεῖον αὐτῆς τόκον ἐν δοκήσει καὶ οὐκ ἐν ἀληθείᾳ γεγενῆσθαι δογματίζουσιν· καὶ μετὰ τὸν θεῖον τόκον καὶ [y] ἄλλους υἱοὺς αὐτὴν ἐσχηκέναι ἐκ τοῦ Ἰωσὴφ φληναφοῦσιν· τὰς δὲ περὶ αὐτῆς τῶν προφητῶν μαρτυρίας οὐ προσδέχονται, καθὼς ὕστερον ἀκριβέστερον δηλωθήσεται· φάσκουσι δὲ τοῖς τοῦ ἁγίου Εὐαγγελίου καὶ τοῦ Ἀποστόλου λόγοις ἐξακολουθεῖν, δολερῶς καὶ ὑπούλως τῷ κωδίῳ τὸν λύκον περικαλύπτοντες οἱ ἀνοητότατοι· καί τοι τῆς εὐαγγελικῆς καὶ θείας πτυκτῆς [z], οὐ μὴν ἀλλὰ καὶ τῆς ἀποστολικῆς, ἐπιουχνῶς [a] προσφερόντων [cod. f. 84 b] τὰς τῶν προφητῶν μαρτυρίας, καὶ δεικνύ-

[7] Ezech. XLIV, 2. [8] Cantic. IV, 12. [9] Isa. XI, 1. [10] Isa. VII, 14.

VARIÆ LECTIONES.

[l] R. sine diphthongo. [m] R. τατς. [n] R. δέ. [o] R. ἐμφισ. [p] R. κῦτος. [q] R. φλαντος. [r] R. διεχθών. [s] Exin novem vocabula prætermittit Raderus. [t] R. Cod. mendose μόνος pro νόμος. [u] R. ἀντῆς. [v] Ita cod. fortasse pro δεῖ. [x] R. καὶ pro οἱ. [y] R. Sine καί. [z] R. ωυκτῆς. [a] Cod. ὑπισυχνῶ.

NOTÆ.

(9) Psal. XLIV, 14: *Gloria filiæ regis ab intus.*

(10) Gal. IV, 4: *Factum ex muliere, factum sub lege.* Ita hic intelligo δημιουργικῶς.

Digitized by Google Распознавание текста ABK/FR

των αὐτοὺς ὡς ἀξιοπίστους μάρτυρας, πάντα ἀψευδῶς προκαταγγείλαντας, καὶ μαρτυροῦντας τῇ ἀληθείᾳ, καὶ πρὸς ὀξυοπίαν καὶ ἀγχίνοιαν τοὺς ἀκροατὰς διεγείροντας τοῦ μὴ σφάλλεσθαι τῆς ἀληθείας ἐπερχομένης ὥσπερ στοιχείοις τισὶ ταῖς αὐτῶν ἀπορρήσεσιν ἐντετυπωμένους, καὶ θεωρίας ἐπίβασιν τὴν πρᾶξιν ποιουμένους· ἀλλ' ὁ μὲν περὶ τῆς ἀείπαιδος κυρίως καὶ ἀληθῶς δεδοξασμένης Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας λόγος, μικρὸν ἀναμεινάτω· κἂν οἱ δεινοὶ Παυλικιάνοι διαρρήγνυντο. Ἐπανακτέον δ' ἡμᾶς ὅθεν μικρὸν ἀνεκφοιτήτως ἀπέστημεν.

Ζ'. Τοῦ μεγάλου τοίνυν Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπὶ τῆς γῆς ὀφθέντος καὶ ἡμῖν τοῖς ἀνθρώποις συναναστραφέντος, πᾶσα μὲν ἐκ ποδῶν εἰδωλατρεία οἴχεται· Θεογνωσία δὲ ἀληθὴς πᾶσαν τὴν γῆν ὥσπερ ὕδωρ πολὺ κατεκάλυψεν· ἐντεῦθεν ἡ τῶν οὐρανίων ἐπὶ γῆς ἀρετὴ πολιτεύεται, καὶ τοῖς ἀγγέλοις ταῖς ἀρεταῖς θεοκλυθούμενοι συναμιλλῶνται οἱ ἄνθρωποι· τοῦ σταυροῦ γὰρ ἐπὶ γῆς παγέντος, καὶ τοῦ ἄρτου τῆς ζωῆς τοῦ ἐκ τοῦ οὐρανοῦ φιλανθρώπως τῇ θεότητι συγκαταβάντος, οὐ τὸ σῶμα καταβάσαντος, ἀλλ' ἐκ γῆς τοῦτο προσλαβομένου ὁμοιοπαθὲς ἡμῖν, καὶ ἐν τῷ ξύλῳ τοῦ σταυροῦ ὑψωθέντος, καὶ ταῖς τοῦ θείου αὐτοῦ αἵματος ῥανίσι τὴν γῆν καταρδεύσαντος [cod. f. 85] ὀσμὴν εὐῳδίας (11) ταύτην διαπνέειν πεποίηκεν· ἥτις τῷ ἁγιασμῷ τοῦ τιμίου αἵματος καὶ ὕδατος αὐτοῦ πιανθεῖσα, λογικὰ ἡδύπνοα καὶ ποικίλα ἄνθη βλαστάνουσα πανταχοῦ καὶ νῦν οὐ διαλιμπάνει. Προσκυνεῖται τοίνυν ξύλον, δι' οὗ σωτηρία τῷ γένει μὲν τῶν ἀνθρώπων δεδώρηται δι' οὗ ὁ ἀρχέκακος ἐχθρὸς εἰς γῆν καταβαίνειν καιρίαν ἐν καρδίᾳ τὴν πληγὴν εἰσεδέξατο. Ἐν οὐδενὶ γὰρ ἑτέρῳ συμβόλῳ τοῦ Χριστοῦ παθημάτων φοβερὰ τεράστια τοιαῦτα γέγονεν, οἷα ἐν τῷ τιμίῳ καὶ ζωοποιῷ τοῦ Κυρίου σταυρῷ· νεκροὶ ἀνιστάμενοι καὶ πρὸ τῆς ἐν τῷ ᾅδῃ καθόδου τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν, καταπέτασμα ῥηγνύμενον, γῆ σειομένη, ἥλιος σκοτιζόμενος καὶ πάλιν ἀναφλεγόμενος, τῷ μὲν τὴν τῶν Ἰουδαίων δεικνὺς σκοτόμαιναν, τῷ δὲ τῆς ἀναστάσεως προδεικνὺς τὴν φαιδρότητα. Τέλος ἡ πάντων ἐν τῷ ᾅδῃ κατεχομένων ψυχῶν ἀπολύτρωσις τῇ ἐπιφανείᾳ τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν πρὸς αὐτοὺς γενομένη· καὶ ἡ τοῦ ᾅδου κατάλυσις [b], τοῦ μηκέτι κατέχειν τὰς τῶν ἐν Κυρίῳ κεκοιμημένων ψυχάς. Ταῦτα πάντα ἡ τοῦ θείου σταυροῦ ἀήττητος δύναμις τὰ φοβερὰ εἰργάσατο τεράστια, τῇ δυνάμει τοῦ ἐν αὐτῷ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Αἰσχυνθήτωσαν οὖν καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν οἱ τὴν δόξαν αὐτοῦ διαρνούμενοι καὶ μὴ προσκυνοῦντες αὐτὸν ἀδιστάκτῳ πίστει [c] ὡς [cod.

narraverint, veritatemque testantes, ad perspicaciam mentisque acumen auditores suos excitaverint, quominus a veritate jam adveniente aberrarent, quam quibusdam veluti elementis, prædictionibus nimirum suis, impresserunt; et ostensæ rei fundamentum ipso eventu comprobarunt. Sed enim de perpetua puella, proprie vereque gloriosa Deipara semperque virgine Maria, oratio aliquantum differatur; etiamsi diris Paulicianis ilia rumpantur. Illuc enim nobis, unde paulo ante discessimus, redeundum est.

VII. Postquam magnus itaque Deus ac Servator noster Jesus Christus in terra apparuit, et nobiscum hominibus versatus est, omnis quidem idolorum cultus e medio cessit; *Dei* autem *vera notitia universam terram tanquam aquæ inundatio occupavit*[11]. 10 Exin cœlestium honesta vita cœpit in terra frequentari, Deoque familiares facti homines angelos virtutibus æmulari. Cruce enim in terram defixa, vitæque pane de cœlo benigne simul cum deitate demisso, haud sane corpore illinc delato, sed de terra sumpto, æque ac nos passibili, et in lignum sublato, divinique sanguinis guttis tellurem irrigantibus, contigit ut hæc suavitatis odorem exspiraret, quæ nimirum sanctificatione ipsius pretiosi sanguinis et aquæ pinguescens, rationalia odoramenta variosque flores nunc etiam ubique germinare non desinit. Adoratur itaque lignum, per quod salus humano generi donata fuit; per quod malorum auctor hostis humi afflictus lethale visceribus vulnus accepit. Etenim nullo in alio Christi cruciatuum symbolo hæc tremenda prodigia patrata fuerunt, cujusmodi in veneranda et vivifica Domini cruce: mortui nimirum suscitati ante etiam quam ad inferos Dominus ac Deus noster descenderet, velum discissum, terra commota, sed obscuratus et rursus illuminatus; ut priore statu significaret Judæorum tenebras, altero autem resurrectionis lætitiam portenderet. Postremo omnium apud inferos detentarum animarum Christo Domino ac Deo nostro illic apparente redemptio, et ipsius orci destitutio, quominus diutius illorum, qui in Domino dormierant, animas retineret. Hæc omnia divinæ crucis invicta vis tremenda effecit prodigia, virtute scilicet confixi in ea Christi Dei nostri. Pudefiant igitur et in fugam vertantur ac pereant, qui crucis gloriam negant, neque eam indubia fide ceu divinitus datum invictumque tropæum adorant. Ergo invidus atque pessimus et boni osor diabolus, capite eliso et corde a crucis hasta transfixo, jam

[11] Isa. xi, 9.

VARIÆ LECTIONES.

[b] R. κατάλλυσις. [c] R. δίστει.

NOTÆ.

(11) In textu Græco Raderi additur πνευματικῆς, quod vocabulum in interpretatione latina ejusdem omittitur. Ergo exemplar typothetæ Ingolstadiensi traditum videtur interdum fuisse diversum ab illo quod Raderus Latinum faciebat. In codice certe vaticano deest voc. πνευματικῆς.

Digitized by Google Распознавание текста ABK/FR

non 11 poterat tam aperte, ut solebat, jucunda animo suo scelera perpetrare : occulte tamen infelicium nonnullorum animas furiis agitans, mentesque illudens decepit, *per falsorum magistrorum hypocrisim, cauteriatam conscientiam habentium* [12], dignum illos fomitem inexstinguibilis ignis secum faciens.

ὑποκρίσει ψευδολόγων κεκαυτηριασμένων • τὴν οἰκείαν συνείδησιν, ἄξια τοῦ ἀσβέστου πυρὸς σὸν ἑαυτῷ ὑπεκκαύματα.

VIII. Sed bonus optimusque, imo supremum bonum, Deus a consueto suo more non desiit bene faciendi homini pretiosæ creaturæ suæ: sed posuit in Ecclesia primum apostolos, qui fuerant spectatores ejus atque ministri, ut ipsius corporalem infinitæ potentiæ condescensionem publice denuntiarent, et divina oracula verissime enarrarent, neque corporalem Christi passionem erubescentes, neque prodigiis frudem ullam tribuentes, sed ubique veritatis curam gerentes, et Dei Verbi incarnationem veraciter prædicantes. Secundo loco prophetas, qui occultas insanabilesque passiones divino atque potenti sancti Spiritus gladio radicitus amputarent, et bonos atque vigentes virtutum surculos inserirent. Tertio loco doctores utrisque prædictis auxiliares, quæque ab illis et acta et dicta fuerant perfectius explicantes. Horum divinis dogmatibus cunctâ Christianorum Ecclesia ut olim sic nunc firmatur, adversus quam portas inferi, exitiosas scilicet hæreses, nunquam prævaluisse aut prævalituras, probe scimus, juxta effatum divinum [13]. Despumaverunt autem fluctus hæreticæ loquacitatis, et omnino depulsi sunt. Quippe per tempora singulis orthodoxiæ propugnatoribus singuli congressi sunt hæresiarchæ; sed veritatis lumini hæreticorum tenebræ cesserunt, atque ita Dei Ecclesiæ inconcussæ manserunt. At miserrimi hæretici, etiamsi aliquanto tempore abominabilium suarum opinionum malitiam parturiverunt, attamen haud multo post nequitiæ ipsorum falsitas dissipata fuit; [12] eaque re omnibus patefacta et exterminata, Ecclesiæ Dei splenduerunt, eædemque et nunc et in perpetuum splendebunt.

IX. Tenebrosa interim, cœnosa, turbulenta, immundissima Manichæorum hæresis a cunctis gentibus exagitata, propter desperatam ejus medelam, et cujuslibet improbitatis cinnum, alto silentio observabatur a suis et colebatur. Hoc enim illis præcipue cordi est, ut mysteria sua hæresimque nequaquam omnibus consectaneis, nedum externis, communicent; sed paucis, quos in suorum numero sciunt impietate magis perfectos. Quibusdam vero rerum adjunctis, haud multos ante annos, apostaticis viribus satis confirmata et instructa, et

A f. 85 b] θεοδώρητον καὶ ἀκατανάχητον τρόπαιον. ὁ γοῦν βάσκανος καὶ παμπόνηρος καὶ μισόκαλος διάβολος τὴν καφαλὴν συνθλασθεὶς καὶ τὴν καρδίαν τῷ σταυρικῷ δόρατι διαπαρεὶς, οὐχ οἷός τε ἦν φανερῶς οὕτως τὰ ἑαυτῷ καταθύμια ὡς εἰώθει ἐργάζεσθαι βδελύγματα • λάθρα δέ τινων ἀθλίων τὰς ψυχὰς ἐκβαχχεύσας καὶ τὸν νοῦν φρενίτισας ἡπάτησεν [d] ἐν

H'. Ἀλλ' οὐκ ἐνέλιπεν ὁ ἀγαθὸς καὶ πανάγαθος καὶ ὑπεράγαθος Κύριος συνήθως εὐεργετεῖν τὸ ἑαυτοῦ τίμιον πλάσμα τὸν ἄνθρωπον [e] • ἀλλ' ἔθετο ἐν τῇ Ἐκκλησίᾳ πρῶτον ἀποστόλους, ὡς αὐτόπτας καὶ ὑπηρέτας τὴν αὐτοῦ ἀπειροδύναμον σωματικὴν συγκατάβασιν ἀριδήλως διαγγέλλοντας, καὶ τὰς θεοσημείας παναληθῶς ἐκφράζοντας • μήτε τοῖς σωματικοῖς τοῦ B Χριστοῦ ἐκπεσχυνομένους παθήμασιν, μήτε τοῖς θαύμασι ψεῦδος ἐπιφημίζοντας, ἀλλὰ πανταχοῦ τῆς ἀληθείας φροντίζοντας, καὶ τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Θεοῦ Λόγου ἀψευδῶς κηρύττοντας. Δεύτερον προφήτας τὰ κεκρυμμένα καὶ ἀνίατα πάθη τῇ τοῦ ἁγίου Πνεύματος θείᾳ [f] τῆς ἐξουσίας μαχαίρᾳ πρόῤῥιζῶν ἀναστέλλοντας • καὶ τὰ χρηστὰ καὶ [g] εὐθηλότατα τῶν ἀρετῶν φυτουργοῦντας βλαστήματα. Τρίτον διδασκάλους, ἀμφοῖν τοῖν δυοῖν [cod. f. 86] συνηγοροῦντας, καὶ τὰ παρ' αὐτοῖς πραχθέντα καὶ λεχθέντα, τελεώτερον σαφηνίζοντας • τούτων τοῖς θείοις δόγμασι πᾶσα τῶν Χριστιανῶν Ἐκκλησία, πάλαι καὶ νῦν κρατύνεται, ἧς πύλαι ᾅδου αἱ φθοροποιοὶ αἱρέσεις κατίσχυσαν οὐδέποτε, οὐδὲ κατισχύσουσιν εὖ ἴσμεν, κατὰ τὴν θείαν ἀπόφασιν • εἰς ἄφρον δὲ τὰ κύματα τῆς τῶν αἱρετικῶν γλωσσαλγίας πάντοτε C διαλίθυνται • κατὰ καιρὸν ἑκάστοις τῆς ὀρθοδοξίας προμάχοις, ἕκαστοι συμπλακέντες αἱρεσιάρχαι, καὶ τῆς ἀληθείας τῷ φωτὶ τοῦ ζόφου τῶν αἱρέσεων ὑποχωρήσαντος, αἱ τοῦ Θεοῦ Ἐκκλησίαι διέμειναν ἀσάλευτοι • ἀλλ' οἱ μὲν πανάθλιοι αἱρετικοὶ εἰ καὶ πρὸς ὀλίγον τῶν μυσαρῶν αὐτῶν διανοιῶν τὰς κακίας ὤδινον, ὅμως μετ' οὐ πολὺ τῆς αὐτῶν κακουργίας τὸ ψεῦδος διεῤῥήσσετο. Καὶ τούτου τοῖς πᾶσι διαγνωσθέντος καὶ ἐκ ποδῶν γινομένου, αἱ τοῦ Θεοῦ Ἐκκλησίαι κατηυγάζοντό • ἀλλὰ καὶ νῦν καὶ εἰς τὸν αἰῶνα, κατανυγασθήσονται.

Θ'. Ἡ δὲ ἐσκοτισμένη καὶ βορβορώδης καὶ στασιώδης καὶ παμμίαρος καὶ αἰσχρουργὸς τῶν Μανιχαίων αἵρεσις ὑπὸ πάντων ἐθνῶν διωκομένη διὰ τὸ ἀνίατον αὐτὴν ὑπάρχειν καὶ πάσης βδελυρίας ἀνάμεστον καὶ σιγῇ βαθείᾳ παρ' αὐτῶν τιμωμένη καὶ σεβομένη. Τοῦτο γάρ ἐστιν αὐτοῖς τὸ περισπούδαστον, τὸ μὴ τὰς τελετὰς αὐτῶν καὶ τὰς αἱρέσεις εἰς πάντας καὶ τοὺς παρ' αὐτοῖς οἰκείους, οὔπω [cod. f. 86 b] λέγω τοὺς ξένους, αὐτῶν δημοσιεύεσθαι • ἀλλ' εἰς ὀλίγους οἷς ἂν ἴδοιεν παρ' αὐτοῖς τελεωτέρους τὴν ἀσέβειαν • καιροῖς δέ τισι πρὸ χρόνων οὐ

[11] I Tim. IV, 2. [13] Matth. XVI, 18.

VARIÆ LECTIONES.

[d] R. ἡπάτησεν. [e] R. κεκαυτηριασμένων. [f] R. αὐτόν. [g] Deest θείᾳ apud R. [h] R. καὶ τά.

Digitized by Google Распознавание текста ABKFR

πολλῶν ταῖς ἀποστατικαῖς δυνάμεσι τελείως ἐνεργηθεῖσα [i] καὶ μαθητευθεῖσα καὶ τοῦ ἀρχεκάκου Σατανᾶ τῇ πεπλανημένῃ ὁδηγίᾳ προβιβασθεῖσα, τὴν αὐτοῦ πρόδρομον ἀποστασίαν ὠδίνασα ἐκύησεν, ἑτέρους δαίμονας σαρκίνους σὺν τῷ καθηγεμόνι αὐτῶν διαβόλῳ ἀναδείξασα· οὓς μηδεὶς ἀπιστήσοι δαίμονας ὑπάρχειν. Τὰ γὰρ μὴ τολμώμενα παρὰ τῶν δαιμόνων λέγεσθαι ἢ πράττεσθαι, αὐτοὶ ἀναιδῶς καὶ ἀπηρύθριασμένως κατά τε τοῦ Θεοῦ τοῦ παντοκράτορος καὶ πάντων ἀνθρώπων πράττουσί τε καὶ λέγουσιν· ὡς ἔστιν ἀθρῆσαι αὐτοὺς ἀνεπιμίκτους τοῖς ἀνθρώποις ὑπάρχοντας δι' ἄκραν αἰσχρουργίαν, καὶ τὴν ἔρημον οἰκοῦντας ὥσπερ τοὺς δαίμονας· καὶ ξένα τινὰ καὶ ἀλλόκοτα ἐπιφημίζοντας προβλήματα, ὡς δῆθεν τοῖς τοῦ ἱεροῦ Εὐαγγελίου καὶ τοῦ Ἀποστόλου λόγοις ἐπαρειδόμενοι οἱ [j] συκοφάνται καὶ παμμίαροι· ἀλλὰ τίνα ταῦτα καὶ πόθεν καὶ πότε, ἐνταῦθα τοῦ λόγου γενόμενος διηγήσομαι, κεφαλαιώσας ὀλίγα τινὰ εἰς ἀριθμοὺς ἐν ψιλῇ τέως ἀπαριθμήσει, διὰ τὸ εὐμνημόνευτον. Εἶθ' ὕστερον μετὰ τὴν περὶ αὐτῶν ἱστορίαν, καὶ τῆς πρὸς αὐτοὺς συμπλοκῆς ἀπαρξόμεθα, τῇ τοῦ Θεοῦ βοηθείᾳ πρὸς αὐτοὺς ἀντιμαχησάμενοι, ὅση δύναμις, εὐθύς τε τὰς Γραφικὰς ἀποδείξεις τε καὶ [k] [cod. f. 87] μαρτυρίας ἑνὸς ἑκάστου κεφαλαίου ἐν παραλλήλων τάξει ὑποθήσομεν.

malorum principis Satanæ erroneo ducatu provecta, primam suam apostasiam peperit, alios carnales dæmones cum duce ipsorum diabolo efferens, quos certe nemo esse dæmones dubitabit. Nam quæ ne dæmones quidem dicere vel agere ausint, ipsi impudenter sine ullo rubore, tum adversus Deum omnipotentem, tum contra homines agunt et dicunt, uti reapse videre et hos hominum societate extorres, propter summam morum fœditatem deserta loca incolere, ut dæmones faciunt, et peregrina quædam atque absurda pronuntiare problemata, quasi ea sacri Evangelii apostolique dictis confirmare queant hi sycophantæ ac detestabiles. Jam vero quæ sint hæc, et unde et quando exstiterint, hoc sermonis nostri loco exponemus, pauca quædam compendiose complectentes distincta numeris, brevi interim descriptione, ut facilius memoriæ mandentur. Deinde post conscriptam de his hæreticis historiam, eorumdem quoque refutationem auspicabimur, Deo auxiliante prœlium cum ipsis viriliter conserentes; continuoque ex sacra Scriptura demonstrationes ac testimonia ad singula capita ordinatim opposita subjungemus.

Ι'. Πρῶτον μὲν γάρ ἐστι τὸ κατ' αὐτοὺς γνώρισμα, τὸ δύο ἀρχὰς ὁμολογεῖν, πονηρὸν Θεὸν καὶ ἀγαθόν· καὶ ἄλλον εἶναι τοῦδε τοῦ κόσμου ποιητήν τε καὶ ἐξουσιαστήν, ἕτερον δὲ τοῦ μέλλοντος. Καὶ τοῦτό ἐστιν εἰς αὐτοὺς πολλάκις ἐπισημειώσασθαι ἀστειότητος χάριν, ἐν [l] ἐλευθερίᾳ ὄντων αὐτῶν λεγόμενόν πρός τινα, ὁποτόςἐστιν ὁ προσδιαλεγόμενος· Εἰπέ [m] μοι, φησίν, τί ἐστι τὸ χωρίζον ἡμᾶς ἐκ τῶν Ῥωμαίων; ἑαυτοὺς οἱ ἄσπονδοι καὶ ἄχρηστοι καὶ ἄπιστοι [n] καὶ ἀχάριστοι καὶ ἀφιλάγαθοι, Χριστιανοὺς ἀποκαλοῦντες· ἡμᾶς δὲ τοὺς ἀληθῶς ἐπωνύμους Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, Ῥωμαίους ὀνομάζοντες, τῷ ἐθνικῷ ὀνόματι τὸ κύριον ἀμεῖψαι πειρώμενοι· ᾧτινι μᾶλλον ἡμεῖς οἱ ἀψευδεῖς· Χριστιανοὶ σεμνυνόμεθα, ἢ χιλιάδων καὶ μυριάδων [p] χρυσίου καὶ ἀργυρίου καὶ λίθων τιμίων τῶν ἐν ὅλῳ τῷ κόσμῳ ὑπαρχόντων εἰ ἦν ἕκαστος ἡμῶν κύριος. Λέγουσι δὲ τοῦτο εἶναι τὸ χωρίζον αὐτοὺς, ὅτι ἐκεῖνον μὲν ἄλλον Θεὸν λέγουσιν εἶναι τὸν τοῦ κόσμου ποιητήν· καὶ ἕτερον Θεὸν, ὃν καὶ Πατέρα ἐπουράνιον λέγουσι, μὴ ἔχοντα δὲ ἐξουσίαν ἐν τῷδε τῷ κόσμῳ, ἀλλ' ἐν τῷ μέλλοντι αἰῶνι. Ἡμεῖς δὲ τὸν αὐτὸν ἕνα Θεὸν ὁμολογοῦμεν καὶ παντουργὸν καὶ παβασιλέα καὶ παντοκράτορα· καὶ λέγουσι πρὸς ἡμᾶς, ὅτι Ὑμεῖς, φησί, πιστεύετε εἰς τὸν κοσμοποιητήν. [cod. f. 87 b] ἡμεῖς δὲ εἰς ἐκεῖνον περὶ οὗ ἐν Εὐαγγελίοις ὁ Κύριος λέγει, ὅτι Οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε. ματαίως καὶ ἀνοήτως [q] κενοφωνούμενοι, καθὼς ὕστερον δηλωθήσεται.

X. 13 Primum est apud illos axioma principia duo confiteri, malum scilicet Deum et bonum; et alterum quidem esse mundi hujus factorem ac Dominum, alterum futuri. Atque hoc sæpe apud illos observare licet, cum liberi sunt, et cum aliquo quolibet colloquuntur, lepide dicere solitos: Dic mihi, inquam, quid nos a Romanis discernit? Se ipsos enim hi fœdifragi, pravi, increduli, ingrati virtutis osores, appellant Christianos; nos autem qui vere sumus Christi veri Dei nostri cognomines, Romanos nuncupant; gentili nomine proprium nostrum commutare conantes: quo tamen nos, qui veri Christiani sumus, magis gloriamur, quam si millia aut etiam myriades auri argentive aut lapidum pretiosorum, quotquot in urbe sunt, possideremus. Dicunt autem id nos ab ipsis discernere, quia ipsi alium affirmant esse Deum mundi Conditorem, alium vero quem cœlestem vocant Deum, qui nullam hujus mundi, sed sæculi tantum futuri potestatem habet: nos vero unum eumdemque Deum confitemur, rerum omnium factorem, universalem regem et omnipotentem. Aiuntque nobis: Vos in mundi Conditorem creditis, nos vero in illum de quo in Evangeliis Dominus dicit, quod *Neque vocem ejus audistis, neque speciem vidistis* [14]. Qua in re stulte stolideque blaterant, ut postea demonstrabitur.

[14] Joan. v. 37.

VARIÆ LECTIONES.

[i] Abhinc desunt apud R. vocabula decem, usque ad τὴν αὐτου. [j] R. ἐπορειδόμενοι οὖ. [k] Hic apud R. inseritur προφητειῶν, quod deest in codice. [l] Deest ἐν apud R. [m] R. ἐλπέ. [n] Deest ἄπιστοι apud R. [o] R. ἡμας καὶ ἀψευδεῖς. [p] R. κυριάδων. [q] R. νοήτως.

Digitized by Google Распознавание текста ABK/FR

Secundum est, quod celebratissimam et perpetuo virginem Deiparam, ab ipso etiam bonorum hominum numero rabide excludunt; neque genitum ex ea Dominum, sed hunc de cœlo corpus suum detulisse, illam autem post Domini partum, alios quoque dicunt liberos ex Josepho suscepisse.

Tertium est quod divinam verendamque sanctorum mysteriorum corporis ac sanguinis Domini Dei nostri participationem aversantur; 14 neque hoc contenti, aliis quoque hanc sententiam suadendam putant dicentes, haud panem ac vinum a Domino discipulis suis in cœna propositum, sed symbolice verba sua tantummodo, panis vinique loco, dedisse.

Quartum est, quod figuram atque efficaciam et virtutem pretiosæ vivificæque crucis non admittunt, sed conviciis plurimis eam pulsant; quam tamen ipsi per aerem diffusi dæmones, si modo descriptam viderint, pavidi fugiunt, cum malorum principe dæmone.

Quintum est, quod nullum recipiunt Veteris Testamenti librum, deceptores ac fures prophetas appellantes, sicut postea proprio in loco accuratius ostendetur; nec nisi sancta quatuor Evangelia, et apostoli Pauli quatuordecim Epistolas, Jacobi catholicam, Joannis tres, sancti Judæ catholicam, et apostolorum Actus uti sunt apud nos sine ullius verbi mutatione. Habent insuper magistri sui Sergii Deo invisas epistolas, omnimoda superbia et impietate plenas. Nam duas catholicas magni ac solidi Ecclesiæ fundamenti, regnique cœlorum clavigeri Petri protapostoli, non recipiunt, quia infenso adversus eum animo sunt, et maledictis conviciisque plurimis prosequuntur, nescio cujus mali sibi conscii: fortasse tamen, ut ego arbitror, atque ut sæpe ipsis coram dixi, quia eventura peculiariter ipsis improbitatis eorum causa vaticinatus est, quæ beatus apostolus 15 in secunda epistola scribit his verbis: *Propterea, dilecti mei, hæc omnia exspectantes, nempe quæ in secundo adventu Domini fient, satagite immaculati in pace; et Domini nostri longanimitatem, salutem arbitremini, veluti et dilectus frater noster Paulus secundum datam sibi sa-*

Δεύτερον, τὸ τὴν πανόμνητον καὶ ἀειπάρθενον Θεοτόκον μηδὲ κἂν ἐν ψιλῇ τῶν ἀγαθῶν ἀνθρώπων τάττειν ἀπεχθῶς ἀπαριθμήσει· μηδὲ ἐξ αὐτῆς γεννηθῆναι τὸν Κύριον, ἀλλ' οὐρανόθεν τὸ σῶμα κατενεγκεῖν· καὶ ὅτι μετὰ τὸν τοῦ Κυρίου τόκον, καὶ ἄλλους, φησὶν, υἱοὺς ἐγέννησεν ἐν τοῦ Ἰωσήφ.

Τρίτον, τὸ τὴν θείαν καὶ φρικτὴν τῶν ἁγίων μυστηρίων τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν μετάληψιν (12) ἀποτρέπεσθαι [r]. Οὐ μόνον δὲ, ἀλλὰ καὶ ἄλλους περὶ τούτου πείθειν οἴεσθαι· λέγοντες ὅτι οὐκ ἦν ἄρτος καὶ οἶνος, ὃν ὁ Κύριος ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἐπὶ τοῦ δείπνου, ἀλλὰ συμβολικῶς τὰ ῥήματα αὐτοῦ αὐτοῖς ἐδίδου, ὡς ἄρτον καὶ οἶνον.

Τέταρτον, τὸ τὸν τύπον καὶ τὴν ἐνέργειαν καὶ δύναμιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ μὴ ἀποδέχεσθαι, ἀλλὰ μυρίαις ὕβρεσι περιβάλλειν, ἣν καὶ οἱ δαίμονες ἐν ἀέρι καὶ μόνον χαραττομένην βλέποντες τρόμῳ δραπετεύουσι, σὺν τῷ ἀρχηγῷ αὐτῶν τῷ διαβόλῳ.

Πέμπτον, τὸ μὴ ἀποδέχεσθαι αὐτοὺς τὴν οἰανοῦν Βίβλιον, Παλαιὰν, πλάνους καὶ λῃστὰς τοὺς προφήτας ἀποκαλοῦντες, καθὼς ὕστερον ἐν ἰδίῳ χωρίῳ δηλωθήσεται τελεώτερον· ἢ μόνον [cod. f. 88] τὴν θείαν τοῦ ἁγίου Εὐαγγελίου τετρακτύν· καὶ τὰς τοῦ ἁγίου Παύλου τοῦ ἀποστόλου δεκατέσσαρας Ἐπιστολὰς· καὶ τὴν Ἰακώβου καθολικὴν (13)· καὶ τὰς Ἰωάννου τρεῖς· καὶ τὴν τοῦ ἁγίου Ἰούδα καθολικὴν· καὶ τὰς Πράξεις τῶν Ἀποστόλων ὡς εἰσὶ παρ' ἡμῖν, ἀπαραλλάκτως ἐν λέξεσιν. Ἔχουσι δὲ καὶ τοῦ διδασκάλου αὐτῶν Σεργίου ἐπιστολὰς θεοστυγεῖς, πάσης ὑπερηφανίας καὶ ἀσεβείας ἀναμέστους. Τὰς γὰρ δύο καθολικὰς τοῦ μεγάλου καὶ ἀκραιφνοῦς θεμελίου τῆς Ἐκκλησίας τοῦ κλειδούχου τῆς τῶν οὐρανῶν Βασιλείας Πέτρου τοῦ πρωταποστόλου οὐ δέχονται, ἀπεχθῶς τρὸς αὐτὸν διακείμενοι, καὶ ὕβρεσι καὶ ὀνειδισμοῖς μυρίοις περιβάλλοντες· οὐκ οἶδ' ὅ τι συνιδόντες· τάχα δὲ, ὡς ἐγὼ ὑπολαμβάνω, ὅπερ αὐτοῖς καὶ πολλάκις κατὰ πρόσωπον εἶπον, διὰ τὸ προφητεῦσαι αὐτὸν τὸ μέλλον εἰς αὐτοὺς ἔσεσθαι ἐκ τῆς ἀνοσιουργοῦ αὐτῶν κακίας ἰδίωμα, ἐν οἷς φησιν ὁ μακάριος ἀπόστολος ἐν τῇ δευτέρᾳ Ἐπιστολῇ αὐτοῦ· Δι' ὃ, ἀγαπητοί μου, ταῦτα πάντα προσδοκῶντες,

VARIÆ LECTIONES.

[r] R. ἀποτρέψαι. [s] R. αὐτῶν.

NOTÆ

(12) Μετάληψιν vocabulum perperam Raderus hic interpretatus, loci sententiam subvertit, scribens: *Quod corporis et sanguinis Domini nostri Jesu Christi conversionem negent.* Atqui præter vocabuli μετάληψις notum sensum, ipse auctor in tertio refutationum sermone ait Manichæos censuisse μὴ δεῖν τῆς ἱερᾶς τροφῆς τοῦ τιμίου σώματος τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν μετέχειν· *non oportere sacrum pretiosi corporis Domini Deique nostri nutrimentum participare.*

(13) In hunc locum in margine adnotatur antiqua manu: Οὐκ οἶδα εἰ τότε ἐχρῶντο τῇ Ἰακώβου ἢ ἑτέρᾳ ἐπιστολῇ, καὶ ταῖς Πράξεσι τῶν ἀποστόλων· οἱ γὰρ νῦν μόνοις τοῖς δύο χρῶνται Εὐαγγελίοις, καὶ μᾶλλον τῷ κατὰ Λουκᾶν· καὶ ιε' (mendose Raderus ἐπὶ pro ιε', et mox idem male ἐπιστολῇ) τοῦ ἁγίου Παύλου ἐπιστολαῖς· ἔχουσι γὰρ καὶ πρὸς Λαοδικεῖς ἑτέραν ἐπιστολήν· *haud scio an illius temporis Manichæi usi sint Jacobi Epistola an alia, et apostolorum Actibus. Namque hodierni duobus tantummodo utuntur Evangeliis, et quidem Lucæ potissimum, necnon XV sancti Pauli Epistolis; habent enim etiam aliam epistolam ad Laodicenses.* Epistolam ad Laodicenses citari nos vidimus in S. Augustini quod edidimus Speculo; item in Cavensis monasterii prisco bibliorum codice, necnon in aliquot Vaticanis; præter alia testimonia vetera a Fabricio laudata.

Digitized by Google Распознавание текста ABK/FR

τὰ ἐν τῇ δευτέρᾳ τοῦ Κυρίου παρουσίᾳ δῆλον, ὅτι σπουδάσαι ἄσπιλοι καὶ ἄμωμοι αὐτῷ εὑρεθῆναι ἐν εἰρήνῃ· καὶ τὴν τοῦ Κυρίου ἡκῶν μακροθυμίαν, σωτηρίαν ἡγεῖσθε· καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος κατὰ τὴν δοθεῖσαν αὐτῷ σοφίαν ἔγραψεν ὑμῖν, ὡς καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς αὐτοῦ, λαλῶν ἐν αὐταῖς περὶ τούτων· [cod. f. 88. b.] ἐν αἷς ἐστι δυσνόητά τινα ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλώσουσιν, ὡς καὶ τὰς λοιπὰς γραφάς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν. Οὗτός ἐστιν ὁ παρ' αὐτοῖς μὲν ψόγος τῷ Ἀποστόλῳ προσφερόμενος· παρὰ δὲ τῇ ἀληθείᾳ ἐγκώμιον αὐτῷ ὑπάρχον πεπαῤῥησιασμένης προφητείας, πάσης ῥητορικῆς πλοκῆς ὑπεξῃρημένον [t].

pientiam scripsit vobis, sicut et in omnibus Epistolis suis loquens in eis de his : in quibus sunt quædam difficilia intellectu, quæ indocti et instabiles distorquebunt, sicut et reliquas scripturas, ad propriam ipsorum perditionem [15]. Hæc illi vituperio vertunt Apostolo, quæ tamen laudi sunt ; utpote a libero vaticinio profecta, et omni rhetorico artificio remota.

Ἕκτον, τὸ τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας ἀποτρέπεσθαι· φησὶ δὲ ὅτι οἱ πρεσβύτεροι κατὰ τοῦ Κυρίου συνήχθησαν, καὶ διὰ τοῦτο οὐ χρὴ αὐτοὺς ὀνομάζεσθαι, ψιλῷ τῷ ὀνόματι καὶ μόνῳ ἀπεχθανόμενοι· περὶ ὧν ὕστερον ἐν τῇ κατὰ βάθους ἐξετάσει ἐν ἰδίῳ ἑκάστῳ κεφαλαίῳ σαφέστερον λεχθήσεται· ἤδη δὲ λοιπὸν καὶ τῶν ὑπομνηματικῶν ἱστοριῶν ἀπάρξασθαι καιρός ἐστιν· ἀπάρξομαι δ' οὕτως, τά τε παρὰ τοῦ μακαρίου Κυρίλλου ἐν ταῖς κατηχήσεσιν ῥηθέντα (14) προθεὶς καὶ τὰ παρ' ἡμῶν ἀρτίως διαγνωσθέντα ὑποθείς, ὡς ἂν ἄρα οἰκειοτέρα ἡ σκέψις γενήσεται.

Sextum est, quod seniores (presbyteros) ab Ecclesia arcent. Etenim dicunt quia seniores adversus Dominum conspirarunt, idcirco id nomen non esse usurpandum : quare vel solo hujus nominis sono exasperantur. Ac de his singulis posthinc in plena disputatione, proprio cujusque rei capitulo, lucidius dicetur. Nunc superest ut historicum commentarium exordiamur. Incipiemus autem a præponendis iis, quæ beatus Cyrillus in catechesibus dicit; quibus postea, quæ nuperius nos cognovimus, adjiciemus, ut rei disquisitio intimior fiat.

ΙΑ'. Ὁ δυσώνυμος Μάνης οὐκ ἔστιν ἀπὸ Χριστιανῶν, μὴ γένοιτο! οὐδὲ κατὰ τὸν Σίμωνα ἐξεβλήθη τῆς Ἐκκλησίας, οὔτε αὐτὸς, οὔτε οἱ πρὸ αὐτοῦ τῆς τοιαύτης κακίας διδάσκαλοι· κλέπτης γάρ ἐστιν, ἀλλοτρίων αἱρέσεων ἰδιοποιούμενος τὰ κακά· πῶς δὲ καὶ τίνα τρόπον, ἀκουστέον· Σκυθιανός τις ἦν ἐν Αἰγύπτῳ, Σαρακηνὸς τῷ γένει, οὐδὲν κοινὸν οὐδὲ πρὸς Ἰουδαϊσμὸν οὐδὲ πρὸς Χριστιανισμὸν κεκτημένος· οὗτος τὴν Ἀλεξάνδρειαν οἰκήσας καὶ τὸν Ἀριστοτελικὸν μιμησάμενος βίον, τέσσαρας βίβλους συνέταξεν, μίαν καλουμένην Τὸ ἅγιον Εὐαγγέλιον, νεκροποιεῖς [u] οὐ Χριστοῦ πράξεις περιέχουσαν, ἀλλ' ἁπλῶς [v] μόνην τὴν προσηγορίαν· καὶ ἄλλην καλουμένην Κεφάλαιον· καὶ τὴν τρίτην Τῶν μυστηρίων, ἥτις ἐστὶ πρὸς τὴν ἐπιτηδευθεῖσαν αὐτοῖς ἀνατροπὴν τοῦ νόμου καὶ τῶν προφητῶν· τετάρτην ἣν περιφέρουσι Θησαύρὸν ζωῆς καλοῦντες, ἥπερ ἐστὶ θησαυρὸς θανάτου· μαθητὴς δὲ ἦν τούτῳ Τερέβινθος ὀνόματι· ἀλλὰ τὸν προειρημένον Σκυθιανὸν ἐλθόντα εἰς τὴν Ἰουδαίαν καὶ λυμαινόμενον τὴν χώραν νόσῳ θανατώσας ὁ Κύριος, ἔπαυσε τὴν λοιμώδη κατάστασιν· ὁ δὲ τῆς κακίας μαθητὴς Τερέβινθος, κληρονόμος ὢν τοῦ χρυσίου καὶ τῶν βιβλίων καὶ τῆς αἱρέσεως, παραγενόμενος ἐν Παλαιστίνῃ, καὶ ἐν Ἰουδαίᾳ γνωριζόμενος, καὶ παρὰ πάντων καταγινωσκόμενος, ἐκεῖθεν εἰς τὴν Περσίδα μετῆλθεν· εἶτα ἵνα μὴ ἐκ τῆς προσηγορίας κἀκεῖ γνωρίζηται, Βουδδᾶν ὠνόμασεν ἑαυτόν· ἀλλ' εἶχεν ἐκεῖ

XI. Infausti nominis Manes Christianus non fuit, absit! neque ut Simon Ecclesia ejectus, neque ipse scilicet neque priores illo hujus nequitiæ magistri. Furis enim instar, ex alienis hæresibus suam conflavit iniquitatem. Quomodo autem et qua ratione, audiendum est. Scythianus quidam in Ægypto fuit, genere Saracenus, nihil commune sive cum Judæis sive cum Christianis habens. Hic habitans Alexandriæ, [16] Aristotelicæ æmulator vitæ, quatuor composuit libros: unum dictum *Sanctum Evangelium*, mortiferos, non autem Christi, actus continentem, sed nomine tenus ita appellatum ; alterum dictum *Capitulum* ; tertium dictum *Mysteriorum*, qui favet legis ac prophetarum, quam Manichæi volunt, destructioni. Quartum circumferunt, *Vitæ thesaurum* vocantes, qui est potius mortis thesaurus. Huic erat discipulus Terebinthus nomine. Sed enim Scythianum quidem cum in Judæam ad inficiendam lue regionem abiisset, morbo Dominus exstinguens, finem pestilenti instituto imposuit. Nequitiæ autem discipulus Terebinthus, auri, librorum, atque hæreseos hæres, cum in Palæstinam pariter venisset, et in Judæa palam innotuisset, inde in Persidem migravit. Deinde ne ex nomine illic quoque agnosceretur, Buddam semet appellavit. Verumtamen ibi nactus est adversarios Mithriacos; multisque commotis sermonibus et altercationibus, convictus fuit : postremoque

[15] II Petr. III, 14-16.

VARIÆ LECTIONES.

[t] Deest ὑπεξῃρημένον apud R. [u] Deest νεκροποιεῖς apud R. [v] R. ὡς.

NOTÆ.

(14) Scilicet Cyrillus Hierosol. in Catechesi sexta a cap. 21 et deinceps, in editione Tuttæi qui Petro nostro ob corrigendum quandoque Cyrilli textum usus est.

Digitized by Google Распознавание текста ABBYY FR

pulsus, ad viduam quamdam mulierem confugit. Mox domus tecto conscenso, ibique acrios dœmones advocans, quos Manichæi usque ad hodiernam diem in sua nefaria confarreatione invocant, fanatismo percitus, de tecto semet ejaculans, exanimatus est; atque ita secunda fera excisa fuit.

XII. Cæteroqui manserunt hæreticorum commentariorum libri, et horum hæres simulque pecuniæ femina vidua: quæ cum cognatione et alio quolibet familiari careret, pecunia illa puerum nomine Cubricum emere decrevit, eumque adoptans, Persarum doctrinis exquisite erudiendum curavit, atque adversus humanum genus ceu malum telum exacuit. Malus itaque verna Cubricus inter philosophos adolevit; mortuaque vidua, opum adiit hæreditatem atque librorum. Postea ne servile nomen Cubricus sibi probro esset, Manetem semet (15) nominavit, quod in Persica dialecto *sermonem* significat: nimirum quia sermocinandi arte valere videbatur, Manetem se nuncupavit, quasi optimum sermocinatorem. Et ille quidem gloriam sibi in Persarum lingua conciliabat, sed Dei providentia ipsum, licet invitum, suimet accusatorem fieri parabat; ut qui in Perside semet hoc nomine honorare putabat, apud Græcos maniacum se esse nuntiaret. Ausus etiam est dicere se Paracletum. Blasphemavit igitur, Spiritum sanctum se dicens, prout scriptum est: *Qui adversus Spiritum sanctum blasphemaverit, non remittetur ei* (16). Sic etiam ex præcessoribus ejus, Scythianus quidem ausus est Patrem se nominare; alius autem Buddam Dei Patris Filium, et quidem de virgine natum, et in montibus educatum; unde etiam, discipulos duodecim factus Antichristus, prædicatores erroris emisit. Qui ergo illis communicat, videat quibuscum se collocet. Perturbavit mundum servus; et in medium procedens, res supra hominis conditionem promisit.

XIII. Ægrotabat regis Persarum filius, neque medicorum copia deerat; sed Manes sanaturum se spopondit: recesserunt medici, simulque puer vita excessit. Convicta est hominis improbitas, et in vincula conjectus: eratque in carcerem trusus philosophus, non quia regi veritatem persuasisset, non quia idola prostravisset; sed quia sanitate promissa,

τοὺς ἀνταγωνιστὰς τοὺς [x] τοῦ Μίθρα· καὶ πολλῶν λόγων κινουμένων καὶ ἰδιαπληκτισμῶν, ἠλέγχετο· καὶ πέρας ἐλαυνόμενος προσφεύγει τινὶ γυναικὶ χήρᾳ· εἶτ' ἐπὶ δώματος ἀνελθὼν, καὶ προσκαλεσάμενος τοὺς ἀερίους δαίμονας, οὓς Μανιχαῖοι μέχρι τῆς σήμερον ἐπὶ τῆς μυσαρᾶς σὺτῶν ἰσχάδος ἐπικαλοῦνται, θεόπληκτος γενόμενος, καὶ καταβληθεὶς ἐκ τοῦ δώματος, ἐξέψυξεν· καὶ οὕτως ἐξεκόπη τὸ δεύτερον θηρίον.

ΙΒ'. Ἀλλ' ἔμεινεν τὰ ὑπομνηματικὰ τῆς ἀσεβείας βιβλία· καὶ κληρονόμος ἦν ἡ χήρα καὶ τῶν βιβλίων καὶ χρημάτων· μήτε δὲ συγγένειαν, μήτε ἕτερον τινα ἔχουσα, ἔκρινεν ἐκ τῶν χρημάτων ἀγοράσαι παῖδα Κούβρικον [y] λεγόμενον· καὶ τοῦτον εἰς υἱοθεσίαν λαβοῦσα, ἐπαίδευσε τοῖς Περσῶν μαθήμασιν, ὡς οἷόν τε, καὶ ὤξυνε κατὰ τῆς ἀνθρωπότητος κακὸν βέλος [z]· καὶ Κούβρικος ὁ κακὸς οἰκέτης, μέσον φιλοσόφων ἔχμαζεν· καὶ τελευτησάσης τῆς χήρας, ἐκληρονόμει, καὶ τὰ χρήματα καὶ τὰ βιβλία· εἶτα ἵνα μὴ τὸ τῆς δουλείας τοῦ Κουβρίκου [a] ὄνομα ἐπονείδιστον ᾖ [b], ἀντὶ Κουβρίκου Μάνην ἑαυτὸν ὠνόμασεν, ὅπερ κατὰ τὴν τῶν Περσῶν διάλεκτον τὴν ὁμιλίαν δηλοῖ. Ἐπειδὴ δὲ διαλεκτικός τις εἶναι ἐδόκει, Μάνην ἑαυτὸν ὠνομάζει, οἱονεὶ ὁμιλητήν τινα ἄριστον· ἀλλ' ἐκεῖνος μὲν εὐδοξίαν ἑαυτῷ κατὰ τὴν τῶν Περσῶν γλῶσσαν ἐπραγματεύσατο, ἡ δὲ τοῦ Θεοῦ οἰκονομία καὶ ἄκοντα αὐτὸν ἑαυτοῦ κατήγορον ἐποίησε γενέσθαι· ἵν' ἐν Περσίδι ἑαυτὸν νομίσας τιμᾷν, παρ' Ἕλλησι μανίας ἑαυτὸν ἐπώνυμον καταγγείλῃ (5)· ἐτόλμα δὲ λέγειν ἑαυτὸν εἶναι τὸν Παράκλητον (6)· ἐβλασφήμησεν οὖν Πνεῦμα ἅγιον ἑαυτὸν εἰπών, καθὼς γέγραπται· Ὃς δ' ἂν βλασφημήσῃ [cod. f. 90.] εἰς τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν. Ὡς καὶ οἱ πρὸ αὐτοῦ, ὁ μὲν Σκυθιανὸς [c] ἐτόλμησε Πατέρα ἑαυτὸν ὀνομάσαι· ὁ δὲ Βουδδᾶς, υἱὸν τοῦ Θεοῦ καὶ Πατρὸς, ἐκ παρθένου τε γεγεννῆσθαι, καὶ ἐν τοῖς ὄρεσιν ἀνατρέφεσθαι· ὅθεν καὶ δώδεκα μαθητὰς ὁ ἀντίχριστος τῆς πλάνης κήρυκας ἀπέστειλεν· ὁ ἐκείνοις κοινωνῶν βλεπέτω μετὰ τίνων ἑαυτὸν ἐντάσσει· ἐσάλευσεν ὁ οἰκέτης τὴν οἰκουμένην καὶ μέσος ἐλθὼν [d] λοιπὸν τὰ ὑπὲρ ἄνθρωπον ἐπηγγέλλετο.

ΙΓ'. Ἐνόσει τοῦ βασιλέως Περσῶν ὁ υἱὸς, καὶ ἰατρῶν δαψίλεια παρῆν· ἀλλ' ὁ Μάνης ἐπηγγέλλετο ἰάσασθαι· ἀπέστησαν οἱ ἰατροί· συναπέστη τοῦ παιδὸς ἡ ζωή· ἠλέγχθη ἡ ἀσέβεια τοῦ ἀνδρὸς, καὶ δέσμος ἦν· ὁ δὴ φιλόσοφος εἰς φυλακὴν κρατούμενος οὐ διὰ τὸ περὶ ἀληθείας ἐλέγξαι [e] τὸν βασιλέα βληθείς, οὐδὲ διὰ τὸ καταλῦσαι τὰ εἴδωλα, ἀλλὰ διὰ

(15) Marc. III, 29.

VARIÆ LECTIONES.

[x] Addo τοὺς ex Cyrillo. [y] R. βούβρικον. [z] R. βέλιος. [a] In cod. est tantum κου. [b] R. ᾖ. [c] R. hic mendose Σκυθανός. [d] R. ἐλθών. [e] R. ἐλένξαι.

NOTÆ.

(15) Idcirco apud Augustinum hær. 46: *Manichæum, discipuli ejus appellare maluerunt, devitantes nomen insaniæ. Vel Mannichæum, quasi manna fundentem.*

(16) Augustinus hær. 46: *Promissionem Domini nostri Jesu Christi de Paraclito Spiritu sancto in suo hæresiarcha Manichæo dicunt esse completam.*

Digitized by Google Распознавание текста ABK/FR

τὸ ἐπαγγείλασθαι σῶσαι, καὶ ψεύσασθαι· μᾶλλον δὲ, εἰ δεῖ τ' ἀληθὲς εἰπεῖν, διὰ τὸ φονεῦσαι· τὸν γὰρ δυνάμενον διὰ τῆς ἰατρικῆς ἐπιμελείας σωθῆναι, οὗτος τοὺς ἰατροὺς ἀποστήσας ἐφόνευσε, τῇ ἀμελείᾳ θανατώσας. Ἐμοῦ δὲ λέγοντος τὰ περὶ αὐτου πάμπολλα κακὰ, μέμνησο πρῶτον τὴν βλασφημίαν, δεύτερον τὴν δουλείαν· οὐχ ὅτι αἰσχύνη ἡ δουλεία, ἀλλ' ὅτι δοῦλον ὄντα ἐλευθερίᾳ ἀντιπράττεσθαι [f] κακόν· τρίτον, τὸ ψεῦδος τῆς ἐπαγγελίας· τέταρτον, τὸν τοῦ παιδὸς φόνον· καὶ πέμπτον, τὴν αἰσχύνην τῆς φυλακῆς· καὶ οὐκ ἦν αἰσχύνη τῆς φυλακῆς μόνον, ἀλλὰ καὶ ἡ ἐκ τῆς φυλακῆς φυγή· ὁ γὰρ λέγων ἑαυτὸν Παράκλητον, καὶ τῆς ἀληθείας ὑπέρμαχον, ἔφυγεν· οὐκ ἦν διάδοχος Ἰησοῦ τοῦ ἑτοίμως ἐρχομένου εἰς τὸν σταυρὸν, ἀλλ' οὗτος ἐναντίως φυγὰς ἦν· εἶτα ὁ βασιλεὺς Περσῶν ἐκέλευσεν ἀπαχθῆναι τοὺς δεσμοφύλακας· αἴτιος ὁ Μάνης [g] δι' ὑπερηφανίαν θανάτου τῷ παιδὶ [h], καὶ αἴτιος θανάτου τοῖς δεσμοφύλαξι διὰ τὴν φυγήν· ὁ οὖν θανάτου παραίτιος οὗτος ἄρα προσκυνεῖσθαι ὀφείλει ὡς Παράκλητος; Οὐκ ἔδει μιμήσασθαι [i] Ἰησοῦν, καὶ εἰπεῖν· Εἰ ἐμὲ ζητεῖτε. ἄφετε τούτους ὑπάγειν [17]; οὐκ ἐδει κατὰ τὸν [j] Ἰωνᾶν εἰπεῖν· Ἄρατέ με καὶ ἐμβάλατε εἰς τὴν θάλασσαν, δι' ἐμὲ γὰρ ὁ κλύδων οὗτος [19];

ΙΔ'. Φεύγει [l] ἐκ τῆς φυλακῆς, καὶ ἔρχεται εἰς τὴν Μεσοποταμίαν· ἀλλὰ ἀπαντᾷ αὐτῷ ὅπλον δικαιοσύνης, Ἀρχέλαος ἐπίσκοπος (17)· καὶ ἐπὶ φιλοσόφων κριτῶν ἐλέγξας, ἀκροατήριον Ἑλληνικὸν συστησάμενος, ἵνα μὴ Χριστιανῶν κρινόντων, δόξωσιν οἱ κριταὶ χαρίζεσθαι. Λέγε [m], φησὶν ὁ Ἀρχέλαος πρὸς τὸν Μάνεντα ὃ [n] κηρύσσεις· ὁ δὲ ὡς τύφον ἀνεφγμένον ἔχων τὸ στόμα, ἀπὸ τῆς βλασφημίας πρῶτον τοῦ Ποιητοῦ τῶν ὅλων ἤρχετο φάσκων, ὅτι ὁ τῆς Παλαιᾶς Θεὸς, κακῶν ἐστιν εὑρετής· λεγων περὶ ἑαυτοῦ, Ἐγὼ πῦρ καταναλίσκον [20]· ὁ δὲ σοφὸς Ἀρχέλαος ἐξέλυε τὴν βλασφημίαν [cod. f. 91.] εἰπών· Εἰ ὁ τῆς Παλαιᾶς Θεὸς, κατὰ τὸν σὸν λόγον, πῦρ ἑαυτὸν λέγει, τίνος υἱός ἐστιν ὁ λέγων, Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν [21]; καὶ εἰ μέμφῃ τὸν λέγοντα, Κύριος θανατοῖ καὶ ζωογονεῖ [22], διὰ τί τιμᾷς Πέτρον [23], τὴν Ταβιθὰν μὲν ἐγείραντα, τὴν δὲ Σάπφειραν θανατώσαντα (18); εἰ δὲ καὶ μέμφῃ ὅτι πῦρ ἡτοίμασεν, διὰ τί οὐ μέμφῃ τὸν λέγοντα, Πορεύεσθε εἰς τὸ πῦρ τὸ αἰώνιον; εἰ μέμφῃ τὸν λέγοντα, Ἐγὼ Θεὸς ποιῶν εἰρήνην καὶ κτίζων κακὰ, διὰ τί οὐ μέμφῃ τὸν Ἰησοῦν λέγοντα, Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τῆς γῆς, ἀλλὰ μάχαιραν; ἀμφοτέρων τὰ ἴσα

spem fefellerat; imo potius, ut verius dicam, homicida exstiterat: etenim eum qui medicinali cura sanari poterat, ipse submotis medicis interfecit, medelæ destitutione ad mortem redactum. Me vero multa ejudem scelera narrare instituente, recordare, lector, primo blasphemiam ejus; deinde servitutem, non quod servitus probro sit, sed quia officia 18 liberi hominis a servo usurpari iniquum est: tertio loco promissionis falsitatem: quarto carceris ignominiam; neque carceris tantum ignominiam, verum etiam ex carcere fugam. Nam qui se Paracletum et veritatis defensorem dicebat, fugit: nec fuit profecto Christi imitator, qui sponte ad crucem venit; verum is contra fuga se proripuit: quo facto, rex Persarum duci ad supplicium custodes carceris jussit. Causa igitur fuit Manes tum obitus pueri ob jactantiam suam, tum etiam necis custodum propter fugam. Ergone hic mortis auctor et reus, adorari tanquam Paracletus debet? Nonne eum oportuit Christum imitari, ac dicere: *Si me quæritis, sinite hos abire*[17]? Nonne, ut Jonas, dicere debuit: *Tollite me et projicite in mare: propter me enim tempestas hæc* [18]?

XIV. Fugit ex carcere, et in Mesopotamiam venit. Verum illic occurrit ei telum justitiæ, Archelaus episcopus, præpositis judicio philosophis, et advocata Ethnicorum concione, ne si forte judicarent Christiani, videretur gratiosum esse judicium. Ille autem patentis sepulcri instar os habens [19], a blasphemia adversus omnium rerum Factorem exorsus est dicens: Veteris Testamenti Deum, malorum esse inventorem, quandoquidem de se ait: *Ego ignis consumens sum* [20]. Sapiens vero Archelaus blasphemiam dissolvebat dicens: Si veteris Testamenti Deus, ut ais, ignem se dicit, cujusnam Filius est qui ait: *Ignem veni mittere in terram* [21]? Quod si reprehendis dicentem: *Dominus mortificat et vivificat* [22]; cur Petrum honoras, qui Tabitham quidem resuscitavit, sed Saphiram leto tradidit [23]? 19 Tum si vituperas quod ignem paraverit [24], cur non reprehendis qui dicit: *Ite in ignem æternum* [25]? Si expostulas quod dixerit: *Ego Deus faciens pacem et creans mala* [26]; cur non castigas Jesum dicentem: *Non veni pacem mittere in terram, sed gladium* [27]? Cum ambo paria loquantur, alterutrum stat; nempe ut vel ambo ob eamdem locutionem boni sint; vel

[17] Joan. XVIII, 8. [18] Jon. I, 12. [19] Psal. V. 11. [20] Deut. IV, 24. [21] Luc. XII, 49. [22] I Reg. II, 6. [23] Act. IX, 40; V, 5. [24] Deut. XXXII, 22. [25] Matth. XXV, 41. [26] Is. XLV, 7. [27] Matth. X, 34.

VARIÆ LECTIONES.

[f] Cyrillus ἐλευθερίαν πλάττεσθαι, *libertatem simulare.* [g] R. Μάνην. [h] Deest τῷ παιδὶ apud R. [i] R. μιμίσασθαι. [j] Ita reapse codex, non autem κατ' αὐτόν. [k] R. ἐμβάλετε. [l] Interponit καὶ R. [m] R. λέγει. [n] R. ὁ,

NOTÆ.

(17) Archelai cum Manete multo copiosior disputatio exstat edita egregieque illustrata a cl. viro L. A. Zacagnio, bibliothecæ Vat. olim præfecto, in ejus collectione monum. vet. Romæ 1598.

(18) In codicis margine ita: καὶ μὴν κὐτὸς ἐδιδαξας, ὡς ἀτιμάζουσι Πέτρον, τὰς δὲ πράξεις οὐ δέχονται: *atqui tu ipse nos docuisti, ab ipsis contemni Petrum, et apostolorum Acta non recipi.* Tamen aliter de apostolorum Actis supra p. 14.

Digitized by Google Распознавание текста ABK/FR

si inculpabilis Jesûs est ita loquèns, cur illum vituperas qui similiter in vetere loquitur? Respondit huic Manes: Quisnam vero Deus excæcat? Atqui Paulus ait: *In quibus Deus hujus sæculi excæcavit infidelium mentes, ut non fulgeat ipsis illuminatio scientiæ gloriæ Evangelii Christi* [28]? Tum rursus Archelaus subdistinguens ait: Lege antea quid sibi velit: quod si etiam est opertum Evangelium nostrum, in iis qui pereunt opertum est. Viden' quod *iis qui pereunt opertum sit* [29]? *Non enim oportet Sancta dare canibus* [30]. Præterea num veteris tantummodo Testamenti Deus infidelium mentes excæcavit? an etiam Jesus ipse, qui Paulum quoque excæcavit; quoniam dixit: *Idcirco in parabolis illis loquor, ut videntes non videant* [31]? Num quia odisset, volebat eos visu carere? an potius ob indignitatem, quia oculos suos sponte occluserant? Ubi enim voluntaria malitia est, inde se subducit gratia illuminans. Etenim habenti, dabitur; ab eo autem qui non habet, etiam quod videtur habere, auferetur [32]. Quod si quidam recte interpretantur, licebit non inepte etiam dicere: Quanquam excæcavit infidelium mentes, ut etiam Pauli oculos Christus, utiliter id tamen egit, ut illi ad sanctitatem respicerent. Non enim dixit: Excæcavit animam illorum, sed *mentes infidelium;* ita ut verborum sensus sit: Excæca scortatoris scortantem mentem, ut homo sit salvus: excæca latronis latrocinantem rapacemque animum, ut homo salvetur. Quod si dictum intelligere sic nolueris, est alia quoque explanatio. Excæcat 20 hebetes oculos etiam sol. et lippientes excæcantur luce; non quod excæcantem naturam sol habeat, sed quia oculorum status infirmus est. Sic etiam infideles, laborantibus morbo animabus, spectare Divinitatis radios nequeunt. Et non dixit: Excæcavit illorum mentes, quominus Evangelium fulgeret; sed quominus illuminatio gloriæ Evangelii Christi fulgeret. Namque audire Evangelium, cunctis conceditur; sed tamen Evangelii Christi gloria fidelibus famulis reservatur. Loquebatur itaque per parabolas Christus iis, qui audire non poterant; discipulis vero privatim parabolas explicabat [33]: nempe gloriæ fulgor, illuminatis fit; excæcatio autem, infidelibus. Hæc nunc tibi mysteria edisserit Ecclesia, ex catechumenorum classe jam egresso: neque tamen ethnicis talia exponere mos noster est. Quippe ethnicis mysteria de Patre, Filio et Spiritu sancto non tradimus: nec ipsis quidem catechumenis lucide mysteria communicamus; sed tecte loquimur sæpe, ut ii qui norunt fideles intelligant; et qui ignorant, detrimentum non patiantur.

